Ὡς ἐκ στέατος, καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου* καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ στόμα μου.

Εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου* ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ.

Ὅτι ἐγενήθης βοηθός μου* καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι.

Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου* ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου.

Αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου* εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς.

Παραδοθήσονται εἰς χεῖρας ῥομφαίας*. μερίδες ἀλωπέκων ἔσονται.

Ὁ δὲ βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ Θεῷ, ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ* ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα.

Δόξα Πατρὶ καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι* νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν. Ἀλλ. ἀλλ. ἀλλ. δόξα σοι ὁ Θεός. γ΄.

ΤΗ. Ε΄. Ψαλ. πζ΄.

Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου* ἡμέρας ἐκέκραξα, καὶ ἐν νυκτὶ ἐναντίον σου. ✝



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου * κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου.

Ὅτι ἐπλήσθη κακῶν ἡ ψυχή μου * καὶ ἡ ζωή μου τῷ ᾅδῃ ἤγγισε.

Προσελογίσθην μετὰ τῶν καταβαινόντων εἰς λάκκον * ἐγενήθην ὡσεὶ ἄνθρωπος ἀβοήθητος ἐν νεκροῖς ἐλεύθερος.

Ὡσεὶ τραυματίαι καθεύδοντες ἐν τάφῳ, ὧν οὐκ ἐμνήσθης ἔτι * καὶ αὐτοὶ ἐκ τῆς χειρός σου ἀπώσθησαν.

Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ * ἐν σκοτεινοῖς, καὶ ἐν σκιᾷ θανάτου.

Ἐπ' ἐμὲ ἐπεστηρίχθη ὁ θυμός σου * καὶ πάντας τοὺς μετεωρισμούς σου ἐπήγαγες ἐπ' ἐμέ.

Ἐμάκρυνας τοὺς γνωστούς μου ἀπ' ἐμοῦ * ἔθεντό με βδέλυγμα ἑαυτοῖς.

Παρεδόθην, καὶ οὐκ ἐξεπορευόμην * οἱ ὀφθαλμοί μου ἠσθένησαν ἀπὸ πτωχείας.

Ἐκέκραξα πρὸς σὲ κύριε ὅλην τὴν ἡμέραν * διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου.

Μὴ τοῖς νεκροῖς ποιήσεις θαυμάσια * ἢ ἰατροὶ ἀναστήσουσι, καὶ ἐξομολογήσονταί σοι;

Μὴ διηγήσεταί τις ἐν τῷ τάφῳ τὸ ἔλεός σου * καὶ τὴν ἀλήθειάν σου ἐν τῇ ἀπωλείᾳ;

Μὴ γνωσθήσεται ἐν τῷ σκότει τὰ θαυμάσιά σου * καὶ ἡ δικαιοσύνη σου ἐν γῇ ἐπιλελησμένῃ;

Κἀγὼ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Κ αἰγὼ πρὸς σὲ κύριε ἐκέκραξα* καὶ τὸ πρωῒ ἡ προσευχή μου προφθάσει σε.

Ι να τί κύριε ἀπωθῇς τὴν ψυχήν μου* ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ;

Π τωχὸς [1] εἰμὶ ἐγὼ καὶ ἐν κόποις ἐκ νεότητός μου* ὑψωθεὶς δὲ ἐταπεινώθην, καὶ ἐξηπορήθην.

Ε᾽ π᾽ ἐμὲ διῆλθον αἱ ὀργαί σου, οἱ φοβερισμοί σου ἐξετάραξάν με* ἐκύκλωσάν με ὡσεὶ ὕδωρ ὅλην τὴν ἡμέραν περιέσχον με ἅμα.

Ε᾽ μάκρυνας ἀπ᾽ ἐμοῦ φίλον, καὶ πλησίον* καὶ τοὺς γνωστούς μου ἀπὸ ταλαιπωρίας.

ΤΗ. ΕΚΤ᾽. Ψαλ. ρβ᾽.

Ε᾽ Υλόγει [2] ἡ ψυχή μου τὸν κύριον* καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Ε᾽ υλόγει ἡ ψυχή μου τὸν κύριον* καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.

Τ ὸν εὐιλατεύοντα πάσας τὰς ἀνομίας σου* τὸν ἰώμενον πάσας τὰς νόσους σου.

Τ ὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου* τὸν στεφανοῦντα σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς.

Τ ὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου* ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου.

Π οιῶν ἐλεημοσύνας ὁ κύριος* καὶ κρίμα πᾶσι τοῖς ἀδικουμένοις.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωϋσῇ * τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ.

Οἰκτίρμων [1], καὶ ἐλεήμων ὁ Κύριος μακρόθυμος, καὶ πολυέλεος * οὐκ εἰς τέλος ὀργισθήσεται, οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ.

Οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησεν ἡμῖν * οὐδὲ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν.

Ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς * ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν.

Καθόσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν * ἐμάκρυνεν ἀφ' ἡμῶν τὰς ἀνομίας ἡμῶν.

Καθὼς οἰκτείρει πατὴρ υἱούς * ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν.

Ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν * ἐμνήσθη ὅτι χοῦς ἐσμεν.

Ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ * ὡσεὶ ἄνθος τοῦ ἀγροῦ οὕτως ἐξανθήσει.

Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ ὑπάρξει * καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ;

Τὸ δὲ ἔλεος τοῦ Κυρίου ἀπὸ τοῦ αἰῶνος * καὶ ἕως τοῦ αἰῶνος ἐπὶ τοὺς φοβουμένους αὐτόν.

Καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοῖς υἱῶν τοῖς φυλάσσουσι τὴν διαθήκην αὐτοῦ * καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ τοῦ ποιῆσαι αὐτάς.

Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ * καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.

Εὐλο-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Εὐλογεῖτε τὸν κύριον πάντες οἱ ἄγγελοι αὐτοῦ* δυνατοὶ ἰσχύϊ ποιοῦντες τὸν λόγον αὐτοῦ* τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ. *

Εὐλογεῖτε τὸν κύριον πᾶσαι αἱ δυνάμεις αὐτοῦ* λειτουργοὶ αὐτοῦ οἱ ποιοῦντες τὸ θέλημα αὐτοῦ. *

Εὐλογεῖτε τὸν κύριον πάντα τὰ ἔργα αὐτοῦ* ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ. *

Εὐλόγει ἡ ψυχή μου τὸν κύριον.

ΤΩ. ΣΑΒ. Ψαλ. ρμβ′.

ΚΥ'ριε εἰσάκουσον τῆς προσευχῆς μου* ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου.

Εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου* καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου.

Ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν* ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου.

Ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου* ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος.

Καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου* ἐμνήσθην ἡμερῶν ἀρχαίων ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου.

Ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων* διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου.

Ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι* ταχὺ εἰσάκουσόν μου κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.*

Μὴ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ· καὶ ὁμοιωθήσομαι, τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα· γνώρισόν μοι κύριε ὁδὸν, ἐν ᾗ πορεύσομαι.

Ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου· ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου κύριε πρὸς σὲ κατέφυγον.

Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου· ὅτι σὺ εἶ ὁ Θεός μου· τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ. * * *

Ἕνεκεν τοῦ ὀνόματός σου κύριε· ζήσεις με ἐν τῇ δικαιοσύνῃ σου·

Ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου· καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου·

Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου· ὅτι ἐγὼ δοῦλός σου εἰμί· εἰσάκουσόν μου κύριε ἐν τῇ δικαιοσύνῃ σου, καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου.

Τὸ πνεῦμά σου τὸ ἀγαθὸν· ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Δόξα Πατρὶ καὶ Υἱῷ· καὶ Ἁγίῳ Πνεύματι.

Νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας· τῶν αἰώνων.

Ἀμήν.

Ἀλληλούϊα ἀλλ. ἀλλ. δόξα σοι ὁ Θεός. γ'.

Ἐν ταῖς ὄρθροις, ἐν οἷς οὐκ εἰσέλθει τὸ Εὐαγγέλιον, μόνον ἐκ τῶν εἰρηνικῶν λέγομεν, Ἐν εἰρήνῃ.

Ἀντιλαβοῦ. Τῆς παναγ. καὶ Εὐχήν.

Ὁ διά-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου -
Μουσείο Τυπάλδων Ιακωβάτων

Ὁ διάκονος.

Ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν. ὁ χορός. Κύριε ἐλέησον.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν τοῦ κυρίου δεηθῶμεν. Κύριε ἐλέησον.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως τοῦ κυρίου δεηθῶμεν. Κύριε ἐλέησον.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ· τοῦ κυρίου δεηθῶμεν. Κύριε ἐλέησον.

Ὑπὲρ τοῦ πάπα ἡμῶν Ν. τοῦ τιμίου πρεσβυτερίου τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου, καὶ τοῦ λαοῦ, τοῦ κυρίου δεηθῶμεν. Κύριε ἐλέησον.

Ὑπὲρ τῶν εὐσεβεστάτων, καὶ θεοφυλάκτων βασιλέων ἡμῶν, παντὸς τοῦ παλατίου, καὶ τοῦ στρατοπέδου αὐτῶν. τοῦ κυρίου δεηθῶμεν. Κύριε ἐλέησον.

Ὑπὲρ τοῦ συμπολεμῆσαι, καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν καὶ πολέμιον, τοῦ κυρίου δεηθῶμεν. Κύριε ἐλέησον.

Ὑπὲρ τῆς ἁγίας μονῆς ταύτης, πάσης πόλεως καὶ χώρας, καὶ τῶν ἐν πίστει οἰκούντων ἐν αὐταῖς τοῦ κυρίου δεηθῶμεν. Κύριε ἐλέησον.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς, καὶ καιρῶν εἰρηνικῶν, τοῦ κυρίου δεηθῶμεν. Κύριε ἐλ.

Ὑπὲρ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ κυρίου δεηθῶμεν. Κύριε ἐλέησον.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου, καὶ ἀνάγκης, τοῦ κυρίου δεηθῶμεν. Κύριε ἐλ.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι. Κύριε ἐλέησον.

Τῆς παναγίας ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀεὶ παρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα. Σοὶ κύριε.

Εὐχή.

Εὐχαριστοῦμέν σοι κύριε ὁ Θεὸς ἡμῶν, τῷ ἐξαναστήσαντι ἡμᾶς ἐκ τῶν κοιτῶν ἡμῶν, καὶ ἐμβαλόντι εἰς τὸ στόμα ἡμῶν λόγον αἰνέσεως, τοῦ προσκυνεῖν, καὶ ἐπικαλεῖσθαι τὸ ὄνομά σου τὸ ἅγιον. Καὶ δεόμεθά σου τοῖς σοῖς οἰκτιρμοῖς, τῇ σῇ χρηστότητι, ᾗ πάντοτε ἐχρήσω περὶ τὴν ἡμετέραν ζωήν. Καὶ νῦν ἐξαπόστειλον τὴν βοήθειάν σου ἐπὶ τοὺς ἑστῶτας πρὸ προσώπου τῆς ἁγίας δόξης σου, καὶ ἀπεκδεχομένους τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος. Καὶ δὸς αὐτοῖς μετὰ φόβου, καὶ ἀγάπης πάντοτέ σοι λατρεύειν, αἰνεῖν, ὑμνεῖν, προσκυνεῖν τὴν ἀνεκδιήγητόν σου ἀγαθότητα. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή, καὶ προσκύνησις τῷ Πατρί, καὶ

τῷ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ὁ Χορός, Ἀμήν.

Ὁ Ἱερεὺς, Εἰρήνη πᾶσι. Ὁ Χορός. Καὶ τῷ πνεύματί σου. Εἶτα ὁ Ἱερεὺς ψάλλει κατὰ τὸν ἦχον τοῦ τροπ. τῆς λιτῆς, ἢ τῆς ἑορτῆς, τὸ

Θεὸς κύριος καὶ ἐπέφανεν ἡμῖν εὐλογημένος, ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου. Ὁ Χορὸς ἀποκρίνεται. Θεὸς κύριος καὶ ἐπέφανεν ἡμῖν. Ἱερεύς. Ἐξομολογεῖσθε τῷ κυρίῳ ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Θεὸς.

Κυκλώσαντες ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι κυρίου ἠμυνάμην αὐτούς. Θεὸς.

Παρὰ κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. Τετράδια καθ' ἡμέραν.

Ἰστέον, ὅτι ἐν ταῖς λιταῖς τῶν ἁγίων Τεσσαρακοστῶν πρὸ τῆς Γεννήσεως, καὶ τῶν νηστειῶν πρὸ τοῦ Πάσχα, ἀντὶ τοῦ, Θεὸς κύρ. λέγομεν ἀλληλούϊα ἐλον: Ἐκ νυκτὸς, σὺν τοῖς Ὕμνοις τριαδικοῖς κατ' ἦχον. Ὑψῶσι, καθ' ἡμέραν.

τῇ β'. Πρεσβείαις τῶν ἀσωμάτων.

τῇ γ'. Πρεσβ. τοῦ προδρόμου.

τῇ δ'. καὶ τῇ ς'. Δυνάμει τοῦ σταυροῦ σου.

τῇ ε'. Πρεσβείαις τῶν ἀποστόλων.

Ἀλληλούϊα ἀλλ. ἀλλ.

Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμα μου πρὸς σὲ ὁ Θεὸς, διότι φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς. ὁ χορός. Ἀλλ. γ'.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Δικαιοσύνην μάθετε οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς, πέπαυται γὰρ ὁ ἀσεβὴς πᾶς, ὃς οὐ μὴ μάθῃ δικαιοσύνην ἐπὶ τῆς γῆς, ἀλήθειαν οὐ μὴ ποιήσῃ. ὁ χορ. Ἀλλ. γ'. Ἀρθήτω ὁ ἀσεβὴς, ἵνα μὴ ἴδῃ τὴν δόξαν κυρίου, κύριε ὑψηλός σου ὁ βραχίων, καὶ οὐκ ᾔδεισαν, γνόντες δὲ αἰσχυνθήτωσαν: ὁ χορ. Ἀλλ. γ'. καὶ ὁ Ἱερεὺς πάλιν λέγει, Ἀλλ. ἀλλ. ἀλλ.

Ὕμνοι τριαδικοὶ ἦχ. α'.

Ἐξεγερθέντες τοῦ ὕπνου, προσπίπτομέν σοι ἀγαθὲ, καὶ τῶν ἀγγέλων τὸν ὕμνον βοῶμέν σοι βασιλεῦ, ἅγιος, ἅγιος, ἅγιος. πρεσβείαις Ν. ἐλέησον καὶ σῶσον ἡμᾶς.

Δόξα Πατρί.

Μετὰ πασῶν τῶν οὐρανίων δυνάμεων χερουβικῶς τῷ ἐν ὑψίστοις βοήσωμεν, τὸν τρισάγιον ἀναπέμποντες αἶνον, ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεὸς ἡμῶν. πρεσβείαις τῶν ἁγίων σου, ἐλέησον καὶ, σῶσον ἡμᾶς.

Καὶ νῦν.

Σωματικαῖς μορφώσεσι τῶν ἀσωμάτων δυνάμεων, πρὸς νοερὰν καὶ ἄϋλον ἀναγόμενοι ἔννοιαν, καὶ τρισαγίῳ μελωδήματι τρισυποστάτου θεότητος δεχόμενοι ἔλλαμψιν, χερουβικῶς βοήσωμεν, ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεὸς ἡμῶν. πρεσβείαις τῆς θεοτόκου ἐλέησον, καὶ σῶσον ἡμᾶς.

Τρια-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Τριαδικοὶ ἦχ. β΄.

ΤΑὰς ἄνω δυνάμεις μιμούμενοι ἐπὶ τῆς γῆς, ἐπινίκιον ὕμνον προσφέρομέν σοι ἀγαθὲ, ἅγιος, ἅγιος, ἅγιος. πρεσβείαις Ν. ἐλέησον, καὶ σῶσον ἡμᾶς.

Δόξα Πατρὶ καὶ.

Ἄκτιστε φύσις ἡ τῶν ὅλων δημιουργὸς, τὰ χείλη ἡμῶν ἄνοιξον· ὅπως ἀναγγέλλωμεν τὴν αἴνεσίν σου, βοῶντες, ἅγιος, ἅγιος, ἅγιος· πρεσβείαις τῶν ἁγίων σου, ἐλέησον, καὶ σῶσον ἡμᾶς.

Καὶ νῦν,

ΤΟῦ ὄρθρου ἐξεγειρόμενοι τὸν ἀγγελικόν σοι προσφέρομεν ὕμνον, σὺν τῷ Πατρὶ, καὶ τῷ Ἁγίῳ Πνεύματι· ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεὸς. πρεσβείαις τῆς θεοτόκου ἐλέησον, καὶ σῶσον ἡμᾶς.

Τριαδικοὶ ἦχ. γ΄.

ΠΑτέρα ἄναρχον, Υἱὸν συνάναρχον, Πνεῦμα συναΐδιον· Θεότητα μίαν χερουβικῶς δοξολογεῖν τολμῶντες λέγωμεν, ἅγιος, ἅγιος, ἅγιος· πρεσβείαις Ν. ἐλέησον, καὶ σῶσον ἡμᾶς.

Δόξα Πατρὶ.

ΤΡιὰς ὁμοούσιε καὶ ἀδιαίρετε, μονὰς τρισυπόστατε, καὶ συναΐδιε· ὡς Θεῷ τῶν ἀγγέλων τὸν ὕμνον βοῶμέν σοι, ἅγιος, ἅγιος, ἅγιος· πρεσβείαις τῶν ἁγίων σου ἐλέησον, καὶ σῶσον ἡμᾶς.

Καὶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Καὶ νῦν.

Α᾽Θρόον ὁ κριτὴς ἐπελεύσεται, καὶ ἑκάστου αἱ πράξεις γυμνωθήσονται. Ἀλλὰ φόβῳ κράξωμεν ἐν τῷ μέσῳ τῆς νυκτὸς, ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεὸς· πρεσβείαις τῆς θεοτόκου ἐλέησον, καὶ σῶσον ἡμᾶς.

Ὕμνοι τριαδικοὶ ἦχ. δ΄.

Ω῾Σ αἱ τάξεις νῦν τῶν ἀγγέλων ἐν οὐρανῷ, καὶ στάσεις φόβῳ ἀνθρώπων ἐπὶ τῆς γῆς, ἐπινίκιον ὕμνον προσφέρομέν σοι ἀγαθὲ, ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεός. πρεσβείαις Ν. ἐλέησον, καὶ σῶσον ἡμᾶς.

Δόξα Πατρί.

ΤΩ῀Ν νοερῶν σου λειτουργῶν προσφέρειν οἱ θνητοὶ τὸν ὕμνον τολμῶντες, λέγωμεν, ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεὸς· πρεσβείαις τῶν ἁγίων σου ἐλέησον, καὶ σῶσον ἡμᾶς.

Καὶ νῦν.

ΤὈν ἄναρχόν σου πατέρα, καὶ σὲ Χριστὲ ὁ Θεὸς, καὶ τὸ πανάγιόν σου Πνεῦμα χερουβικῶς δοξολογεῖν τολμῶντες, λέγωμεν, ἅγιος, ἅγιος, ἅγιος, εἶ ὁ Θεὸς ἡμῶν. πρεσβείαις τῆς Θεοτόκου ἐλέησον, καὶ σῶσον ἡμᾶς.

Τριαδικοὶ ἦχ. πλα. α΄.

Υ῾Μνῳδίας ὁ καιρὸς, καὶ δεήσεως ὥρα, ἐκτενῶς βοήσωμεν τῷ μόνῳ Θεῷ, ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεὸς· πρεσβείαις Ν. ἐλέησον καὶ σῶσον ἡμᾶς.

Δόξα

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Δόξα Πατρί.

ΕΙκονίζειν τολμῶντες τὰ νοερά σου στρατεύματα, τριὰς ἄναρχε, στόμασιν ἀναξίοις βοῶμέν σοι, ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεός· πρεσβείαις τῶν ἁγίων, σου ἐλέησον καὶ σῶσον ἡμᾶς.

Καὶ νῦν.

Ο Ἐν μήτρᾳ παρθενικῇ χωρηθεὶς, καὶ τῶν κόλπων τοῦ πατρὸς μὴ χωρισθεὶς, σὺν ἀγγέλοις, καὶ ἡμᾶς πρόσδεξαι βοῶντάς σοι, ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεός. πρεσβείαις τῆς θεοτόκου ἐλέησον, καὶ σῶσον ἡμᾶς.

Ὕμνοι τριαδικοὶ ἦχ. πλα. β'.

ΠΑριστάμενα φόβῳ τὰ χερουβεὶμ, ἐξιστάμενα τρόμῳ τὰ σεραφεὶμ τὸν τρισάγιον ὕμνον προσφέρει ἀσιγήτῳ φωνῇ, μεθ' ὧν καὶ ἡμεῖς βοῶμεν οἱ ἁμαρτωλοὶ, ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεός. πρεσβείαις Ν. ἐλέησον, καὶ σῶσον ἡμᾶς.

Δόξα πατρί.

ΤΡιαδικῆς μονάδος θεότητα ἀσυγχύτῳ ἑνώσει δοξάζομεν, καὶ τῶν ἀγγέλων τὸν ὕμνον βοῶμέν σοι, ἅγιος, ἅγιος, ἅγιος, εἶ ὁ Θεός. πρεσβείαις τῶν ἁγίων σου ἐλέησον, καὶ σῶσον ἡμᾶς.

Καὶ νῦν.

ΑΣωμάτοις στόμασιν ἀσιγήτοις δοξολογίαις, τὰ ἑξαπτέρυγα ᾄδουσί σοι τὸν τρισάγιον ὕμνον ὁ Θεὸς ἡμῶν, καὶ ἡμεῖς οἱ ἐπὶ γῆς ἀναξίοις χείλεσιν ὕμνον



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

σοι ἀναπέμπομεν, ἅγιος, ἅγιος, ἅγιος. πρεσβείαις τῆς θεοτόκου, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Ὕμνοι τριαδικοὶ ἦχ. βαρὺς.

ΩΣ ὕπνον τὸν ὄκνον ἀποθεμένη ψυχὴ, διόρθωσιν πρὸς ἔγερσιν δεῖξον τῷ κριτῇ, καὶ ἐν φόβῳ βόησον ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεός· πρεσβείαις Ν. ἐλέησον, καὶ σῶσον ἡμᾶς.

Δόξα πατρὶ.

ΟΥ'ψίστῳ δυνάμει χερουβικῶς ἀνυμνούμενος, καὶ θεϊκῇ τῇ δόξῃ ἀγγελικῶς προσκυνούμενος, πρόσδεξαι καὶ ἡμᾶς τοὺς ἁμαρτωλοὺς, ἀναξίως τολμῶντας κραυγάζειν σοι, ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεός. πρεσβείαις τῶν ἁγίων σου ἐλέησον, καὶ σῶσον ἡμᾶς.

Καὶ νῦν.

ΤΗ' ἀπροσίτῳ θεότητι, τῇ ἐν μονάδι τριάδι τῶν σεραφὶμ τὸν τρισάγιον ἀναμέλποντες αἶνον, μετὰ φόβου βοήσωμεν ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεός. πρεσβείαις τῆς θεοτόκου ἐλέησον, καὶ σῶσον ἡμᾶς.

Ὕμνοι τριαδικοὶ ἦχ. πλ. δ'.

ΚΑτακαμπτόμενοι τῷ πλήθει τῶν πταισμάτων ἡμῶν, καὶ μὴ τολμῶντες ἀτενίσαι τῷ ὕψει σου, τὴν ψυχὴν σὺν τῷ σώματι κλίναντες, μετὰ ἀγγέλων τὸν ὕμνον βοῶμέν σοι, ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεός· πρεσβείαις Ν. ἐλέησον, καὶ σῶσον ἡμᾶς.

Δόξα

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δόξα πατρὶ.

Εἰς οὐρανὸν τὰς καρδίας ἔχοντες, ἀγγελικὴν μιμησώμεθα τάξιν· καὶ ἐν φόβῳ τῷ ἀδεκάστῳ προσπέσωμεν, ἐπινίκιον ἀναμέλποντες αἶνον ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεός· πρεσβείαις τῶν ἁγίων σου ἐλέησον, καὶ σῶσον ἡμᾶς.

Καὶ νῦν.

Σὲ ὑμνοῦσι τὰ χερουβὶμ, καὶ τὰ σεραφὶμ, καὶ ἡμεῖς ἐξ ὕπνου ἐξεγερθέντες τῶν ἀγγέλων τὸν ὕμνον βοήσωμεν, ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεός· πρεσβείαις τῆς Θεοτόκου ἐλέησον, καὶ σῶσον ἡμᾶς.

## ΑΠΟΛΥΤΙΚΙΑ ΑΝΑΣΤΑΣΙΜΑ,

Τῶν ὀκτὼ ἤχων, σὺν τοῖς Θεοτοκίοις αὐτῶν.

Τροπάριον ἦχ. α΄.

Τοῦ λίθου σφραγισθέντος ὑπὸ τῶν Ἰουδαίων, καὶ στρατιωτῶν φυλασσόντων τὸ ἄχραντόν σου σῶμα, ἀνέστης τριήμερος σωτὴρ, δωρούμενος τῷ κόσμῳ τὴν ζωήν· διὰ τοῦτο αἱ δυνάμεις τῶν οὐρανῶν ἐβόων σοι ζωοδότα, δόξα τῇ ἀναστάσει σου Χριστὲ, δόξα τῇ βασιλείᾳ σου, δόξα τῇ οἰκονομίᾳ σου, μόνε φιλάνθρωπε.

Θεοτοκίον.

Τοῦ Γαβριὴλ φθεγξαμένου σοὶ παρθένε τὸ χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων δεσπότης, ἐν

 σοὶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαβίδ, ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν κτίστην σου· δόξα τῷ ἐνοικήσαντι ἐν σοὶ, δόξα τῷ προελθόντι ἐκ σοῦ, δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ τοῦ τόκου σου. Ὑπακοή.

Ἡ τοῦ λῃστοῦ μετάνοια τὸν παράδεισον ἐσύλησεν, ὁ δὲ θρῆνος τῶν μυροφόρων τὴν χαρὰν ἐμήνυσεν, ὅτι ἀνέστη Χριστὸς ὁ Θεὸς παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος. Κοντάκ.

Ἐξανέστης ὡς Θεὸς ἐκ τοῦ τάφου ἐν δόξῃ, καὶ κόσμον συνανέστησας, καὶ ἡ φύσις τῶν βροτῶν ὡς Θεόν σε ἀνύμνησε, καὶ θάνατος ἠφάνισται, καὶ ὁ Ἀδὰμ χορεύει δέσποτα, καὶ ἡ Εὔα νῦν ἐκ τῶν δεσμῶν λυτρουμένη, χαίρει κράζουσα, σὺ εἶ ὁ πᾶσι παρέχων Χριστὲ τὴν ἀνάστασιν.

Προκείμενα τῆς λειτουργίας. ἦχ. α'.

Γένοιτο κύριε τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ. στίχ.

Ἀγαλλιᾶσθε δίκαιοι ἐν κυρίῳ, τοῖς εὐθέσι πρέπει αἴνεσις. μετὰ τὴν ἐπιστολὴν ἀλλ.

Ὁ Θεὸς ὁ διδοὺς ἐκδικήσεις ἐμοὶ, καὶ ὑποτάξας λαοὺς ὑπ' ἐμέ. στίχ.

Μεγαλύνων τὰς σωτηρίας τοῦ βασιλέως, καὶ ποιῶν ἔλεος τῷ Χριστῷ αὐτοῦ. Κοινωνικόν.

Αἰνεῖτε τὸν κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. ἀλληλούϊα γ'.

Τεσ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Τροπάριον τοῦ ἤχ. β'.

Ὅτε κατῆλθες πρὸς τὸν θάνατον ἡ ζωὴ ἡ ἀθάνατος, τότε τὸν ᾅδην ἐνέκρωσας τῇ ἀστραπῇ τῆς θεότητος, ὅτε δὲ καὶ τοὺς τεθνεῶτας ἐκ τῶν καταχθονίων ἀνέστησας, πᾶσαι αἱ δυνάμεις τῶν ἐπουρανίων ἐκραύγαζον, ζωοδότα Χριστὲ ὁ Θεὸς ἡμῶν δόξα σοι.

Θεοτοκίον.

Πάντα ὑπὲρ ἔννοιαν, πάντα ὑπερένδοξα τὰ σὰ θεοτόκε μυστήρια· τῇ ἁγνείᾳ ἐσφραγισμένη, καὶ παρθενίᾳ φυλαττομένη μήτηρ ἐγνώσθης ἀψευδής, Θεὸν τεκοῦσα ἀληθινόν, αὐτὸν ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὑπακοή.

Μετὰ τὸ πάθος πορευθεῖσαι ἐν τῷ μνήματι πρὸς τὸ μυρίσαι τὸ σῶμά σου αἱ γυναῖκες Χριστὲ ὁ Θεός, εἶδον ἀγγέλους ἐν τῷ τάφῳ καὶ ἐξέστησαν, φωνῆς γὰρ ἤκουον ἐξ αὐτῶν, ὅτι ἀνέστη ὁ κύριος, δωρούμενος ἡμῖν τὸ μέγα ἔλεος.

Κοντάκιον.

Ἀνέστης σωτὴρ ἐκ τάφου παντοδύναμε, καὶ ᾅδης ἰδὼν τὸ θαῦμα ἐξεπλήττετο, καὶ νεκροὶ συνανίσταντο, καὶ ἡ κτίσις ἰδοῦσα συγχαίρει σοι, καὶ ὁ Ἀδὰμ συναγάλλεται, καὶ κόσμος σωτήρ μου ἀνυμνεῖ σε ἀεί.

Προκείμενα ἦχ. β'.

Ἰσχύς μου, καὶ ὕμνησίς μου ὁ κύριος, καὶ ἐγένετό μοι εἰς σωτηρίαν.

Στίχ.

Παιδεύων ἐπαίδευσέ με ὁ κύριος, καὶ τῷ θανάτῳ οὐ παρέδωκέ με.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Μετὰ τὴν ἐπισολὴν ἀλλ.

Ἐπακούσαι σου κύριος ἐν ἡμέρᾳ θλίψεως, ὑπερασπίσαι σου τὸ ὄνομα τοῦ Θεοῦ Ἰακώβ. στχ.
Κύριε σῶσον τὸν βασιλέα, καὶ ἐπάκουσον ἡμῶν ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλεσώμεθά σε. Κοιν. Αἰνεῖτ.

Τροπάριον τοῦ τρίτου ἤχου.

Εὐφραινέσθω τὰ οὐράνια ἀγαλλιάσθω τὰ ἐπίγεια, ὅτι ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ· ὁ κύριος ἐπάτησε τῷ θανάτῳ τὸν θάνατον, πρωτότοκος τῶν νεκρῶν ἐγένετο. ἐκ κοιλίας ᾅδου ἐρρύσατο ἡμᾶς, καὶ παρέχει τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Θεοτοκίον.

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν θεοτόκε παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ υἱός σου, καὶ Θεὸς ἡμῶν, τὸ διὰ σταυροῦ καταδεξάμενος πάθος· ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

Ὑπακοή.

Ἐκπλήττων τῇ ὁράσει, δροσίζων τοῖς ῥήμασιν ὁ ἀστράπτων ἄγγελος ταῖς μυροφόροις ἔλεγε, τὸν ζῶντα τί ζητεῖτε ἐν μνήματι; ἠγέρθη κενώσας τὰ μνήματα. Τῆς φθορᾶς ἀλλοιωτὴν γνῶτε τὸν ἀναλλοίωτον, εἴπατε τῷ Θεῷ, ὡς φοβερὰ τὰ ἔργα σου, ὅτι τὸ γένος ἔσωσας τῶν ἀνθρώπων. Κοντάκιον.

Ἐξανέστης σήμερον ἀπὸ τοῦ τάφου οἰκτίρμων, καὶ ἡμᾶς ἐξήγαγες ἐκ τῶν πυλῶν τοῦ θανάτου, σήμερον

Ἀδὰμ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἀδὰμ χορεύει, καὶ χαίρει Εὔα, ἅμα δὲ καὶ οἱ προφῆται σὺν πατριάρχαις ἀνυμνοῦσιν ἀκαταπαύστως τὸ θεῖον κράτος τῆς ἐξουσίας σου.

Προκ. ἦχ. γ'.

ΜΕ'γας ὁ κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ, καὶ τῆς συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός. στίχ.

Α'ινεῖτε τὸν κύριον ὅτι ἀγαθὸν, ψαλμὸς τῷ Θεῷ ἡμῶν ἡδυνθείη ἡ αἴνεσις. ἀλλ.

Ε'πὶ σοὶ κύριε ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα, ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με, καὶ ἐξελοῦ με. στίχ.

Γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστὴν, καὶ εἰς τόπον ὀχυρὸν τοῦ σῶσαί με. Κοιν. Α'ινεῖτ.

Τοῦ τετάρτου ἤχου ἀπολυτίκιον.

ΤΟ' φαιδρὸν τῆς ἀναστάσεως κήρυγμα, ἐκ τοῦ ἀγγέλου μαθοῦσαι αἱ τοῦ κυρίου μαθήτριαι, καὶ τὴν προγονικὴν ἀπόφασιν ἀποῤῥίψασαι· τοῖς ἀποστόλοις καυχώμεναι ἔλεγον, ἐσκύλευται ὁ θάνατος, ἠγέρθη Χριστὸς ὁ Θεὸς· δωρούμενος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Θεοτοκίον.

ΤΟ' ἀπ' αἰῶνος ἀπόκρυφον, καὶ ἀγγέλοις ἄγνωστον μυστήριον, διὰ σοῦ θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται· Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος· δι' οὗ ἀναστήσας τὸν πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὑπακοή.

ΤΑ' τῆς σῆς παραδόξου ἐγέρσεως προδραμοῦσαι αἱ μυροφόροι, τοῖς ἀποστόλοις ἐκήρυττον Χριστὲ, ὅτι ἀνέστης ὡς Θεὸς, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Κοντάκιον.

Ὁ Σωτὴρ, καὶ ῥύστης μου ἀπὸ τοῦ τάφου ἐγερθεὶς, ὡς Θεὸς ἀνέστησας ἐκ τῶν δεσμῶν τοὺς γηγενεῖς, καὶ πύλας ᾅδου συνέτριψας, καὶ ὡς δεσπότης ἀνέστης τριήμερος. Προκ. ἦχ. δ'.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας. στίχ.

Εὐλόγει ἡ ψυχή μου τὸν κύριον, κύριε ὁ Θεός μου ἐμεγαλύνθης σφόδρα. Ἀλλ.

ἜΝτεινον καὶ κατευοδοῦ, καὶ βασίλευε ἕνεκεν ἀληθείας, καὶ πραότητος, καὶ δικαιοσύνης, καὶ ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου. στίχ.

Ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν, διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς, ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. Κοιν. Αἰνεῖτ.

Τοῦ πλαγίου πρώτου ἤχου τροπάριον.

ΤΟ'ν συνάναρχον λόγον πατρὶ, καὶ πνεύματι, τὸν ἐκ παρθένου τεχθέντα εἰς σωτηρίαν ἡμῶν, ἀνυμνήσωμεν πιστοὶ, καὶ προσκυνήσωμεν· ὅτι ηὐδόκησε σαρκὶ ἀνελθεῖν ἐν τῷ σταυρῷ, καὶ θάνατον ὑπομεῖναι, καὶ ἐγεῖραι τοὺς τεθνεῶτας ἐν τῇ ἐνδόξῳ ἀναστάσει αὐτοῦ.

Θεο-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Θεοτοκίον.

Χαῖρε πύλη κυρίου ἡ ἀδιόδευτος, χαῖρε τεῖχος, καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ, χαῖρε ἀχείμαστε λιμήν, καὶ ἀπειρόγαμε· ἡ τεκοῦσα ἐν σαρκὶ τὸν ποιητήν σου, καὶ Θεόν, πρεσβεύουσα μὴ παρείδῃς ὑπὲρ τῶν ἀνυμνούντων, καὶ προσκυνούντων τὸν τόκον σου.

Ὑπακοή.

Ἀγγελικῇ ὁράσει τὸν νοῦν ἐκθαμβούμεναι, αἱ μυροφόροι τοῖς ἀποστόλοις εὐηγγελίζοντο, ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὴν ἀνάστασιν τοῦ κυρίου, συνεργοῦντος τοῖς θαύμασι, τοῦ παρέχοντος ἡμῖν τὸ μέγα ἔλεος. Κοντάκιον.

Πρὸς τὸν ᾅδην σωτήρ μου καταβέβηκας, καὶ τὰς πύλας συντρίψας ὡς παντοδύναμος, τοὺς θανόντας ὡς κτίστης συνεξανέστησας, καὶ θανάτου τὸ κέντρον Χριστὲ συνέτριψας, καὶ Ἀδὰμ τῆς κατάρας ἐρρύσθη φιλάνθρωπε, διὸ πάντες κράζομέν σοι, σῶσον ἡμᾶς κύριε. Προκ. ἦχ. πλα. α.

Σὺ κύριε φυλάξαις ἡμᾶς, καὶ διατηρήσαις ἡμᾶς ἀπὸ τῆς γενεᾶς ταύτης, καὶ εἰς τὸν αἰῶνα. στίχ.

Σῶσόν με κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος, ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων.

Ἀλληλ.

Τὰ ἐλέη σου κύριε εἰς τὸν αἰῶνα ᾄσομαι, εἰς γενεάν, καὶ γενεὰν ἀπαγγελῶ τὴν ἀλήθειάν σου ἐν τῷ στόματί μου. στίχ.

Ὅτι

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Ὅτι εἶπας εἰς τὸν αἰῶνα ἔλεος οἰκοδομηθήσεται, ἐν τοῖς οὐρανοῖς ἑτοιμασθήσεται ἡ ἀλήθειά σου. Και. Α᾽ιν.

Τοῦ ἤχ. πλαγίου δευτέρου τροπ.

Ἀγγελικαὶ δυνάμεις ἐπὶ τὸ μνῆμά σου, καὶ οἱ φυλάσσοντες ἀπενεκρώθησαν, καὶ ἵστατο Μαρία ἐν τῷ τάφῳ ζητοῦσα τὸ ἄχραντόν σου σῶμα· ἐσκύλευσας τὸν ᾅδην, μὴ πειρασθεὶς ὑπ᾽ αὐτοῦ, ὑπήντησας τῇ παρθένῳ δωρούμενος τὴν ζωήν. ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν κύριε δόξα σοι.

Θεοτοκίον.

Ὁ τὴν εὐλογημένην καλέσας σου μητέρα, ἦλθες ἐπὶ τὸ πάθος ἑκουσίᾳ βουλῇ· λάμψας ἐν τῷ σταυρῷ ἀναζητῆσαι θέλων τὸν Ἀδὰμ, λέγων τοῖς ἀγγέλοις συγχάρητέ μοι, ὅτι εὑρέθη ἡ ἀπολλυμένη δραχμή· ὁ πάντα σοφῶς οἰκονομήσας Θεὸς δόξα σοι.

Ὑπακοή.

Τῷ ἑκουσίῳ, καὶ ζωοποιῷ σου θανάτῳ Χριστὲ, πύλας τοῦ ᾅδου συντρίψας ὡς Θεὸς, ἤνοιξας ἡμῖν τὸν πάλαι παράδεισον· καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν, ἐρρύσω ἐκ φθορᾶς τὴν ζωὴν ἡμῶν.

Κοντάκιον.

Τῇ ζωαρχικῇ παλάμῃ καὶ δυναστείᾳ ἐκ τῶν ζοφερῶν τοῦ ᾅδου δεινῶν κευθμώνων ἀναστήσαντα γένος ἀνθρώπων, καὶ σήμερον τοῦ μνήματος ἀναστάντα ὡς Θεὸν ἡμῶν εὐχαρίστως ἀνυμνήσωμεν, αὐτὸς γὰρ τῶν πιστῶν ἡ ζωὴ, καὶ τὸ φῶς.

Περκ.

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Προκ. ἦχ. πλα. β'.

Σῶσον κύριε τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου. Στίχ.

Πρὸς σὲ κύριε κεκράξομαι, ὁ Θεός μου μὴ παρασιωπήσῃς ἀπ' ἐμοῦ. Ἀλληλ.

Ὁ Κατοικῶν ἐν βοηθείᾳ τοῦ ὑψίστου, ἐν σκέπῃ τοῦ Θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται. Στίχ.

Ἐρεῖ τῷ κυρίῳ ἀντιλήπτωρ μου εἶ, καὶ καταφυγή μου ὁ Θεὸς καὶ ἐλπιῶ ἐπ' αὐτόν. Κοινον. Αἰνεῖτ.

Τροπ. τοῦ ἦχ. βαρύς.

Κατέλυσας τῷ σταυρῷ σου τὸν θάνατον, ἠνέωξας τῷ λῃστῇ τὸν παράδεισον, τῶν μυροφόρων τὸν θρῆνον μετέβαλες· καὶ τοῖς σοῖς ἀποστόλοις κηρύττειν ὑπέταξας, ὅτι ἀνέστης Χριστὲ ὁ Θεὸς, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Θεοτοκίον.

Ὦ Σὺ τῆς ἡμῶν ἀναστάσεως θησαύρισμα, τοὺς ἐπὶ σοὶ πεποιθότας πανύμνητε, ἐκ λάκκου, καὶ βυθοῦ πταισμάτων ἀνάγαγε· σὺ γὰρ τοὺς ὑπευθύνους τῇ ἁμαρτίᾳ ἔσωσας, τεκοῦσα τὴν σωτηρίαν ἡμῶν ἡ πρὸ τόκου παρθένος, καὶ ἐν τόκῳ παρθένος, καὶ μετὰ τόκον πάλιν μένεις παρθένος.

Ὑπακοή.

Ἡμετέραν μορφὴν ἀναλαβὼν, καὶ ὑπομείνας σταυρὸν σωματικῶς, σῶσόν με τῇ ἀναστάσει σου Χριστὲ ὁ Θεὸς, ὡς φιλάνθρωπος.

Κον-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Κοντάκιον.

Ο Υκ ἔτι τὸ κράτος τοῦ θανάτου ἰσχύσει κατέχειν τοὺς βροτούς, Χριστὸς γὰρ κατῆλθε συντρίβων, καὶ λύων τὰς δυνάμεις αὐτοῦ· δεσμεῦται ὁ ᾅδης, προφῆται συμφώνως ἀγάλλονται, ἐπέστη λέγοντες σωτὴρ τοῖς ἐν πίστει, ἐξέρχεσθε οἱ πιστοὶ εἰς τὴν ἀνάστασιν.

Προκ. ἦχ. βαρύς.

Κ Ύριος ἰσχὺν τῷ λαῷ αὐτοῦ δώσει, κύριος εὐλογήσει τὸν λαὸν αὐτοῦ ἐν εἰρήνῃ. Στίχ.

Ε᾿ νέγκατε τῷ κυρίῳ Υἱοὶ Θεοῦ, ἐνέγκατε τῷ κυρίῳ υἱοὺς κριῶν. Ἀλληλ.

Α᾿ Γαθὸν τὸ ἐξομολογεῖσθαι τῷ κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου ὕψιστε. Στίχ.

Τ οῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα. Κοινονικ. Αἰνεῖτε.

Τοῦ ἤχου πλα. δ'. τροπ.

Ε Ξ ὕψους κατῆλθες ὁ εὔσπλαγχνος, ταφὴν κατεδέξω τριήμερον· ἵνα ἡμᾶς ἐλευθερώσῃς τῶν παθῶν, ἡ ζωὴ καὶ ἡ ἀνάστασις ἡμῶν κύριε δόξα σοι.

Θεοτοκίον.

Ο Δι᾿ ἡμᾶς γεννηθεὶς ἐκ παρθένου, καὶ σταυρωσιν ὑπομείνας ἀγαθὲ, ὁ θανάτῳ τὸν θάνατον σκυλεύσας, καὶ ἔγερσιν δείξας, ὡς Θεὸς μὴ παρίδῃς οὓς ἔπλασας τῇ χειρί σου· δεῖξον τὴν φιλανθρωπίαν σου ἐλεῆμον, δέξαι τὴν τεκοῦσάν σε θεοτόκον, πρεσβεύουσαν ὑπὲρ ἡμῶν, καὶ σῶσον σωτὴρ ἡμῶν λαὸν ἀπεγνωσμένον.

Ὑπα-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὑπακοή.

ΑἹ μυροφόροι τοῦ ζωοδότου ἐπιστᾶσαι τῷ μνήματι τὸν δεσπότην ἐζήτουν ἐν νεκροῖς τὸν ἀθάνατον, καὶ χαρᾶς εὐαγγέλια ἐκ τοῦ ἀγγέλου δεξάμεναι τοῖς ἀποστόλοις ἐκήρυττον, ὅτι ἀνέστη ὁ κύριος παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Κοντάκιον.

ἘΞαναστὰς τοῦ μνήματος τοὺς τεθνεῶτας ἤγειρας, καὶ τοῦ θανάτου τὸ κράτος συνέτριψας, καὶ τὸν Ἀδὰμ ἀνέστησας, καὶ ἡ Εὔα χορεύει ἐν τῇ σῇ ἀναστάσει, κόσμου τὰ πέρατα πανηγυρίζουσι τῇ ἐκ νεκρῶν ἀναστάσει σου πολυέλεε.

Προκ. ἦχ. πλα. δ'.

ΕὔΞασθε, καὶ ἀπόδοτε κυρίῳ τῷ Θεῷ ἡμῶν. στιχ. Γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ Θεὸς, ἐν τῷ Ἰσραὴλ μέγα τὸ ὄνομα αὐτοῦ.

Ἀλληλ.

ΔΕῦτε ἀγαλλιασώμεθα τῷ κυρίῳ, ἀλαλάξωμεν τῷ Θεῷ τῷ σωτῆρι ἡμῶν. στιχ. Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ. Κοιν. Α'ινεῖτε τ.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

# ΑΠΟΛΥΤΙΚΙΑ ΕΝ ΤΗ ΑΙΤΗ, ΚΑΙ ΚΟΝΤΑΚΙΑ ΤΗΣ ΟΛΗΣ ΕΒΔΟΜΑΔΟΣ.

Τῇ κυριακῇ ἑσπέρᾳ, καὶ τῇ β΄. περὶ τῶν ἀσωμάτων.

Τροπάριον ἦχος τέταρτος.

ΤΩν οὐρανίων στρατιῶν ἀρχιστράτηγοι, δυσωποῦμεν ὑμᾶς οἱ ἀνάξιοι, ἵνα ταῖς ὑμῶν δεήσεσι τειχίσητε ἡμᾶς· σκέπῃ τῶν πτερύγων τῆς αὔλου ὑμῶν δόξης φρουροῦντες ἡμᾶς, προσπίπτοντας ἐκτενῶς, καὶ βοῶντας ἐκ τῶν κινδύνων λυτρώσατε ἡμᾶς, ὡς ταξιάρχαι τῶν ἄνω δυνάμεων.

Τροπ. τοῦ ἀγ. καὶ Θεοτοκίον.

ΟΤι πάντων ὑπάρχεις τῶν ποιημάτων ὑπερτέρα, ἀνυμνεῖν σε ἀξίως μὴ εὐποροῦντες Θεοτόκε· δωρεὰν αἰτοῦμέν σε ἐλέησον ἡμᾶς.

Κοντάκιον.

ΑΡχιστράτηγοι Θεοῦ, λειτουργοὶ θείας δόξης, τῶν ἀγγέλων ὁδηγοὶ, καὶ ἀρχηγοὶ ἀσωμάτων, τὸ συμφέρον ἡμῖν πρεσβεύσατε, καὶ τὸ μέγα ἔλεος, ὡς τῶν ἀσωμάτων ἀρχιστράτηγοι.

Προκείμενα ἦχ. δ΄.

ΟΠοιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. στίχ.

ΕΥλόγει ἡ ψυχή μου τὸν κύριον, κύριε ὁ Θεός μου ἐμεγαλύνθης σφόδρα.

Ἀλ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἀλληλ.

ΑἸνεῖτε αὐτὸν πάντες οἱ ἄγγελοι αὐτοῦ, αἰνεῖτε αὐτὸν πᾶσαι αἱ δυνάμεις αὐτοῦ. στίχ.

Ὅτι αὐτὸς εἶπε καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν. Κοινωνικόν.

Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα καὶ τοὺς λειτ.

Τῇ β΄. ἑσπ. καὶ γ΄. περὶ τοῦ προδρόμου.

Τροπ. ἦχ. δ΄.

ΠΡοφῆτα, καὶ πρόδρομε τῆς παρουσίας Χριστοῦ, ἀξίως εὐφημῆσαί σε οὐκ εὐποροῦμεν ἡμεῖς οἱ πόθῳ τιμῶντές σε, στείρωσις γὰρ τεκούσης, καὶ πατρὸς ἀφωνία λέλυνται, τῇ ἐνδόξῳ καὶ σεπτῇ σου γεννήσει, καὶ σάρκωσις υἱοῦ τοῦ Θεοῦ κόσμῳ κηρύττεται.

Τροπ. τοῦ ἁγίου, καὶ Θεοτόκιον.

ὍΤι πάντων ὑπάρχεις τῶν ποιημάτων ἀνωτέρα, ἀνυμνεῖν σε ἀξίως μὴ εὐποροῦντες, θεοτόκε, δωρεὰν αἰτούμεθά σε ἐλέησον ἡμᾶς.

Κοντάκιον.

ἩΠρὶν στεῖρα, σήμερον Χριστοῦ τὸν πρόδρομον τίκτει, καὶ αὐτὸς τὸ πλήρωμα πάσης τῆς προφητείας· ὃν γὰρ οἱ προφῆται προεκήρυξαν, τοῦτον ἐν Ἰορδάνῃ χειροθετήσας, ἀνεδείχθη θείου λόγου προφήτης, κήρυξ ὁμοῦ, καὶ πρόδρομος.

Προκείμενα ἦχ. βαρύς.

ΕὙφρανθήσεται δίκαιος ἐν τῷ κυρίῳ, καὶ ἐλπιεῖ ἐπ᾽ αὐτόν. στίχ.

Εἰσά-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Εἰσάκουσον ὁ Θεὸς φωνῆς μου ἐν τῷ δέεσθαί με πρὸς σέ.

Ἀλληλ.

Φῶς ἀνέτειλε τῷ δικαίῳ, καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ εὐφροσύνη. Στιχ.

Εὐφράνθητε δίκαιοι ἐν τῷ κυρίῳ, καὶ ἐξομολογεῖσθε τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτοῦ. Κοινων.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος, ἀπὸ ἀκοῆς πονηρᾶς οὐ φοβηθήσεται.

Τῇ γ΄. ἑσπ. καὶ δ΄. περὶ τοῦ σταυροῦ. Τροπ. ἦχ. α΄.

Σῶσον κύριε τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου· νίκας τοῖς βασιλεῦσι κατὰ βαρβάρων δωρούμενος, καὶ τὸ σὸν φυλάττων διὰ τοῦ σταυροῦ σου πολίτευμα.

Τροπ. τοῦ ἁγ. καὶ Θεοτοκίον.

Οἱ τὴν σὴν προστασίαν κεκτημένοι ἄχραντε, καὶ ταῖς σαῖς ἱκεσίαις τῶν δεινῶν ἐκλυτρούμενοι, τῷ σταυρῷ τοῦ υἱοῦ σου ἐν παντὶ φρουρούμενοι. καταχρέως σε πάντες εὐσεβῶς μεγαλύνομεν.

Κοντάκιον.

Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ ἑκουσίως, τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ, τοὺς οἰκτιρμούς σου δώρησαι Χριστὲ ὁ Θεός. εὔφρανον ἐν τῇ δυνάμει σου τοὺς πιστοὺς βασιλεῖς ἡμῶν, νίκας χορηγῶν αὐτοῖς κατὰ τῶν πολεμίων. τὴν συμμαχίαν ἔχουσι τὴν σήν, ὅπλον εἰρήνης ἀήττητον τρόπαιον.

Περ-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Προκείμενα ἦχ. πλα. β'.

ΣΩ͂σον κύριε τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου. στίχ.

Πρός σε κύριε κεκράξομαι, ὁ Θεός μου μὴ παρασιωπήσῃς ἀπ' ἐμοῦ. Ἀλληλ.

ΜΝήσθητι κύριε τῆς συναγωγῆς σου, ἧς ἐκτήσω ἀπ' ἀρχῆς ἐλυτρώσω ῥάβδον κληρονομίας σου. στίχ.

Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰῶνος, εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς. Κοινων.

Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου κύριε.

Τῇ δ'. ἑσπ. καὶ ε'. περὶ τῶν Ἀποστόλων,

Τροπ. ἦχ. γ'.

ΑΠόστολοι ἅγιοι πρεσβεύσατε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν παράσχῃ ταῖς ψυχαῖς ἡμῶν, καὶ τὸ μέγα ἔλεος.

Τροπ. τοῦ ἁγ. καὶ Θεοτοκίον.

ΚΑταφυγὴ καὶ δύναμις ἡμῶν Θεοτόκε, ἡ κραταιὰ βοήθεια τοῦ κόσμου. ταῖς πρεσβείαις σου ῥῦσαι τοὺς δούλους σου, ἀπὸ πάσης ἀνάγκης, μόνη ἁγνὴ, μόνη εὐλογημένη.

Κοντάκιον.

ΤΟὺς ἀσφαλεῖς, καὶ θεοφθόγγους κήρυκας, τὴν κορυφὴν τῶν Ἀποστόλων, κύριε, προσελάβου εἰς ἀπόλαυσιν τῶν ἀγαθῶν σου καὶ ἀνάπαυσιν. τοὺς πόνους γὰρ ἐκείνων καὶ τὸν θάνατον ἐδέξω, ὑπὲρ πᾶσαν ὁλοκάρπωσιν. ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Προκείμενα ἦχ. πλα. δ'.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. στίχ.

Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.

Ἀλλ.

Ἐξομολογήσονται οἱ οὐρανοὶ τὰ θαυμάσιά σου κύριε, καὶ γὰρ τὴν ἀλήθειάν σου ἐν ἐκκλησίᾳ ἁγίων. στίχ.

Ὁ Θεὸς ἐνδοξαζόμενος ἐν βουλῇ ἁγίων, μέγας, καὶ φοβερός ἐστιν ἐπὶ πάντας τοὺς περικύκλῳ αὐτοῦ.

Κοινωνικόν.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ.

Τῇ ε'. ἑσπ. καὶ τῆς ς'. πρωΐ τοῦ σταυροῦ, Τροπ. ἦχ. α'.

Σῶσον κύριε τὸν λαόν σου, καὶ. ζήτει ὄπισθεν.

Τῇ ς'. ἑσπ. καὶ τῷ Σαββάτῳ πρωΐ, Τροπ. ἦχ. β'.

Ἀπόστολοι, Μάρτυρες, καὶ Προφῆται, ἱεράρχαι, ὅσιοι, καὶ δίκαιοι, σὺν γυναιξὶν ἁγίαις, οἱ καλῶς τὸν ἀγῶνα τελέσαντες, καὶ τὴν πίστιν τηρήσαντες, παρρησίαν ἔχοντες πρὸς τὸν σωτῆρα, ὑπὲρ ἡμῶν αὐτὸν ὡς ἀγαθὸν ἱκετεύσατε, σωθῆναι δεόμεθα τὰς ψυχὰς ἡμῶν. Δόξα Πατρί.

Μνήσθητι κύριε ὡς ἀγαθὸς τῶν δούλων σου, καὶ ὅσα ἐν βίῳ ἥμαρτον συγχώρησον. οὐδεὶς γὰρ ἀναμάρτητος, εἰ μὴ σὺ εἶ ὁ δυνάμενος, καὶ τοῖς μεταστᾶσι δοῦναι τὴν ἀνάπαυσιν.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Θεοτοκίον.

Μήτηρ ἁγία τοῦ ἀφράστου φωτὸς, ἀγγελικοῖς σε ὕμνοις τιμῶντες μεγαλύνομεν.

Κοντάκιον.

Μετὰ τῶν ἁγίων ἀνάπαυσον Χριστὲ τὰς ψυχὰς τῶν δούλων σου, ἔνθα οὐκ ἔστι πόνος, οὐ λύπη, οὐ στεναγμὸς, ἀλλὰ ζωὴ ἀτελεύτητος.

Προκείμενα ἦχ. πλα. β'.

Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται κύριε.

Πρὸς σὲ κύριε κεκράξομαι, καὶ πρὸς τὸν Θεόν μου δεηθήσομαι.

Ἀλλ.

Μακάριοι οὓς ἐξελέξω, καὶ προσελάβου, κατασκηνώσουσιν ἐν ταῖς αὐλαῖς σου κύριε. στίχ.

Ἐπάκουσον ἡμῶν ὁ Θεὸς, ὁ σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς, καὶ τῶν ἐν θαλάσσῃ μακράν.

Κοινωνικόν.

Μακάριοι οὓς ἐξελέξω, καὶ προσελάβου.

## ΑΠΟΛΥΤΙΚΙΑ, ΚΑΙ ΚΟΝΤΑΚΙΑ ΚΟΙΝΑ ΤΩΝ ΑΓΙΩΝ.

Τοῦ Προφήτου Τροπ. ἦχ. δ'.

Ἡ σεπτὴ τοῦ Προφήτου Ν. πανήγυρις, οὐρανὸν τὴν ἐκκλησίαν ἀνέδειξε, καὶ τοῖς ἀνθρώποις συγχορεύουσιν ἄγγελοι, ταῖς αὐτοῦ ἱκεσίαις Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐν εἰρήνῃ κυβέρνησον τὴν ζωὴν ἡμῶν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Θεοτοκίον.

ΣΕ μεγαλύνομεν θεοτόκε βοῶντες, σὺ εἶ τὸ ὄρος, ἐξ οὗ ἀῤῥήτως ἐτμήθη λίθος, καὶ πύλας τοῦ ᾅδου συνέθλιψεν.

Κοντάκιον.

ΠΡοφήτης Θεοῦ, καὶ κήρυξ ἀληθέστατος ἐδείχθης σοφὲ, τὴν χάριν τὴν τοῦ πνεύματος σαφηνίζων ἅπασι, τοῦ Χριστοῦ τὴν ἔλευσιν, ἔνδοξε, ᾧ καὶ πρεσβεύειν μὴ ἐλλείποις ὑπὲρ πάντων ἡμῶν.

Προκείμενον ἦχ. δ'.

ΜΗ ἅπτεσθε τῶν Χριστῶν μου, καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε. στιχ.

Ἐξομολογεῖσθε τῷ κυρίῳ, καὶ ἐπικαλεῖσθε τὸ ὄνομα αὐτοῦ.

Ἀλλ.

ΜΩϋσῆς καὶ Ἀαρὼν ἐν τοῖς ἱερεῦσιν αὐτοῦ, καὶ Σαμουὴλ ἐν τοῖς ἐπικαλουμένοις τὸ ὄνομα αὐτοῦ. στιχ.

Ἐπεκαλοῦντο τὸν κύριον, καὶ αὐτὸς εἰσήκουσεν αὐτῶν, ἐν στύλῳ νεφέλης ἐλάλει πρὸς αὐτούς. Κοιν.

ΕΙ'ς μνημόσυνον αἰώνιον ἔσται δίκαιος, ἀπὸ ἀκοῆς πονηρᾶς οὐ φοβηθήσεται.

Ἐὰν δὲ ἑορτάζομεν τὴν τῶν πλειόνων Προφητῶν ἑορτὴν, ἢ ἄλλων τῶν ἁγίων, τότε τὸ Τροπάριον, καὶ Κοντάκιον τῷ ἀριθμῷ πληθυντικῷ ἀναλέγομεν. καὶ κοιν. ἔστιν,

Ἀγαλλιᾶσθε δίκαιοι ἐν κυρίῳ, τοῖς εὐθέσι πρέπει αἴνεσις.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Εἰς ἕνα Ἀπόστολον Τροπ. ἦχ. γ΄.

Α'Πόστολε ἅγιε Ν. πρέσβευε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν, καὶ τὸ μέγα ἔλεος. Θεοτοκίον.

ΚΑταφυγὴ, καὶ δύναμις ἡμῶν θεοτόκε, ἡ κραταιὰ βοήθεια τοῦ κόσμου, ταῖς πρεσβείαις σου ῥῦσαι τοὺς δούλους σου ἀπὸ πάσης ἀνάγκης, μόνη ἁγνὴ μόνη εὐλογημένη. Κοντάκιον.

Ο' Μαθητὴς καὶ φίλος σου, καὶ μιμητὴς τοῦ πάθους σου, τῇ οἰκουμένῃ Θεόν σε ἐκήρυξεν, ὁ θεηγόρος κύριε. ταῖς αὐτοῦ ἱκεσίαις ἐξ ἐθνῶν παρανόμων τὴν ἐκκλησίαν σου, τὴν πολιτείαν σου διὰ τῆς θεοτόκου συντήρησον πολυέλεε.

Προκείμενα ἦχ. πλ. δ΄.

ΕΙ'ς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. στιχ. Ο'ι οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα. Ἀλλ.

ΕΞομολογήσονται οἱ οὐρανοὶ τὰ θαυμάσιά σου κύριε, καὶ γὰρ τὴν ἀλήθειάν σου ἐν ἐκκλησίᾳ ἁγίων. στιχ. Ο' Θεὸς ἐνδοξαζόμενος ἐν βουλῇ ἁγίων, μέγας καὶ φοβερὸς ἐστὶν ἐπὶ πάντας τοὺς περικύκλῳ αὐτοῦ. Κοιν. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος.

Εἰς ἕνα Μάρτυρα ἦχ. δ΄.

Ο' Μάρτυς σου Ν. κύριε, ἐν τῇ ἀθλήσει αὐτοῦ τὸ στέφος ἐκομίσατο τῆς ἀφθαρσίας ἐκ σοῦ τοῦ Θεοῦ.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ἔχων γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλεν. ἔθραυσε καὶ δαιμόνων τὰ ἀνίσχυρα θράση. αὐτοῦ ταῖς ἱκεσίαις, σῶσον τὰς ψυχὰς ἡμῶν.

Θεοτοκίον.

ΣΕ μεγαλυνόμεν Θεοτόκε βοῶντες, σὺ εἶ ἡ βάτος, ἐν ᾗ ἀφλέκτως μωσῆς κατεῖδεν, ὡς φλόγα τὸ πῦρ τῆς θεότητος.

Κοντάκιον.

ΤΟν Μάρτυρα Χριστοῦ ἱκετεύσωμεν πάντες, αὐτὸς γὰρ τὴν ἡμῶν σωτηρίαν πρεσβεύει. καὶ πάντες προσέλθωμεν πρὸς αὐτὸν μετὰ πίστεως. οὗτος δίδωσι τῶν ἰαμάτων τὴν χάριν, οὗτος φάλαγγας ἀποδιώκει δαιμόνων, ὡς φύλαξ τῆς πίστεως.

Προκείμενον ἦχ. βαρύς.

ΕΥφρανθήσεται δίκαιος ἐν κυρίῳ, καὶ ἐλπιεῖ ἐπ' αὐτόν. στίχ.

Εἰσάκουσον ὁ Θεὸς τῆς φωνῆς μου, ἐν τῷ δέεσθαί με πρὸς σέ.

Ἀλλ.

ΔΙ'καιος ὡς φοίνιξ ἀνθήσει, ὡσεὶ κέδρος ἡ ἐν τῷ λιβάνῳ πληθυνθήσεται. στίχ.

Πεφυτευμένος ἐν τῷ οἴκῳ κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσει.

Κοινων.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος, ἀπὸ ἀκοῆς πονηρᾶς οὐ φοβηθήσεται.

Ἐν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἐν τῇ ἀκολουθίᾳ τοῦ μεγαλομάρτυρος τροπ., θεοτ. καὶ κοντάκ. ὡς ἄνω ἐν τῇ ἀκολουθίᾳ τοῦ ἑνὸς μάρτ.

Τὸ δὲ προκείμενον ἦχ. α΄.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ, ὁ Θεὸς Ἰσραήλ. στίχ.

Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεὸν, κύριον ἐκ πηγῶν Ἰσραήλ. Ἀλληλ. καὶ κοινων. ὡς ἄνω.

Τοῦ ἱερομάρτυρος Τροπάριον ἦχ. δ΄.

Καὶ τρόπων μέτοχος, καὶ θρόνων διάδοχος τῶν Ἀποστόλων γενόμενος, τὴν πρᾶξιν εὗρες, θεόπνευστε, εἰς θεωρίας ἐπίβασιν. διὰ τοῦτο τὸν λόγον τῆς ἀληθείας ὀρθοτομῶν, καὶ τῇ πίστει ἐνήθλησας μέχρις αἵματος, Ἱερομάρτυς Ν. πρέσβευε Χριστῷ τῷ Θεῷ σωθῆναι τὰς ψυχὰς ἡμῶν. Θεοτόκιον.

Σὲ τὴν τὸν ἀχώρητον λόγον ἐν γαστρὶ χωρήσασαν, τὴν τῶν οὐρανῶν πλατυτέραν, καὶ χερουβὶμ ἐνδοξοτέραν, θεοτόκε ἄχραντε, ὕμνοις μεγαλύνομεν.

Κοντάκιον.

Ἱερέων πέφυκας λαμπρὸς φωσφόρος, καὶ πατέρων καύχημα, σεμνολογήματι περιωνύμῳ Ἱερομάρτυς ἀοίδιμε, σὺ γὰρ φυλάττεις ἐκ βλάβης τοὺς δούλους σου.

Προκείμενον ἦχ. βαρύς.

Εὐφρανθήσεται δίκαιος ἐν κυρίῳ, καὶ ἐλπιεῖ ἐπ᾽ αὐτόν. στίχ.

Εἰσάκουσον ὁ Θεὸς τῆς φωνῆς μου, ἐν τῷ δέεσθαί με πρὸς σέ.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἀλληλ.

ΟΙ ἱερεῖς σου ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται. στιχ.

Ὅτι ἐξελέξατο κύριος τὴν Σιὼν, ἡρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ. Κοινωνικ.

ΕΙς μνημόσυνον αἰώνιον ἔσται δίκαιος ἀπὸ ἀκοῆς πονηρᾶς οὐ φοβηθήσεται.

Εἰς τοὺς ἁγίους Μάρτυρας ἀπολυτ. ἦχ. δ'.

ΟΙ Μάρτυρές σου κύριε, ἐν τῇ ἀθλήσει αὐτῶν τὸ στέφος ἐκομίσαντο τῆς ἀφθαρσίας ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν, ἔχοντες γὰρ τὴν ἰσχύν σου τοὺς τυράννους καθεῖλον, ἔθραυσαν καὶ δαιμόνων τὰ ἀνίσχυρα θράση· αὐτῶν ταῖς ἱκεσίαις σῶσον τὰς ψυχὰς ἡμῶν.

Θεοτοκίον.

ΤΟν ἄσπορον τόκον σου θεοτόκε ἄχραντε, Χριστὸν τὸν Θεὸν ἡμῶν, ἐν ὕμνοις ἀσιγήτοις μεγαλύνομεν. Κοντάκιον.

ΤΩν μαρτύρων σήμερον τὴν θείαν μνήμην, οἱ πιστοὶ τελέσωμεν, καὶ ἀνυμνήσωμεν Χριστόν· ἐν ἐπιγνώσει κραυγάζοντες, σὺ τῶν μαρτύρων ὑπάρχεις κραταίωμα.

Προκείμενα ἦχ. δ'.

ΤΟῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ κύριος, πάντα τὰ θελήματα αὐτοῦ ἐν αὐτοῖς. στιχ.

Προωρώμην τὸν κύριον ἐνώπιόν μου διαπαντὸς, ὅτι ἐκ δεξιῶν μου ἐστὶν ἵνα μὴ σαλευθῶ.

Ἀλ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἀλληλ.

Ἐκέκραξαν οἱ δίκαιοι, καὶ ὁ κύριος εἰσήκουσεν αὐτῶν, καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτῶν ἐῤῥύσατο αὐτούς. στχ.

Πολλαὶ αἱ θλίψεις τῶν δικαίων, καὶ ἐκ πασῶν αὐτῶν ἐῤῥύσατο αὐτοὺς ὁ κύριος. Κοινωνικ.

Ἀγαλλιᾶσθε δίκαιοι ἐν κυρίῳ, τοῖς εὐθέσι πρέπει αἴνεσις. Εἰς ἱεράρχην τροπάριον ἦχ. δ.

ΚΑνόνα πίστεως, καὶ εἰκόνα πραότητος, ἐγκρατείας διδάσκαλον ἀνέδειξέ σε τῇ ποίμνῃ σου, ἡ τῶν πραγμάτων ἀλήθεια. Διὰ τοῦτο ἐκτήσω τῇ ταπεινώσει τὰ ὑψηλὰ, τῇ πτωχείᾳ τὰ πλούσια· πάτερ ἱεράρχα Ν. πρέσβευε Χριστῷ τῷ Θεῷ σωθῆναι τὰς ψυχὰς ἡμῶν. Θεοτοκίον.

ΤΟὸν λόγον τοῦ πατρὸς Χριστὸν τὸν Θεὸν ἐκ σοῦ σαρκωθέντα ἔγνωμεν θεοτόκε παρθένε, μόνη ἁγνὴ, μόνη εὐλογημένη, διὸ ἀπαύστως σὲ ἀνυμνοῦντες μεγαλύνομεν.

Κοντάκιον.

ΤΩ͂ πόθῳ Χριστοῦ τρωθεὶς ἱερώτατε, τὸν νοῦν πτερωθεὶς τῇ αἴγλῃ τῇ τοῦ πνεύματος, πρακτικῇ θεωρίᾳ τὴν πρᾶξιν εὗρες θεόπνευστε, θυσιαστήριον γενόμενος, αἰτούμενος πᾶσι θείαν ἄφεσιν.

Προκ. ἦχ. ά.

ΤΟὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν. στχ.

Ἀκού-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη, ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην. Ἀλλ.

Στόμα δικαίου μελετήσει σοφίαν, καὶ ἡ γλῶσσα αὐτοῦ λαλήσει κρίσιν. στχ.

Ὁ νόμος τοῦ Θεοῦ αὐτοῦ ἐν καρδίᾳ αὐτοῦ, καὶ οὐχ ὑποσκελισθήσεται τὰ διαβήματα αὐτοῦ. Κοινων.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.

Εἰς Ἱεράρχας τροπάριον ἦχ. δ'.

Ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ὁ ποιῶν ἀεὶ μεθ' ἡμῶν κατὰ τὴν σὴν ἐπιείκειαν, μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν, ἀλλὰ ταῖς αὐτῶν ἱκεσίαις, ἐν εἰρήνῃ κυβέρνησον τὴν ζωὴν ἡμῶν.

Θεοτοκίον.

Σὲ τὴν ὑπερένδοξον νύμφην, καὶ παναγίαν θεοτόκον τὴν τὸν κτίστην τεκοῦσαν τῶν ἀοράτων τε, καὶ ὁρατῶν· ἐν ὕμνοις μεγαλύνομεν.

Κοντάκιον.

Τοὺς ἱεράρχας τοῦ Χριστοῦ ἐπαξίως ἀνευφημήσωμεν πιστοί, καταχρέως, τῆς ἐκκλησίας στύλους, καὶ προπύργια. Οὗτοι γὰρ κατέφλεξαν τῶν ἀθέων τὰς γλώσσας, καὶ δόγματα σοφώτατα ἀνεκήρυξαν πᾶσι τοῖς ὀρθοδόξως μέλπουσιν, ἀεὶ τῆς εὐσεβείας τὸ μέγα μυστήριον.

Προκείμενα ἦχ. βαρὺς.

Τίμιος ἐναντίον κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ. στχ.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Τί ἀνταποδώσωμεν τῷ κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκεν ἡμῖν. Ἀλλ.

Οἱ ἱερεῖς σου ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται. Στχ.

Ὅτι ἐξελέξατο κύριος τὴν Σιὼν, ᾑρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ. Κοινωνικ.

Ἀγαλλιᾶσθε δίκαιοι ἐν κυρίῳ, τοῖς εὐθέσι πρέπει αἴνεσις. Εἰς ἕνα ὅσιον τροπάριον ἦχ. α.

Τῆς ἐρήμου πολίτης, καὶ ἐν σώματι ἄγγελος, καὶ θαυματουργὸς ἀνεδείχθης θεοφόρε πάτερ ἡμῶν Ν. νηστείαν, ἀγρυπνίαν, προσευχὴν, οὐράνια χαρίσματα λαβὼν, θεραπεύεις τοὺς νοσοῦντας, καὶ τὰς ψυχὰς τῶν πίστει προστρεχόντων σοι· δόξα τῷ δεδωκότι σοι ἰσχὺν, δόξα τῷ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

Θεοτοκίον.

Τὸν ἀμήτορα ἐν οὐρανῷ ὑπὲρ ἔννοιαν, καὶ ἀκολούθως ἐπὶ γῆς ἀπάτορα ἔτεκες, αὐτὸν Θεοτόκε ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἄλλο τροπάριον εἰς ὅσιον. πλα. δ.

Ταῖς τῶν δακρύων σου ῥοαῖς τῆς ἐρήμου τὸ ἄγονον ἐγεώργησας, καὶ τοῖς ἐκ βάθους στεναγμοῖς εἰς ἑκατὸν τοὺς πόνους ἐκαρποφόρησας, καὶ γέγονας φωστὴρ τῇ οἰκουμένῃ λάμπων τοῖς θαύμασι Ν. πατὴρ ἡμῶν. πρέσβευε Χριστῷ τῷ Θεῷ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Θεο-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Θεοτοκίον.

Χαῖρε ἡ δι' ἀγγέλου τὴν χαρὰν τοῦ κόσμου δεξαμένη, χαῖρε ἡ τεκοῦσα τὸν ποιητήν σου καὶ κύριον, χαῖρε ἡ ἀξιωθεῖσα γενέσθαι Μήτηρ Θεοῦ.

Ἕτερον τῶν ἀσκησάντων ἐν τῷ μοναστηρίῳ ἦχ. πλα. δ'.

Τροπάριον.

Ἐν σοὶ πάτερ ἀκριβῶς διεσώθη τὸ κατ' εἰκόνα, λαβὼν γὰρ τὸν σταυρὸν ἠκολούθησας τῷ Χριστῷ, καὶ πράττων ἐδίδασκες ὑπερορᾷν μὲν σαρκός, παρέρχεται γάρ, ἐπιμελεῖσθαι δὲ ψυχῆς πράγματος ἀθανάτου, διὸ καὶ μετὰ ἀγγέλων συναγάλλεται Ν. τὸ πνεῦμά σου.

Θεοτοκίον.

Χαῖρε ἡ πύλη τοῦ βασιλέως τῆς δόξης, ἣν ὁ ὕψιστος μόνος διώδευσε, καὶ μόνην ἐσφραγισμένην ἐφύλαξεν εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Ἄλλο τῶν διδασκάλων τροπ. ἦχ. πλα. δ'.

Ὀρθοδοξίας ὁδηγέ, εὐσεβείας διδάσκαλε, καὶ σεμνότητος τῆς οἰκουμένης ὁ φωστὴρ τῶν μοναζόντων, θεόπνευστον ἐγκαλλώπισμα, Ν. σοφέ, ταῖς διδαχαῖς σου πάντας ἐφώτισας, λύρα τοῦ πνεύματος, πρέσβευε Χριστῷ τῷ Θεῷ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Θεοτοκίον.

Ὁ καρπὸς τῆς κοιλίας σου ἄχραντε τῶν προφητῶν ὑπάρχει, καὶ τοῦ νόμου τὸ πλήρωμα. διὸ σὲ θεοτόκον ἐν ἐπιγνώσει δοξάζοντες, εὐσεβῶς μεγαλύνομεν.

Κον-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Κοντάκιον.

ΤΟν βίον εὐσεβῶς ἐπὶ γῆς ἐκτελέσας, δοχεῖον καθαρὸν τὸ τοῦ πνεύματος ὤφθης, φωτίζων τοὺς πίστει σοι προσιόντας μακάριε· ὅθεν αἴτησαι τὸν σὸν δεσπότην, φωτίσαι τὰς ψυχὰς ἡμῶν τῶν ἀνυμνούντων σε πόθῳ Ν. πατὴρ ἡμῶν.

Προκείμενον ἦχ. βαρύς.

ΕΥφρανθήσεται δίκαιος ἐν κυρίῳ, καὶ ἐλπιεῖ ἐπ' αὐτόν. Στίχ.

Εἰσάκουσον ὁ Θεὸς φωνῆς μου, ἐν τῷ δέεσθαί με πρός σέ. Ἀλλ.

ΜΑκάριος ἀνὴρ ὁ φοβούμενος τὸν κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα. Στίχ.

Δυνατὸν ἐν τῇ γῇ ἔσται τὸ σπέρμα αὐτοῦ, γενεὰ εὐθέων εὐλογηθήσεται. Κοινων.

ΕΙ'ς μνημόσυνον αἰώνιον ἔσται δίκαιος, ἀπὸ ἀκοῆς πονηρᾶς οὐ φοβηθήσεται.

Εἰς ὁσίους τροπάριον ἦχ. δ'.

Ο Θεὸς τῶν πατέρων ἡμῶν, ὁ ποιῶν ἀεὶ μεθ' ἡμῶν κατὰ τὴν σὴν ἐπιείκειαν· μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν, ἀλλὰ ταῖς αὐτῶν ἱκεσίαις, ἐν εἰρήνῃ κυβέρνησον τὴν ζωὴν ἡμῶν.

Θεοτοκίον.

ΣΕ τὴν ὑπερένδοξον νύμφην, καὶ παναγίαν θεοτόκον, τὴν τὸν κτίστην τεκοῦσαν τῶν ἀοράτων τε, καὶ ὁρατῶν· ἐν ὕμνοις μεγαλύνομεν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου -
Μουσείο Τυπάλδων Ιακωβάτων

Κοντάκιον.

ΤΩν ἐπιγείων καὶ φθαρτῶν τὴν ἀπόλαυσιν καταφρονήσαντες σοφῶς, παμμακάριστοι, τὴν τῆς ἐρήμου οἴκησιν ἡγήσασθε κόσμου εὐπρεπέστερον, καὶ ζωῆς τῆς προσκαίρου· ἐντεῦθεν ἠξιώθητε οὐρανῶν βασιλείας, διὸ βοῶμεν πάντες ἐκτενῶς, ἐκ τῶν κινδύνων ἡμᾶς διασώσατε.

Προκείμενα ἦχ. βαρύς.

ΤΊμιος ἐναντίον κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ.

Τί ἀνταποδώσωμεν τῷ κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκεν ἡμῖν. Ἄλλ.

Ὁ Θεὸς ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν, οἱ πατέρες ἡμῶν ἀνήγγειλαν ἡμῖν. στίχ.

Ἔσωσας γὰρ ἡμᾶς ἐκ τῶν θλιβόντων ἡμᾶς, καὶ τοὺς μισοῦντας ἡμᾶς κατῄσχυνας.

Κοντάκιον.

ΑΓαλλιᾶσθε δίκαιοι ἐν κυρίῳ, καὶ τοῖς εὐθέσι πρέπει αἴνεσις.

Ἕτερα προκείμενα τῶν ὁσίων ἦχ. βαρύς.

ΚΑυχήσονται ὅσιοι ἐν δόξῃ, καὶ ἀγγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν. στίχ.

Ἄσατε τῷ κυρίῳ ᾆσμα καινὸν, ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων. Ἄλλ.

ΜΑκάριος ἀνὴρ ὁ φοβούμενος τὸν κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα. στίχ.

Δυνα-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δυνατὸν ἐν τῇ γῇ ἔσται τὸ σπέρμα αὐτοῦ, γενεὰ εὐθέων εὐλογηθήσεται. Κοινων.

Ἀγαλλιᾶσθε δίκαιοι ἐν κυρίῳ, τοῖ εὐθ.

Τῆς Γυναικὸς Μάρτυρος τροπάριον ἦχ. δ'.

εἰς Κατεπλ.

Ἡ Ἀμνάς σου Ἰησοῦ, κράζει μεγάλῃ τῇ φωνῇ σὲ νυμφίε μου ποθῶ, καὶ σὲ ζητοῦσα ἀθλῶ, καὶ συσταυροῦμαι, καὶ συνθάπτομαι τῷ βαπτισμῷ σου· καὶ πάσχω διὰ σὲ, ὡς βασιλεύσω ἐν σοὶ, καὶ θνήσκω ὑπὲρ σοῦ, ἵνα καὶ ζήσω σὺν σοί· ἀλλ ὡς θυσίαν ἄμωμον προσδέχου τὴν μετὰ πόθου τυθεῖσάν σοι, πρεσβείαις τῆς ἁγίας μάρτυρος Ν. ὡς ἐλεήμων σῶσον τὰς ψυχὰς ἡμῶν. Θεοτόκιον.

Χαῖρε πύλη θεῖε στῦλε ὁδηγῶν τοὺς ἐν σκότει, χαῖρε σκέπη τοῦ κόσμου πλατυτέρα νεφέλης.

Κοντάκιον.

Εὐφροσύνης πρόξενος ἡμῖν ἐπέστη ἡ φωσφόρος σήμερον τῆς ἀθληφόρου ἑορτὴ, ἣν ανυμνοῦντες δοξάζομεν τὸν ἐν ὑψίστοις ὑπάρχοντα Χριστόν.

Προκείμενα ἦχ. δ'.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ, ὁ Θεὸς Ἰσραήλ. στιχ.

Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεὸν, κύριον, ἐκ πηγῶν Ἰσραήλ. Ἀλλ.

Ὑπομένων ὑπέμεινα τὸν κύριον, καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς δεήσεώς μου. στιχ.

Καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Καὶ ἀνήγαγέ με ἐκ λάκκου ταλαιπωρίας, καὶ ἀπὸ πηλοῦ ἰλύος. Κοινων.

Ἀπενεχθήσονται τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς, αἱ πλησίον αὐτῆς ἀπενεχθήσονταί σοι.

Τῆς ὁσίας γυναικὸς Τροπάριον ἦχ. δ΄.

Τὸν νυμφίον σου Χριστὸν ἀγαπήσασα, τὴν λαμπάδα σου φαιδρῶς εὐτρεπίσασα, ταῖς ἀρεταῖς διέλαμψας πανεύφημε, ὅθεν εἰσελήλυθας σὺν αὐτῷ εἰς τὸν γάμον, τὸ στέφος τῆς ἀσκήσεως παρ' αὐτοῦ δεξαμένη. Ἀλλ' ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, τοὺς ἐκτελοῦντας ὁσία Ν. τὴν μνήμην σου.

Θεοτοκίον.

Χαῖρε κλίμαξ ἐπουράνιε, δι' ἧς κατέβη ὁ Θεός· χαῖρε γέφυρα μετάγουσα τοὺς ἐκ γῆς πρὸς οὐρανόν.

Κοντάκιον.

Τὸ σῶμα σεμνὴ νηστείαις κατατήξασα, ἀγρύπνοις εὐχαῖς τὸν κτίστην καθικετεύσας, ἵνα εὕρωμεν ἄφεσιν τῶν πταισμάτων ἅπαντες ἔνδοξε, σὺ γὰρ πᾶσι θείαν ὁδὸν τῆς μετανοίας ἔδειξας.

Προκείμενα ἦχ. δ΄.

Ἀπενεχθήσονται τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς, αἱ πλησίον αὐτῆς ἀπενεχθήσονταί σοι. Στίχ.

Ἀχθήσονται εἰς ναὸν βασιλέως.

Ἀλλ.

Ὑπομένων ὑπέμεινα τὸν κύριον, καὶ προσέσχε μοι, καὶ εἰσήκουσε τῆς δεήσεώς μου. Στίχ.

Καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Καὶ ἀνήγαγέ με ἐκ λάκκου ταλαιπωρίας, καὶ ἀπὸ πηλοῦ ἰλύος.

Κοινωνικ.

Ἀπενεχθήσονται τῷ βασιλεῖ παρθένοι.

Τροπάριον τῶν μαθητῶν, τῶν ἀποστόλων ἦχ. δ'.

Χρηστότητα ἐκδιδαχθεὶς, καὶ νήφων ἐν πᾶσιν ἀγαθὴν συνείδησιν ἱεροπρεπῶς ἐνδυσάμενος. ἤντλησας ἐκ τοῦ σκεύους τῆς ἐκλογῆς τὰ ἀπόρρητα, καὶ τὴν πίστιν τηρήσας τὸν ἴσον δρόμον ἐτέλεσας ἱερομάρτυς Ν. πρέσβευε Χριστῷ τῷ Θεῷ ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Θεοτοκίον.

Χαῖρε τῶν ἀποστόλων τὸ ἀσίγητον στόμα· χαῖρε τῶν ἀθλοφόρων τὸ ἀνίκητον θάρσος.

## ΕΠΕΙΤΑ ΑΔΟΝΤΑΙ ΟΙ ΨΑΛΜΟΙ

Τοῦ κατὰ τὴν ἡμέραν ἁγίου τυχόντος, ἢ καθ. ἐν τῷ ψαλτηρίῳ, ὥσπερ τὸ τυπικὸν δηλοῖ, ἀλλ' ἐν ταῖς ἡμέραις κυριακαῖς ψάλλεται κατὰ τὸν ἦχ.

Ψαλμ. ριε'.

Ἐπίστευσα[1] διὸ ἐλάλησα, ἐγὼ δὲ ἐταπεινώθην σφόδρα: ἀλλ. ✠

Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου, πᾶς ἄνθρωπος ψεύστης: ἀλλ.

Τί ἀνταποδώσω τῷ κυρίῳ ὑπὲρ πάντων, ὧν ἀνταπέδωκέ μοι: ἀλλ.

Ποτήριον σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα κυρίου ἐπικαλέσομαι: ἀλλ.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Τὰς εὐχάς μου τῷ κυρίῳ ἀποδώσω, ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ. ἀλλ.
Τίμιος ἐναντίον κυρίου, ὁ θάνατος τῶν ὁσίων αὐτοῦ. ἀλλ. * * *
Ὦ κύριε ἐγὼ δοῦλος σὸς, ἐγὼ δοῦλος σὸς, καὶ υἱὸς τῆς παιδίσκης σου. ἀλλ.
Διέῤῥηξας τοὺς δεσμούς μου, σοὶ θύσω θυσίαν αἰνέσεως καὶ ἐν ὀνόματι κυρίου ἐπικαλέσομαι. ἀλλ.
Τὰς [2] εὐχάς μου τῷ κυρίῳ ἀποδώσω, ἐναντίον τοῦ παντὸς τοῦ λαοῦ αὐτοῦ. ἀλλ.
Ἐν αὐλαῖς οἴκου κυρίου, ἐν μέσῳ σοῦ ἱερουσαλήμ. ἀλλ.

Ψαλ. ρις΄.

Αἰνεῖτε τὸν κύριον πάντα τὰ ἔθνη, ἐπαινέσατε αὐτὸν πάντες οἱ λαοὶ. ἀλλ.
Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ᾽ ἡμᾶς, καὶ ἡ ἀλήθεια τοῦ κυρίου μένει εἰς τὸν αἰῶνα. ἀλλ.
Δόξα, καὶ νῦν, ἀλληλούϊα ἀλλ. ἀλλ. δόξα σοι ὁ Θεὸς. ἐκ γ΄.

Ψαλ. ριζ.

Ἐξομολογεῖσθε [2] τῷ κυρίῳ ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. ἀλλ.
Εἰπάτω δὴ οἶκος ἰσραὴλ, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. ἀλλ.
Εἰπάτω δὴ οἶκος Ἀαρὼν, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. ἀλλ.

Εἰπά-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Εἰπάτωσαν δὴ πάντες οἱ φοβούμενοι τὸν κύριον, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

ἀλλ.

Ἐκ θλίψεως ἐπεκαλεσάμην τὸν κύριον, καὶ ἐπήκουσέ μου εἰς πλατυσμόν. ἀλλ.

Κύριος ἐμοὶ βοηθὸς, καὶ οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος. ἀλλ.

Κύριος ἐμοὶ βοηθὸς, κἀγὼ ἐπόψομαι τοὺς ἐχθρούς μου. ἀλλ.

Ἀγαθὸν πεποιθέναι ἐπὶ κύριον, ἢ πεποιθέναι ἐπ' ἄνθρωπον. ἀλλ.

Ἀγαθὸν ἐλπίζειν ἐπὶ κύριον, ἢ ἐλπίζειν ἐπ' ἄρχουσι. ἀλλ.

Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι κυρίου ἠμυνάμην αὐτούς. ἀλλ.

Κυκλώσαντες ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι κυρίου ἠμυνάμην αὐτούς. ἀλλ.

Ἐκύκλωσάν με ὡσεὶ μέλισσαι κηρίον, καὶ ἐξεκαύθησαν ὡς πῦρ ἐν ἀκάνθαις, καὶ τῷ ὀνόματι κυρίου ἠμυνάμην αὐτούς. ἀλλ.

Ὠσθεὶς ἀνετράπην τοῦ πεσεῖν, καὶ ὁ κύριος ἀντελάβετό μου. ἀλλ.

Ἰσχύς μου, καὶ ὕμνησίς μου ὁ κύριος, καὶ ἐγένετό μοι εἰς σωτηρίαν. ἀλλ.

Φωνὴ ἀγαλλιάσεως, καὶ σωτηρίας ἐν σκηναῖς δικαίων. ἀλλ.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Δεξιὰ κυρίου ἐποίησε δύναμιν, δεξιὰ κυρίου ὕψωσέ με, δεξιὰ κυρίου ἐποίησε δύναμιν. ἀλλ.

Οὐκ ἀποθανοῦμαι ἀλλὰ ζήσομαι, καὶ διηγήσομαι τὰ ἔργα κυρίου. ἀλλ.

Παιδεύων ἐπαίδευσέ με ὁ κύριος, καὶ τῷ θανάτῳ οὐ παρέδωκέ μοι. ἀλλ.

Ἀνοίξατέ μοι πύλας δικαιοσύνης, εἰσελθὼν ἐν αὐταῖς, ἐξομολογήσομαι τῷ κυρίῳ. ἀλλ.

Αὕτη [1] ἡ πύλη τοῦ κυρίου, δίκαιοι εἰσελεύσονται † ἐν αὐτῇ. ἀλλ.

Ἐξομολογήσομαί σοι ὅτι ἐπήκουσάς μου, καὶ ἐγένου μοι εἰς σωτηρίαν. ἀλλ.

Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας. ἀλλ.

Παρὰ κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. ἀλλ.

Αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ κύριος ἀγαλλιασώμεθα, καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. ἀλλ.

Ὦ κύριε σῶσον δή, ὦ κύριε εὐόδωσον δή, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου. * * * ἀλλ.

Εὐλογήκαμεν ὑμᾶς ἐξ οἴκου κυρίου, Θεὸς κύριος καὶ ἐπέφανεν ἡμῖν. ἀλλ.

Συστήσασθε ἑορτὴν ἐν τοῖς πυκάζουσιν, ἕως τῶν κεράτων τοῦ θυσιαστηρίου. ἀλλ.

Θεός μου εἶ σύ, καὶ ἐξομολογήσομαί σοι, Θεός μου εἶ σύ, καὶ ὑψώσω σε. ἀλλ.

Ἐξο-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἐξομολογήσομαί σοι ὅτι ἐπήκουσάς μου, καὶ ἐγένου μοι εἰς σωτηρίαν. ἀλλ.

Ἐξομολογεῖσθε τῷ κυρίῳ ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. ἀλλ.

Δόξα, καὶ νῦν ἀ.λληλούϊα ἀ λλ. ἀ λλ. δόξα σοι ὁ Θεός. ἐκ γ'.

Ψαλ. ρλε'.

ἦχ. α'. Ἐξομολογεῖσθε [1] τῷ κυρίῳ ὅτι ἀγαθός. † ἀλλ. ἀλλ. ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. ἀλλ.

Ἐξομολογεῖσθε [2] τῷ Θεῷ τῶν Θεῶν. ἀλλ. ἀλλ. † ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. ἀλλ.

Ἐξομολογεῖσθε τῷ κυρίῳ τῶν κυρίων. ἀλλ. ἀλλ. ὅτι.

ἦχ. β'. Τῷ ποιήσαντι θαυμάσια μεγάλα μόνῳ. ἀλλ. ἀλλ. ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. ἀλλ.

Τῷ ποιήσαντι τοὺς οὐρανοὺς ἐν συνέσει. ἀλλ. ἀλλ.

Τῷ στερεώσαντι τὴν γῆν ἐπὶ τῶν ὑδάτων. ἀλλ. ἀλλ. ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. ἀλλ.

ἦχ. γ'. Τῷ ποιήσαντι φῶτα μεγάλα μόνῳ. ἀλλ. ἀλλ. ὅτι.

Τὸν ἥλιον εἰς ἐξουσίαν τῆς ἡμέρας. ἀλλ. ἀλλ. ὅτι εἰς.

Τὴν σελήνην, καὶ τοὺς ἀστέρας εἰς ἐξουσίαν τῆς νυκτός. ἀλλ. ἀλλ. ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. ἀλλ.

ἦχ. δ'. Τῷ πατάξαντι Αἴγυπτον σὺν τοῖς πρωτοτόκοις αὐτῶν. ἀλλ. ἀλλ. ὅτι εἰς.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Καὶ ἐξαγαγόντι τὸν Ἰσραὴλ ἐκ μέσου αὐτῶν. ἀλλ. ἀλλ. ἀλλ. ὅτι εἰς.

Ἐν χειρὶ κραταιᾷ, καὶ ἐν βραχίονι ὑψηλῷ. ἀλλ. ἀλλ ὅτι εἰς.

ἦχ. πλα. α. Τῷ καταδιελόντι τὴν ἐρυθρὰν θάλασσαν εἰς διαιρέσεις, μακαρίζομέν σε θεοτόκε παρθένε τὴν ἀεὶ μακάριστον καὶ παναμώμητον, ἡ μητέρα τοῦ Θεοῦ ἡμῶν.

Καὶ διαγαγόντι τὸν Ἰσραὴλ διὰ μέσου αὐτῆς, ἄξιόν ἐστιν μακαρίζειν σε τὴν θεοτόκον, τὴν τιμιωτέραν τῶν χερουβίμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν σεραφίμ, καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν.

Καὶ ἐκτινάξαντι φαραὼ καὶ τὴν δύναμιν αὐτοῦ εἰς θάλασσαν ἐρυθρὰν, λέγειν σε τὴν θεοτόκον μακαρίζομέν σε πᾶσαι αἱ γενεαὶ, ὡς μητέρα τοῦ Θεοῦ ἡμῶν.

ἦχ. πλα. β΄. Τῷ διαγαγόντι τὸν λαὸν αὐτοῦ ἐν τῇ ἐρήμῳ ἀλλ. ἀλλ. ὅτι.

Τῷ παταξαντι βασιλεῖς μεγάλους. ἀλλ. ἀλλ. ὅτι.

Καὶ ἀποκτείναντι βασιλεῖς κραταιούς. ἀλλ. ἀλλ. ὅτι.

ἦχ. βαρὺς. Τὸν Σηὼν βασιλέα τῶν ἀμορραίων. ἀλλ. ἀλλ. ὅτι εἰς.

Καὶ τὸν Ὢγ βασιλέα τῆς Βασὰν. ἀλλ. ἀλλ. ὅτι εἰς.

Καὶ δόντι τὴν γῆν αὐτῶν κληρονομίαν. ἀλλ. ἀλλ. ὅτι.

ἦχ. πλα. δ΄. Κληρονομίαν Ἰσραὴλ δούλῳ αὐτοῦ. ἀλλ. ἀλλ. ὅτι.

Ὅτι

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὅτι ἐν τῇ ταπεινώσει ἡμῶν ἐμνήσθη ἡμῶν ὁ κύριος. ἀλλ. ἀλλ. ὅτι εἰς.

Καὶ ἐλυτρώσατο ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. ἀλλ. ἀλλ. ὅτι εἰς.

Ὁ διδοὺς τροφὴν πάσῃ σαρκί. ἀλλ. ἀλλ. ὅτι εἰς.

Ἐξομολογεῖσθε τῷ Θεῷ τοῦ οὐρανοῦ. ἀλλ. ἀλλ. ὅτι.

Δόξα Πατρὶ, καὶ Υἱῷ, καὶ ἁγίῳ Πνεύματι, ἡμεῖς δοξολογοῦμεν τὸν κύριον τῆς δόξης, καὶ πιστῶς προσκυνοῦμεν τὴν ἁγίαν εἰκόνα αὐτοῦ, εἰς τύπον τῆς ἁγίας αὐτοῦ μορφῆς.

Νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.

Σὲ μακαρίζομεν πανάχραντε παρθένε, καὶ πιστῶς προσκυνοῦμεν τὴν ἁγίαν εἰκόνα σου εἰς τύπον τῆς ἁγίας σου μορφῆς.

Καὶ εὐθέως λέγει ὁ Ἱερεύς.

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν.

ὁ χορ. Κύριε ἐλέησον.

Ἀντιλαβοῦ σῶσον ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι. Κύριε ἐλέησον.

Τῆς παναγίας ἀχράντου ὑπερευλογημένης ἐνδόξου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀεὶ παρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα. Σοὶ κύριε.

Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δύναμις, καὶ ἡ δόξα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ἁγίου Πνεύματος νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἰρήνη πᾶσι. Καὶ τῷ πνεύματί σου.

Καὶ λέγεται τὸ κάθισμα τοῦ ή. ἦχ. κατὰ τὴν ἡμέραν, ἢ ἡ ὑπακοὴ σὺν τοῖς ἀναβαθμοῖς ἐν τῇ κυριακῇ κατὰ τὸν ἦχ. ἀναστασίμου, ἢ τὸ κάθ. τῆς ἑορτῆς: εἰ δὲ ἐν τῇ ἑορτῇ λέγεται τὸ εὐαγγέλιον, ἐν τῷ ἦχ. δ´. οὗτοι ἀναβαθμοὶ ᾄδονται.

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη, ἀλλ᾽ αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον σωτήρ μου. στίχ.

Πλεονάκις ἐπολέμησάν με. Ἐκ νεότητός μου.

Οἱ μισοῦντες Σιὼν αἰσχύνθητε ἀπὸ τοῦ κυρίου, ὡς χόρτος γὰρ πυρὶ ἔσεσθε ἀπεξηραμμένοι. στίχ.

Αἰσχυνθήτωσαν, καὶ ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω πάντες.

Οἱ μισοῦντες Σιὼν αἰσχύνθητε. Δόξα Πατρί.

Πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται, λαμπρύνεται τῇ τριαδικῇ μονάδι ἱεροκρυφίως.

Καὶ νῦν.

Ἁγίῳ πνεύματι. Πᾶσα ψυχὴ ζωοῦται καί.

Ἔπειτα ὁ ἱερεὺς λέγει.

Πρόσχωμεν εἰρήνη πᾶσι. Ἀποκρ. Καὶ τῷ Πνεύματί σου. Ὁ Ἱερεὺς. Σοφία. ὁ χορ. Ψαλμὸς τῷ Δαβίδ.

ὁ Ἱερεὺς. Πρόσχωμεν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Καὶ λέγονται τὰ προκείμενα κατὰ τὴν ἑορτὴν, ἐν τῇ δὲ κυριακῇ ᾄδονται τὰ προκείμενα ταῦτα.

ἦχ. βαρὺς.

Ἀνάστηθι κύριε ὁ Θεός μου ὑψωθήτω ἡ χείρ σου, μὴ ἐπιλάθῃ τῶν πενήτων σου εἰς τέλος. στίχ.
Ἐξομολογήσομαί σοι κύριε ἐν ὅλῃ καρδίᾳ μου, καὶ διηγήσομαι πάντα τὰ θαυμάσιά σου.

Εἶτα ὁ Ἱερεὺς λέγει τὴν εὐλογίαν.

Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, καὶ ἐν ἁγίοις ἐπαναπαύῃ, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ὁ χορὸς. Ἀμήν.
ὁ Ἱερ. Εἰρήνη πᾶσι. ὁ χορ. Καὶ τῷ πνεύματί σου.

Καὶ αὐτὸς ἀκολουθεῖ ᾄδων.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.
ὁ χορ. Πᾶσα πνοή. στίχ.
Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι δυνάμεως αὐτοῦ, αἰνεῖτε αὐτόν.
ὁ χορ. Πᾶσα. ὁ Ἱερ. Πᾶσα.

Ἔπειτα ὁ Ἱερεὺς λέγει.

Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς θείας ἀκροάσεως τοῦ ἁγίου εὐαγγελίου, Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν λέγοντες. ὁ χορ. Κύριε ἐλέησον, κύριε ἐλ.
ὁ Ἱερ. Σοφία ὀρθῇ ἀκούσωμεν τοῦ ἁγίου εὐαγγελίου εἰρήνη πᾶσι.
ὁ χορ. Καὶ τῷ πνεύματί σου.

ὁ Ἱερ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ὁ Ἱερ. Ἐκ τοῦ κατὰ Ν. ἁγίου εὐαγγελίου τὸ ἀνάγνωσμα.
ὁ Χορ. Δόξα σοι Κύριε.
ὁ Ἱερ. Πρόσχωμεν. Καὶ ἀναγινώσκει τὸ εὐαγγέλ.
καὶ εἰς τὸ τέλος τοῦ αὐτοῦ λέγεται τὸ Ἐλέησον με ὁ Θεὸς.
Ψαλ. ν'.

Εἰ δὲ ἐστὶ Κυριακὴ λέγ. πρότερον τὸ.

Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν ἅγιον Κύριον Ἰησοῦν Χριστὸν τὸν μόνον ἀναμάρτητον.
Τὸν σταυρόν σου Χριστὲ προσκυνοῦμεν, καὶ τὴν ἁγίαν σου ἀνάστασιν ὑμνοῦμεν, καὶ δοξάζομεν.
Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν.
Δεῦτε πάντες πιστοὶ προσκυνήσωμεν τὴν τοῦ Χριστοῦ ἁγίαν ἀνάστασιν.
Ἰδοὺ γὰρ ἦλθε διὰ σταυροῦ χαρὰ ἐν ὅλῳ τῷ κόσμῳ, διαπαντὸς εὐλογοῦντες τὸν κύριον, ὑμνοῦμεν τὴν ἀνάστασιν αὐτοῦ.
Σταυρὸν γὰρ ὑπομείνας, θανάτῳ θάνατον ὤλεσεν.
Καὶ ἄρχ. Ἐλέησόν με ὁ Θεὸς.

Καὶ εἰς τὸ τέλος τοῦ Ψαλμοῦ ν'. δοξάζομεν τὸ Πεντηκοστάριον κατὰ τὴν ἡμέραν.

Πεντηκοστάρια τοῦ ἀναστασίμ. ἦχ. α'. Δόξα.

Ὁ Εἰς τὸν κόσμον ἐλθὼν, καὶ σαρκικῶς σταυρὸν καταδεξάμενος, καὶ ταφὴν, καὶ τῇ ἀναστάσει σου τὸν κόσμον σώσας κύριε δόξα σοι.

Καὶ

Καὶ νῦν.

Τὴν ἐκ νεκρῶν σου ἀνάστασιν, κύριε δοξάζω ἐλέησόν με. ἦχ. β'. Δόξα.

Ζωοδότα φιλάνθρωπε, ὁ νεκρώσας τὸν θάνατον, καὶ τῇ ἐγέρσει σου ἀνυψώσας τὸν ἄνθρωπον, ἐλέησον ἡμᾶς. Καὶ νῦν.

Ὅλος ὅλῳ μοὶ συναχθεὶς, καὶ ὅλως ὅλον ἐξ ᾅδου ἀναγαγῶν, ζωοδότα κύριε ἐλέησόν με.

ἦχ. γ'. Δόξα.

Ὁ Ἀναστὰς ἐκ τῶν νεκρῶν, καὶ τοῦ ᾅδου καταργήσας τὴν τυραννίδα, ζωοδότα κύριε ἐλέησόν με.

Καὶ νῦν.

Ἐν τῷ πλήθει τοῦ ἐλέους σου κύριε, τὰ πλήθη τῶν πταισμάτων μου πάριδε ὁ Θεὸς, καὶ ἐλέησόν με.

ἦχ. δ' Δόξα.

Ὁ Τῇ ταφῇ σου νεκρώσας τὸν θάνατον, καὶ τῇ ἐγέρσει σου ἀνυψώσας τὸν ἄνθρωπον, ζωοδότα κύριε ὁ Θεὸς ἐλέησον ἡμᾶς. Καὶ νῦν.

Ἀναστὰς ἐκ τοῦ τάφου Χριστὲ ὁ Θεὸς, ζωὴν ἐδωρήσω ἡμῖν, καὶ τὸ μέγα ἔλεος.

ἦχ. πλα. α'. Δόξα.

ΕΝ μνήματι ἐτέθης ἑκουσίως ἐλεήμων, καὶ τὸν πρωτόπλαστον ἐρρύσω τοῦ θανάτου σῶτερ δόξα σοι.

Καὶ νῦν.

Τὴν ἀνάστασίν σου ἀνυμνοῦμεν, ζωοδότα κύριε, ἐλέησον ἡμᾶς.

ἦχ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ἦχ. πλα. β'. Δόξα.

Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου καθὼς προεῖπεν, ἔδωκεν ἡμῖν τὴν αἰώνιον ζωήν, καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν.

Ἀθάνατε βασιλεῦ ὁ τοῦ θανάτου τὴν τυραννίδα, τῇ ἀναστάσει σου καθελών, κύριε ὁ Θεὸς ἐλέησον ἡμᾶς.

ἦχ. βαρὺς Δόξα.

Ὁ Τριημέρῳ ταφῇ σου σκυλεύσας τὸν ᾅδην, καὶ τῇ ἐγέρσει σου σώσας τὸν ἄνθρωπον ἐλέησόν με.

Καὶ νῦν.

Τὴν ταφήν σου δοξάζω, καὶ τὴν ἀνάστασίν σου μεγαλύνω, ζωοδότα κύριε ἐλέησόν με.

ἦχ. πλα. δ'. Δόξα.

Ἡ Ζωὴ τῶν ζώντων, καὶ τῶν θανέντων ἀνάστασις, ὡς ἐκ τάφου τῆς ἁμαρτίας, ἀνάστησον δέομαι, καὶ ἐλέησόν με.

Καὶ νῦν.

Τῇ ἀναστάσει σου Χριστὲ ὁ Θεὸς ἡμῶν, τὸν κόσμον ἐφώτισας, καὶ τὸν θάνατον ἐνέκρωσας, ὡς δυνατὸς καὶ πολυέλεος.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

# ΣΤΙΧΟΙ ΑΝΑΜΕΣΟΝ
## Τῶν καθισμάτων.

### Τῇ κυριακῇ.

Αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ κύριος ἀγαλλιασώμεθα, καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

Ὦ κύριε σῶσον δὴ, ὦ κύριε εὐόδωσον δὴ, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου.

Δόξα καὶ νῦν.

Ἐν ταῖς λιταῖς ἔξω τοῦ πεντικοσταρίου χρόνου τῇ β'. καὶ τῇ γ'.

Κύριε μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μὴ δὲ τῇ ὀργῇ σου παιδεύσῃς με.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ, ὁ Θεὸς Ἰσραήλ.

Μακάριοι οὓς ἐξελέξω καὶ προσελάβου, κατασκηνώσουσιν ἐν ταῖς αὐλαῖς σου κύριε.

Δόξα καὶ νῦν.

### Τῇ δ'. καὶ τῇ παρασκευῇ.

Ὑψοῦτε κύριον τὸν Θεὸν ἡμῶν, καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ὅτι ἅγιον ἐστι.

Θαυμαστὸς.

Μακάριοι.

Δόξα καὶ.

### Τῇ ε'.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθέγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.

Θαυ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Θαυμαστὸς.

Μακάριοι. Δόξα καὶ.

Τῷ σαββ.

Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ κύριος, πάντα τὰ θελήματα αὐτοῦ ἐν αὐτοῖς.

Θαυμαστὸς. Μακάριοι. Δόξα καὶ.

Ἐν τῷ τοῦ Πεντικοσαρίου χρόνῳ

τῇ β΄. καὶ τῇ γ΄. περὶ.

Αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ κύριος ἀγαλλιασώμεθα, καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

Κύριε μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μὴ δὲ τῇ ὀργῇ σου παιδεύσῃς με.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ, ὁ Θεὸς Ἰσραήλ.

Δόξα καὶ.

Τῇ δ΄. καὶ τῇ παρασκ.

Ὑψοῦτε κύριον τὸν Θεὸν ἡμῶν, καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ὅτι ἅγιον ἐστι.

Αὕτη ἡ ἡμέρα.

Θαυμαστὸς. Δόξα καὶ.

Τῇ ε΄.

Αὕτη ἡ ἡμέρα.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθέγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.

Θαυμαστὸς. Δόξα καὶ.

Τῷ σαββ.

Αὕτη ἡ ἡμέρα. Ὦ κύριε σῶσον δή. Δόξα καὶ.

ΠΕΝ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

# ΠΕΝΤΗΚΟΣΤΑΡΙΑ

## Κατὰ τὴν ἡμέραν τῆς ὅλης ἑβδομάδος.

Τῇ β'. περὶ τῶν ἀσωμάτων, Πεντηκ. ἦχ. β'. Δόξα.

Ταῖς τῶν ἁγίων ἀσωμάτων πρεσβείαις ἐλεήμων, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.

Ταῖς τῆς θεοτόκου, καὶ πάντων τῶν ἁγίων πρεσβείαις ἐλεήμων, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Τῇ γ'. τοῦ προδρόμου, Πεντηκ. Δόξα.

Ταῖς τοῦ σοῦ προδρόμου πρεσβείαις ἐλεήμων, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.

Ταῖς τῆς θεοτόκου καὶ πάντων τῶν ἁγίων, πρεσβείαις ἐλεήμων ἐξάλειψον τά.

Τῇ δ'. τοῦ σταυροῦ, Πεντηκ. Δόξα.

Δυνάμει τοῦ σταυροῦ σου, Χριστὲ ὡς ἐλεήμων, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.

Ταῖς τῆς θεοτόκου καὶ πάντων τῶν ἁγίων, πρεσβείαις.

Τῇ ε'. τῶν ἁγίων ἀποστ. Δόξα.

Ταῖς τῶν σῶν ἁγίων ἀποστόλων πρεσβείαις ἐλεήμων, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.

Ταῖς τῆς θεοτόκου καὶ πάντων.

Τῇ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Τῇ ϛ'. τοῦ σαυροῦ. Δόξα.

Δύνάμει τοῦ σαυροῦ σου, Χριστὲ ὡς ἐλεήμων ἐξάλειψον τά. Καὶ νῦν.

Ταῖς τῆς θεοτόκου, καὶ πάντων τῶν.

Τῷ Σαββ. τῶν κεκοιμ. Πεντηκ. Δόξα ἦχ. πλ. β'.

Πταισμάτων ἄφεσιν παράσχου τοῖς ὑμνηταῖς, καὶ τοῖς κοιμηθεῖσι τὴν ἀνάπαυσιν δώρησαι, ταῖς τῶν σῶν ἁγίων ἀθλοφόρων ἱκεσίαις ὁ Θεὸς, καὶ τεκούσης σε ἐλεούμενος εὐχαῖς. Καὶ νῦν τὸ αὐτό.

Εἰ μὲν ὅτι μ'. λέγονται τὰ πεντηκοστάρια ταῦτα, καθ' ἑκάστην ἡμέραν τῆς ὅλης ἑβδομάδος. Διὸ ὅλης τῆς α'. ἑβδομ. τοῦ ϛ' τὸ πεντηκ. ψαλ. Τῆς μετανοίας.

Τῇ β'. πρωΐ τῆς δευτέρας ἑβδ. πεντ. ἦχ. πλα. β.

Τὰ πλήθη τῶν πεπραγμένων μοι δεινῶν ἐννοῶν ὁ τάλας, τρέμω τὴν φοβερὰν ἐκείνην ἡμέραν τῆς κρίσεως, ἀλλὰ θαρρῶν εἰς τὸ πέλαγος τῆς εὐσπλαγχνίας σου σωτὴρ, ὡς ὁ Δαβὶδ βοῶ σοι: ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου. Καὶ νῦν τὸ αὐτό.

Τῇ γ'. πρωΐ δόξα ἦχ. πλα. δ'.

Τῆς μετανοίας ἄνοιξόν μοι πύλας ζωοδότα, ὀρθρίζει γὰρ τὸ πνεῦμά μου πρὸς ναὸν ἅγιόν σου, ναὸν φέρων τοῦ σώματος ὅλον ἐσπιλωμένον, ἀλλ' ὡς οἰκτίρμων, κάθαρον εὐσπλάγχνῳ σῷ ἐλέει. Καὶ νῦν.

Τῆς μετανοίας ἄνοιξόν μοι πύλας ζωοδότα, ὀρθρίζει γὰρ τὸ πνεῦμά μου πρὸς ναὸν ἅγιόν σου, ναὸν

φέρων

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

φέρον τοῦ στόματος ὅλον ἐσπιλωμένον, ἀλλ' ὡς οἰκτίρμων, κάθαρον εὐσπλάγχνῳ σοῦ ἐλέει. Ἐλέησον οἰκτίρησον ἔγειρόν με πεσόντα, καὶ τοῦ πυρός με λύτρωσαι τῆς φοβερᾶς ἡμέρας, διὰ τῆς Θεοτόκου ἐλέησόν με.

Τῇ δ'. Καὶ τῇ παρασκευῇ ἦχ. πλα. δ'. Δόξα.

Γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ πειρασθῆτε, εἶπεν ὁ κύριος, τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σάρξ ἀσθενής, διὰ τοῦτο γρηγορεῖτε.

Καὶ νῦν τὸ αὐτό. καὶ ἔπειτα.

Ἐλέησον οἰκτείρισον, ἔγειρόν με πεσόντα, καὶ τοῦ πυρός με λύτρωσαι τῆς φοβερᾶς ἡμέρας, διὰ τῆς Θεοτόκου ἐλέησόν με.

Τῇ ε'. ἦχ. πλα. β'. Δόξα.

Πταισμάτων ζάλη με χειμάζει διαπαντός, καὶ πρὸς τὸν βυθόν με ἀποπέμπει τῆς χαλεπῆς ἀπογνώσεως, ἔκτεινόν μοι χεῖρα Ἰησοῦ παμβασιλεῦ, ὡς τῷ Πέτρῳ καὶ ἐλέησόν με. Καὶ νῦν τὸ αὐτό.

Τῷ Σαββάτῳ, ὡς ἐν τῇ ἀκολουθίᾳ τοῦ αὐτοῦ Σαββ.

Τὰ πεντηκοστάρια πάντων τῶν δεσποτικῶν ἑορτῶν, καὶ ἀρχόμεθα ἐκ τοῦ Σεπτεμβρίου μηνός.

Τῇ η'. τοῦ αὐτοῦ μηνὸς ἡ Γέννησις τῆς Θεοτόκου.

Δόξα ἦχ. α'.

ΤΑ σύμπαντα σήμερον ἀγαλλιᾶσθε, ἐν τῇ γεννήσει τῆς Θεοτόκου. καὶ νῦν τὸ αὐτό.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ιδ'. τοῦ αὐτοῦ μηνὸς εἰς τὴν Ὕψωσιν τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ,

Πεντηκ. ἦχ. α'. Δόξα.

Ο Εἰς τὸν κόσμον ἐλθὼν, καὶ σαρκικῶς σταυρὸν καταδεξάμενος, καὶ ταφὴν, καὶ τῇ ἀνυψώσει σου τὸν κόσμον σώσας κύριε δόξα σοι.

Καὶ νῦν τὸ αὐτό.

Ἐν τῇ η'. τοῦ Νοεμβ. μηνὸς, ἐν τῇ ἑορτῇ τοῦ ἀρχιστρατήγου Μιχαὴλ,

Πεντηκ. ἦχ. δ'. Δόξα.

ΤΑῖς τοῦ Ἀρχαγγέλου πρεσβείαις ἐλεήμων, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων. καὶ νῦν. Ταῖς τῆς θεοτόκου καὶ πάντων.

Κα'. τοῦ αὐτοῦ ἐν τῇ ἑορ. τῆς Θεοτόκου.

Πεντηκ. ἦχ. δ'. Δόξα.

ΤΑῖς τῶν σῶν δικαίων Ἰωακεὶμ καὶ τῆς Ἄννης, πρεσβείαις ἐλεήμων, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων. Καὶ νῦν.

Ταῖς τῆς θεοτόκου πρεσβείαις ἐλεήμων, ἐξάλειψον.

Κε'. Δεκεμβρίου εἰς τὴν Γέννησιν τοῦ Χριστοῦ πεντ.

ἦχ. β'. Δόξα.

ΤΑ σύμπαντα σήμερον ἀγαλλιᾶσθε, ὅτι Χριστὸς γεννᾶται ἐν τῷ σπηλαίῳ.

Καὶ νῦν.

Τὰ σύμπαντα σήμερον ἀγαλλιᾶσθε, ὅτι Χριστὸς γεννᾶται ἐκ τῆς παρθένου.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Τῇ ϛ'. τοῦ μηνὸς Ἰανουαρίου εἰς τὴν Βάπτισιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,

Πεντηκ. ἦχ. β'. Δόξα.

ΤΑ σύμπαντα σήμερον ἀγαλλιᾶσθε, Χριστὸς ἐφάνη ἐν τῷ Ἰορδάνῃ.

Καὶ νῦν.

Τὰ σύμπαντα σήμερον ἀγαλλιᾶσθε Χριστὸς ἐβαπτίσθη ὑπὸ Ἰωάννου.

Τῇ β'. τοῦ μηνὸς Φεβρουαρίου ἐν τῇ ἑορτῇ τῆς Ὑπαπαντῆς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,

Πεντηκ. ἦχ. πλ. δ'. Δόξα.

ΩΣ χερουβικῶς θρόνος, ὁ πρεσβυτικὸς κόλπος ἐδέξατό σε Χριστὲ ὁ Θεὸς, ἀλλ' ἐγκαίνισον, καὶ ἡμᾶς τῇ τοῦ σταυροῦ σου δυνάμει, καὶ τῇ εἰσόδῳ τοῦ θείου ναοῦ ἀξίωσον ἡμᾶς φιλάνθρωπε.

Καὶ νῦν τὸ αὐτό.

Κε'. τοῦ Μαρτ. μηνὸς ἐν τῷ Εὐαγγελισμῷ τῆς Θεοτόκου,

Πεντηκ. ἦχ. δ'. Δόξα.

ΤΑῖς τοῦ Ἀρχαγγέλου πρεσβείαις ἐλεήμων, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου πρεσβείαις ἐλεήμων, ἐξάλειψον τὰ πλήθη.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἐν τῷ Σαββ. τοῦ δικαίου Λαζάρου. ἦχ. πλ. δ'.
Δόξα.

Η Ζωὴ τῶν ζώντων, καὶ τῶν θανέντων ἀνάστασις, ὡς ἐκ τάφου τῆς ἁμαρτίας, ἀνάστησον δέομαι, ὁ Θεὸς καὶ ἐλέησόν με. Καὶ νῦν τὸ αὐτό.

Ἐν τῇ ἑορτῇ τῆς Ἀναλήψεως τοῦ Χριστοῦ πεντηκ. ἦχ. α'. Δόξα.

Ο Εἰς τὸν κόσμον ἐλθὼν, καὶ σαρκικῶς σταυρὸν καταδεξάμενος, καὶ ταφὴν καὶ τῇ ἀναλήψει σου τὸν κόσμον σώσας κύριε δόξα σοι.

Καὶ νῦν τὸ αὐτό.

Τῇ Κυριακῇ τῆς ἁγίας Πεντηκοστῆς, Πεντηκ. ἦχ β'. Δόξα.

Ο Τοῖς μαθηταῖς ἐξαποστείλας τὸ πανάγιόν σου πνεῦμα, ἀντιλαβοῦ μου κύριε.

ἄλλο.

Πάτερ ἄναρχε, λόγε, καὶ πνεῦμα, τρισυπόστατον κράτος, σῶσον ἡμᾶς τοὺς πιστῶς σὲ ὑμνοῦντας.

Καὶ νῦν.

Πάτερ ἄναρχε, λόγε, καὶ πνεῦμα, τριὰς ἀρχηκοτάτη, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Τῇ ε'. τοῦ ἀχράντου Σώματος τοῦ Χριστοῦ σωτῆρος, Πεντηκ. ἦχ. β'. Δόξα.

ΣΩμα θεῖον λόγου, καὶ τὸ πάντιμον αἷμα, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

καὶ νῦν τὸ αὐτό.

Τῇ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Τῇ β΄ κυριακ. τοῦ ἁγίου Πνεύματος,
Πεντηκ. ἦχ. β΄. Δόξα.

ΠΑ΄τερ, λόγε, πνεῦμα, τριὰς ἀρχηκοτάτη ἐξάλειψον τὰ πλήθη τῶν.

Καὶ νῦν τὸ αὐτό.

Τῇ ς΄. Αὐγούστου, εἰς τὴν Μεταμόρφωσιν τοῦ Ἰησοῦ Χριστοῦ,
Πεντηκ. ἦχ. πλα. δ΄. Δόξα.

ΑΌρατε βασιλεῦ ὁ ἐν τῷ ὄρει Θαβὼρ, ἀρρήτῳ τῆς μορφῆς σου ἀστράψας τὸ φῶς Χριστὲ ὁ Θεὸς, ἐλέησον ἡμᾶς.

Καὶ νῦν.

Ἐν τῷ πλήθει κύριε τῶν οἰκτιρμῶν σου εἰσελευσόμεθα εἰς τὸν οἶκόν σου, καὶ προσκυνοῦντες πρὸς ναὸν ἅγιόν σου, ὀψώμεθα φῶς τοῦ προσώπου σου εἰς φωτισμὸν, καὶ ἱλασμὸν τῶν ψυχῶν ἡμῶν διὰ τὸ μέγα σου ἔλεος.

Ἐν τῷ αὐτῷ μηνὶ ιε΄. εἰς τὴν Κοίμησιν τῆς ὑπεραγίας Θεοτόκου
ἦχ. δ΄. Δόξα.

ΤΑῖς τῆς θεοτόκου, πρεσβείαις ἐλεήμων, ἐξάλειψον τά. καὶ νῦν τὸ αὐτό.

Καὶ μετὰ τοῦτο ὁ Ἱερεὺς λέγει.

ΕΛέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου. Ἐλέησόν με ὁ Θεὸς ἐν ἐλέει καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου υἱοῦ, μεθ᾽ οὗ εὐλογητὸς εἶ



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

σιὼ τῷ παναγίῳ, καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ὁ χορ. Ἀμήν.

Εἰρήνη πᾶσι. Καὶ τῷ πνεύματί σου.

Ἐν ταῖς δὲ λιταῖς ἡμέραις, ἐν αἷς οὐκ εἰσὶ πεντηκοστάρια. ὁ Ἱερεὺς μετὰ τὴν στιχολογίαν τοῦ ψαλτηρίου, καὶ τὰ καθίσματα καὶ τὸν ψαλμὸν ν'. τὸ δόξα καὶ νῦν, λέγει, Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, ὡς ἐπάνω.

Καὶ ἀρχόμεθα ψάλλειν τοὺς κανόνας, καὶ μετὰ τὴν γ'. ᾠδ. ὁ Ἱερεὺς λέγει.

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν.

ὁ χορ. Κύριε ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι. Κύριε ἐλ.

Τῆς παναγίας ἀχράντου ὑπερευλογημένης ἐνδόξου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀεὶ παρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα. Σοὶ κύριε.

Ὅτι ηὐλόγηται, καὶ δεδόξασται τὸ πάντιμον, καὶ μεγαλοπρεπὲς ὄνομά σου τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ, καὶ. Ἀμήν.

Εἰρήνη πᾶσι.

ὁ χορ. Καὶ τῷ πνεύματί σου. καὶ λέγετ. τὸ καθ. τοῦ κανόνος.

Καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Καὶ ἀπὸ ϛ'. ᾠδ. ὁμοίως ὁ Ἱερεὺς λέγει.

Ἔτι καὶ ἔτι. Ἀντιλαβοῦ σῶσον. Τῆς παναγίας ἀχράντ.

Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης Χριστὲ, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς. Ἀμήν.

Εἰρήνη πᾶσι. Καὶ τῷ πνεύματί σου. καὶ λέγετ. τὸ κοντάκ., καὶ εἰς τὸ τέλος τῆς η'. ᾠδῆς ἠχεῖ ὁ Ἱερεὺς ἓν ἐκ τῶν μεγαλυναρίων κατὰ τὸν ἦχ. τοῦ κανόνος.

Τὰ μεγαλυνάρια.

ἦχ. α'.

Μεγάλυνον θεοτόκε τὰ ἐλέη σου, ἐπὶ πάντας ἡμᾶς.

ἦχ. β'.

Μεγαλύνει ἡ ψυχή μου τὴν τιμιωτέραν τῶν ἄνω στρατευμάτων.

ἦχ. γ'.

Μεγαλύνει, καὶ ὑμνεῖ ἡ ψυχή μου τὸν κύριον.

ἦχ. δ'.

Σὲ τὴν θεοτόκον τὴν μητέρα τοῦ φωτὸς, ἐν ὕμνοις μεγαλύνομεν.

ἦχ. πλ. α'.

Αἱ γενεαὶ πᾶσαι σὲ μακαρίζομεν τὴν μόνην θεοτόκον.

ἦχ. πλα. β'.

Τὴν θεοτόκον ἐν ὕμνοις μεγαλύνομεν.

ἦχ. βαρύς.

Τὴν μητέρα τοῦ φωτὸς ἐν ὕμνοις μεγαλύνομεν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ἦχ. πλα. δ'.

Τὴν θεοτόκον τὴν μητέρα τοῦ φωτὸς ἐν ὕμνοις μεγαλύνωμεν.

Εἰς τὴν Γέννησιν δὲ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, λέγεται τοῦτο τὸ μεγαλυνάριον ἦχ. α'.

Μεγάλυνον ψυχή μου τὸν ἐκ τῆς παρθένου, ἢ τὸν ἐκ τῷ σπηλαίῳ τεχθέντα βασιλέα.

Εἰς τὴν βάπτισ. τοῦ Χριστοῦ μεγαλ. ἦχ. β'.

Μεγάλυνον ψυχή μου τὸν ἐν Ἰορδάνῃ Χριστὸν τὸν βαπτισθέντα.

Καὶ λέγει ὁ χορὸς τὴν ᾠδὴν τῆς θεοτόκου.

ΜΕγαλύνει ἡ ψυχή μου τὸν κύριον * καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ * ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατὸς * καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ * καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.

Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ * διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

Καθεῖλε δυνάστας ἀπὸ θρόνων, * καὶ ὕψωσε ταπεινούς.

Πεινῶντας ἐνέπλησεν ἀγαθῶν * καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς.

Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ * μνησθῆναι ἐλέους.

Κα-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν* τῷ Ἀβραάμ, καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

Δόξα καὶ νῦν.

Εἶτα ᾄδεται θʹ. ᾠδή, μεθ' ἣν ὁ Ἱερεὺς λέγ.

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν.

ὁ χορ. Κύριε ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον.

Τῆς παναγίας ἀχράντου ὑπερευλογημένης ἐνδόξ.

Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ.

Εἰρήνη πᾶσι: Καὶ τῷ Πνεύματί σου.

Ἔπειτα εἰ ἔστι κυριακὴ ᾄδεται ὁ Ἱερεύς.

Ἅγιος κύριος ὁ Θεὸς ἡμῶν.

ὁ χορ. Ἅγιος κύριος ὁ Θεὸς ἡμῶν.

ὁ Ἱερεύς. Ὑψοῦτε κύριον τὸν Θεὸν ἡμῶν, καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ὅτι ἅγιος ἐστὶν ὁ Θεὸς ἡμῶν.

ὁ χορ. Ἅγιος κύριος.

ὁ Ἱερ. Ὁ κύριος ἐβασίλευσεν, ὀργιζέσθωσαν λαοί, ὁ καθήμενος ἐπὶ τῶν χερουβὶμ σαλευθήτω ἡ γῆ, ὁ Θεὸς ἡμῶν.

ὁ χορός. Ἅγιος κύριος ὁ Θεὸς ἡμῶν.

Καὶ ὁ Ἱερεὺς πάλιν.

Καὶ ἐπὶ πάντων τὸν λαὸν αὐτοῦ ὁ Θεὸς ἡμῶν.

Καὶ ἀμέσως λέγεται τὸ ἐξαποστειλάριον.

Ἐ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἐν ταῖς δὲ μόνον τεσσαρακοσταῖς ἡμέραις λέγονται
τὰ φωταγωγάρια ταῦτα ἐκ γ'.
κατὰ τὸν ἦχ. τῆς ν'. ἤχου.
ἦχ. α'. Φωταγ.

Ὁ Τὸ φῶς ἀνατέλλων κύριε, τὴν ψυχήν μου καθάρισον ἀπὸ πάσης ἁμαρτίας, πρεσβείαις κύριε τῶν Ν. ἐλέησον καὶ σῶσον ἡμᾶς. ἐκ γ'.

Δεῖ δὲ εἰδέναι ὅτι εἰς τὴν πλήρωσιν τοῦ φωταγωγοῦ οὕτω λέγεται ὡς ἐν τῷ ὀρθρῷ κατὰ τὴν ἡμέραν ἑβδομάδος.

Τῇ β'. τῶν ἀσωμάτων.

Πρεσβείαις κύριε τῶν ἀσωμάτων, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Τῇ γ'. τοῦ προδρ.

Πρεσβείαις κύριε τοῦ προδρόμου ἐλέησον, καὶ σῶσον ἡμᾶς.

Τῇ δ'. καὶ τῇ ς'. τοῦ σταυροῦ.

Δυνάμει τοῦ σταυροῦ σου, κύριε ἐλέησον, καὶ σῶσον ἡμᾶς.

Τῇ ε'. τῶν ἀποσ.

Πρεσβείαις κύριε τῶν ἀποστόλων σου ἐλέησον, καὶ σῶσον ἡμᾶς.

ἦχ. β'. Φωταγ.

Τὸ φῶς σου τὸ ἀΐδιον ἐξαπόστειλον κύριε, καὶ φώτισον τὰ ὄμματα τὰ κρυπτὰ τῆς καρδίας μου, πρεσβείαις Ν. ἐλέησον, καὶ σῶσον ἡμᾶς. λεγ'. ἐκ γ'.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ἦχ. γ΄. Φωταγ.

Ἐξαπόστειλον τὸ φῶς σου Χριστὲ ὁ Θεὸς, καὶ φώτισον τὴν καρδίαν μου, πρεσβείαις Ν. ἐλέησον, καὶ σῶσον ἡμᾶς. ἐκ γ΄.

ἦχ. δ΄. Φωταγ.

Ὁ τὸ φῶς ἀνατέλλων τῷ κόσμῳ σου, τὴν ἐν σκότει ψυχήν μου ὑπάρχουσαν, ἀπὸ πάσης ἁμαρτίας καθάρισον, πρεσβείαις Ν. ἐλέησον, καὶ σῶσον ἡμᾶς. ἐκ γ΄.

ἦχ. πλα. α΄. Φωταγ.

Φωτοδότα κύριε ἐξαπόστειλον τὸ φῶς σου, καὶ φώτισον τὴν καρδίαν μου, πρεσβείαις Ν. ἐλέησον. ἐκ γ΄.

ἦχ. πλα. β΄. Φωταγ.

Πρεσβείαις κύριε Ν. φῶς κατάπεμψον ἡμῖν, καὶ τὸ μέγα ἔλεος. ἐκ γ΄.

ἦχ. βαρὺς Φωταγ.

Πρεσβείαις κύριε Ν. κατάπεμψον ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος. ἐκ γ΄.

ἦχ. πλα. δ΄. Φωταγ.

Φῶς ὑπάρχων Χριστὲ φώτισόν με ἐν σοὶ πρεσβείαις Ν. ἐλέησον καὶ σῶσον ἡμᾶς. ἐκ γ΄.

Ἐν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἐν ταῖς ἡμέραις δὲ τῆς Κυριακῆς, μετὰ τὸ, Ἅγιος κύριος λέγονται ταῦτα ἐξαποστειλάρια, κατὰ τὴν δήλωσιν ἀρχῇ τοῦ Ὡρολογίου περὶ τῶν κυριακῶν καὶ τῶν ἑωθινῶν.

## ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ Α'.

Τοῖς μαθηταῖς συνέλθωμεν, ἐν ὄρει Γαλιλαίας, πίστει Χριστὸν θεάσασθαι, λέγοντα ἐξουσίαν λαβεῖν τῶν ἄνω, καὶ κάτω. Μάθωμεν πῶς διδάσκει βαπτίζειν εἰς τὸ ὄνομα τοῦ Πατρὸς ἔθνη πάντα, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, καὶ συνεῖναι τοῖς μύσταις, ὡς ὑπέσχετο, ἕως τῆς συντελείας.

Θεοτοκίον.

Τοῖς μαθηταῖς συνέχαιρες θεοτόκε παρθένε, ὅτι Χριστὸν ἑώρακας ἀναστάντα ἐκ τοῦ τάφου, τριήμερον καθὼς εἶπεν. Οἷς καὶ ὤφθη διδάσκων, καὶ φανερῶν τὰ κρείττονα, καὶ βαπτίζειν κελεύων, ἐν τῷ Πατρὶ, καὶ Υἱῷ, καὶ Πνεύματι, τοῦ πιστεύειν μαθόντας τὸ μυστήριον, τῆς ἁγίας Τριάδος.

## ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ Β'.

Τὸν λίθον θεωρήσασαι ἀποκεκυλισμένον, αἱ μυροφόροι ἔχαιρον, εἶδον γὰρ νεανίσκον, καθήμενον ἐν τῷ τάφῳ. Καὶ αὐτὸς ταύταις ἔφη, ἰδοὺ Χριστὸς ἐγήγερται, εἴπατε σὺν τῷ Πέτρῳ τοῖς μαθηταῖς, ἐν τῷ ὄρει φθάσατε Γαλιλαίας, ἐκεῖ ὑμῖν ὀφθήσεται, ὡς προεῖπε τοῖς φίλοις.

Θεο-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Θεοτοκίον.

Τὸν ἄρνα θεωρήσασα ἡ παρθένος, καὶ μήτηρ, ἐπὶ σαυρῷ ἑλκόμενον, ὑψωθέντα ἐν τούτῳ, ὀδυρομένη ἐβόα. ὦ υἱὲ, καὶ Θεέ μου ὁ καλλωπίσας ἅπαντα, ἄπνους ἄμορφος φαίνῃ, σωματικῶς, τῶν ἀνθρώπων γένος ἐλευθερῶσαι, βουλόμενος μακρόθυμε τῆς φθορᾶς τοῦ θανάτου.

## ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ Γ'.

Ὅτι Χριστὸς ἐγήγερται, μήτις διαπιστείτω, ἐφάνη τῇ Μαρίᾳ γάρ, ἔπειτα καθωράθη τοῖς εἰς ἀγρὸν ἀπιοῦσι, μύσταις δὲ πάλιν ὤφθη, ἀνακειμένοις ἕνδεκα. Οὓς βαπτίζειν ἐκπέμψας, εἰς οὐρανοὺς ὅθεν καταβεβήκει ἀνελήφθη, ἐπικυρῶν τὸ κήρυγμα, πλήθεσι τῶν σημείων. Θεοτοκίον.

Υμνῶ σου τὸ μακρόθυμον, ἔλεος ὁ σωτήρ μου, ὅτι σαυτὸν ἐκένωσας, τοῦ φορέσαι καὶ σῶσαι, φύσιν βροτῶν νεκρωθεῖσαν. Καὶ Θεὸς ὢν ἤνεγκου ἐκ τῆς ἁγνῆς θεόπαιδος, κατ' ἐμὲ τοῦ γενέσθαι, καὶ κατελθεῖν εἰς ᾅδου, κἀκεῖθεν με ἀνελκύσαι, ἧς ταῖς πρεσβείαις ἅπαντας σῶσον τοὺς σὲ ὑμνοῦντας.

## ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ Δ'.

Ταῖς ἀρεταῖς ἀςράψαντες, ἴδωμεν ἐπιςάντας, ἐν ζωηφόρῳ μνήματι, ἄνδρας ἐν ἀςραπτούσαις ἐσθήσεσι μυροφόροις κλινούσαις εἰς γῆν ὄψιν. τοῦ οὐρανοῦ

δεσπό-

διαπόζοντος, ἔγερσιν διδαχθῶμεν, καὶ πρὸς ζωὴν, τῷ μνημείῳ δράμωμεν σὺν τῷ Πέτρῳ, καὶ τὸ πραχθὲν θαυμάσαντες, μείνωμεν Χριστὸν βλέψαι.

Θεοτοκίον.

Ο Οὐρανὸν πανάγραντε ὡσεὶ δέῤῥιν ἐκτείνας, ἐκ σῆς νηδύος ἔλλαμψε, γηγενῶν προσλαβὼν προςασίαν, σὲ θέμενος εὐσπλαγχνία. Τοῦτον οὖν ἐκδυσώπει, ὃν Ἰακὼβ εὐλόγησεν, ἀνατείλαντος ὄρθρου, πάντας ἡμᾶς, εὐλογῆσαι, δοῦναί τε τὴν ἡμέραν, καὶ νύκτα ἀναμάρτητον, καὶ ἁγίαν ἀνύειν.

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ Ε'.

Η Ζωὴ καὶ ὁδὸς Χριστὸς, ἐκ νεκρῶν τῷ Κλεόπᾳ, καὶ τῷ Λουκᾷ συνωδοιπόρει, οἷσπερ καὶ ἐπεγνώσθη, εἰς Ἐμμαοὺς κλῶν τὸν ἄρτον. Ὧν ψυχαὶ, καὶ καρδίαι καιόμεναι ἐτύγχανον, ὅτε τούτοις ἐλάλει ἐν τῇ ὁδῷ, καὶ γραφαῖς ἡρμήνευεν, ἃ ὑπέστη, μεθ' ὧν ἠγέρθη κράζωμεν, ὤφθη τε καὶ τῷ Πέτρῳ.

Θεοτοκίον.

Ο Ποιητὴς τῆς κτίσεως, καὶ Θεὸς τῶν ἁπάντων, σάρκα βροτείαν ἔλαβεν, ἐξ ἀχράντου σαρκός σου, πανύμνητε Θεοτόκε. Καὶ φθαρεῖσάν μου ὅλην φύσιν ἀνεκαίνισε. Πάλιν ὡς πρὸ τοῦ τόκου, καταλιπὼν μετὰ τόκον, ὅθεν πιστῶς σε πάντες ἀνευφημοῦμεν, κράζοντες χαῖρε κόσμου ἡ δόξα.

ΕΞΑ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

## ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ ϛʹ.

Δεικνύων ὅτι ἄνθρωπος, σῶτερ εἶ κατ' οὐσίαν, ἐν μέσῳ στὰς, ἐδίδασκες, ἀναστὰς ἐκ τοῦ τάφου, καὶ βρώσεως συμμετέχες, βάπτισμα μετανοίας. εὐθὺς δὲ πρὸς οὐράνιον ἀνελήφθης πατέρα, καὶ μαθηταῖς πέμπειν τὸ παράκλητον ἐπηγγέλλω, ὑπέρθεε θεάνθρωπε, δόξα τῇ σῇ ἐγέρσει.

Θεοτοκίον.

Τὸ χαίρετε φθεγξάμενος, διημείψω τὴν λύπην, τῶν προπατόρων κύριε, τὴν χαρὰν ἀντιστάγων ἐγέρσεώς σου ἐν κόσμῳ. Ταύτης οὖν ζωοδότα, διὰ τῆς τεκούσης σε, φῶς ἡμῖν σε ὑμνοῦσι, φῶς οἰκτιρμῶν τῶν σῶν ἐξαπόστειλον τοῦ βοᾶν σοι, ὑπέρθεε φιλάγαθε, δόξα τῇ σῇ ἐγέρσει.

## ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ Ζʹ.

Ὅτι ἦραν τὸν κύριον τῆς Μαρίας εἰπούσης. ἐπὶ τὸν τάφον ἔδραμον Σίμων Πέτρος, καὶ ἄλλος μύστης Χριστοῦ, ὃν ἠγάπα. Ἔτρεχον δὲ οἱ δύο, καὶ εὗρον τὰ ὀθόνια ἔνδον κείμενα μόνα, καὶ κεφαλῆς ἦν δὲ τὸ σουδάριον χωρὶς τούτων. διὸ πάλιν ἡσύχασαν τὸν Χριστὸν ἕως εἶδον.

Θεοτοκίον.

Μεγάλα καὶ παράδοξα, δι' ἐμὲ κατειργάσω σωτήρ μου πολυέλεε. ἐκ παρθένου γὰρ κόρης ἐτέχθης ἀνερμηνεύτως. Καὶ σταυρὸν ὡς κακοῦργος, καὶ θάνατον ὑπέ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ὑπέμεινας, ἵνα με τῆς δουλείας τοῦ πονηροῦ λυτρώσῃς, πολίτην τε πάλιν δείξῃς τοῦ παραδείσου, ἀναστὰς τριήμερος ἐκ τοῦ τάφου.

## ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ Η΄.

ΔΥ'ο ἀγγέλους βλέψασα, ἔνδοθεν τοῦ μνημείου, Μαρία ἐξεπλήττετο, καὶ Χριστὸν ἀγνοοῦσα, ὡς κηπουρὸν ἐπηρώτα. Κύριε ποῦ τὸ σῶμα τοῦ Ἰησοῦ μου τέθεικας; Κλήσει δὲ τοῦτον γνοῦσα, εἶναι αὐτὸν, τὸν σωτῆρα, ἤκουσε μή μου ἅπτου, πρὸς τὸν πατέρα ἄπειμι, εἰπὲ τοῖς ἀδελφοῖς μου. Θεοτοκίον.

ΚΑτηφείας πληρούμεναι, καὶ πολλῆς ἀθυμίας, τὴν ψυχὴν ἐμπιπλάμεναι, ἔδραμον αἱ γυναῖκες πρὸς τὸ μυρίσαι τὸ σῶμα Ἰησοῦ τοῦ δεσπότου, τοῦ τὴν ἡμῶν φορέσαντος ἐκ παρθένου πτωχείαν, δίχα παντοίας κηλῖδος, αἷς ἀπήντησε λέγων, σὺν τῇ μητρὶ χαίρετε, οὐκ ἔτι γὰρ βασιλεύει ὁ ᾅδης καταλέλυται τῇ ἐμῇ ἀναστάσει.

## ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ Θ΄.

ΣΥγκεκλεισμένων δέσποτα τῶν θυρῶν ὡς εἰσῆλθες, τοὺς ἀποστόλους ἔπλησας, πνεύματος παναγίου, εἰρηνικῶς ἐμφυσήσας. Οἷς δεσμεῖν τε καὶ λύειν τὰς ἁμαρτίας εἴρηκας, καὶ ὀκτὼ μετὰ ἡμέρας, τὴν σὴν πλευρὰν, τῷ Θωμᾷ ὑπέδειξας, καὶ τὰς χεῖρας, μεθ' οὗ βοῶμεν κύριος, καὶ Θεὸς σὺ ὑπάρχεις.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Θεοτοκίον.

Ἡ Ἄνυμφος καὶ μήτηρ σου ἐκ τοῦ τάφου ὡραῖον, ὡς ἐκ παστοῦ ἀστράψαντα, κατιδοῦσά σε λόγε, χαρμονικῶς ἀνεβόα, εἰ, καὶ ἔπαθες τέκνον σωματικῶς ὡς ἄνθρωπος, ἀλλὰ τῇ θεϊκῇ σου δυνάμει ᾅδην καθεῖλες, καὶ τὸ ἴδιον πλάσμα ἀναγαγὼν, τῆς αὐτοῦ ἐξήρπασας τυραννίδος. δόξα τῇ ἀναστάσει σου, δι' ἧς ἔσωσας κόσμον.

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ Ι'.

Τιβεριάδος θάλασσα σὺν παισὶ Ζεβεδαίου, Ναθαναὴλ τῷ Πέτρῳ τε, σὺν δυσὶν ἄλλοις πάλαι, καὶ Θωμᾶν εἶχε πρὸς ἄγραν, οἱ Χριστοῦ τῇ προστάξει ἐν δεξιᾷ χαλάσαντες, πλῆθος εἷλκον ἰχθύων, ὃν Πέτρος γνοὺς πρὸς αὐτὸν ἐνήχετο, εἰς τὸ τρίτον φανεὶς, καὶ ἄρτον ἔδειξε, καὶ ἰχθὺν ἐπ' ἀνθράκων.

Θεοτοκίον.

Οὐσιῶν ἰδιότησιν ὁ υἱός σου παρθένε, ὡς μὲν θνητὸς ἀφύπνωσεν, ὡς Θεὸς δὲ ἀνέστη, διαφθορὰν δὲ οὐκ εἶδεν. Ὃν ἀεὶ εὐμενίζου, τῷ λαῷ, καὶ τῇ ποίσκῃ σου. φῶς ἡμῖν ἀποστέλλειν, ἡμερινοῦ, προσκόμματος διασώζων, ὃς σὺν Πατρὶ, καὶ Πνεύματι, εἷς Θεὸς προσκυνεῖται.

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ ΙΑ'.

Μετὰ τὴν θείαν ἔγερσιν τρὶς τῷ Πέτρῳ φιλεῖς με πυθόμενος ὁ κύριος, τῶν ἰδίων προβάτων



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

προβάλλεται ποιμενάρχην. Ὅς ἰδὼν ὃν ἠγάπα τοῦ Ἰησοῦ ἑπόμενον, ἤρετο τοῦ δεσπότη, οὗτος δὲ τί, ἐὰν θέλω, ἔφησε, μένειν τοῦτον, ἕως καὶ πάλιν ἔρχομαι· τί πρὸς σὲ φίλε Πέτρε. Θεοτοκίον.

Παναγία πανάχραντε μῆτερ εὐλογημένη, δυσώπησον ὃν ἔτεκες, βασιλέα, καὶ κτίστην, τὸν προαιώνιον τέλειον, γεννηθέντα ἀφράστως, ὡς εὐδόκησεν, ἄνθρωπον κατ' οὐσίαν, ὁμοῦ Θεὸν, καὶ πατέρα πάντων τῶν ποιημάτων, αὐτὸν οὖν αἴτει δέσποινα ὑπὲρ γένους ἀνθρώπων.

Καὶ ἐν τῇ κυριακῇ τοῦ Θωμᾶ τοῦτο. πρὸς,
Ὁ οὐρανὸν τοῖς ἄστροις.

Ἐμὰν μελῶν χειρί σου ἐξερευνήσας τὰς πληγὰς, μή μοι Θωμᾶ ἀπιστήσῃς, θαυματωθέντα διὰ σέ. Σὺν μαθηταῖς ὁμοφρόνει, καὶ ζῶντα κήρυττε Θεόν. (Γνωστέον δὲ ὅτι ταῦτα ἐξαπος. ἀπὸ τοῦ πάσχα, μέχρι τῆς ν. ἐν ἡμέραις κυριακαῖς λέγονται μόνα, ἐν δὲ ταῖς ἄλλαις ἡμέραις τῆς ἑβδομάδος, λέγεται πρῶτον τὸ τοῦ ἁγίου, ἔπειτα τὸ τῆς κυριακῆς.)

Ἐν τῇ Κυριακῇ τῶν Μυροφόρων,
Αὐτόμελον.

Γυναῖκες ἀκουτίσθητε, φωνὴν ἀγαλλιάσεως, τύραννον ᾅδην πατήσας, φθορᾶς ἐξήγειρα κόσμον· Δράμετε φίλοις εἴπατε τοῖς ἐμοῖς εὐαγγέλια, βούλομαι γὰρ τὸ πλάσμα μου, χαρὰν ἐκεῖθεν αὐγάσαι· ὅθεν προῆλθεν ἡ λύπη.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἐν τῇ κυρ. τοῦ Παραλύτ. πρὸς, Γυναῖκες ἀκουτ.

Ἐπέστη ὁ φιλάνθρωπος καὶ πανοικτίρμων κύριος, ἐν τῇ στοᾷ Σαλομῶντος τοῦ θεραπεῦσαι τὰς νόσους, εὗρε δὲ κατακείμενον ἄνθρωπον πλείστοις ἔτεσι, καὶ πρὸς αὐτὸν ἐβόησεν, ἆρον τὸν κράββατόν, ἴθι σοῖς ὤμοις καὶ περιπάτει.

Ἐν τῇ κυρ. τῆς Σαμαρείτιδ. πρὸς, Γυναῖκες ἀκουτισθ.

Σαμάρειαν κατέλαβες σωτήρ μου παντοδύναμε, καὶ γυναικὶ ὁμιλήσας ὕδωρ ἐζήτεις τοῦ ποιεῖν, ὁ ἐκ πέτρας ἀκροτόμου, πηγάσας ὕδωρ ἑβραίοις, κἀμὲ σῶτερ μου διψῶντα πότισον, ἵνα μηκέτι διψήσω εἰς ἀπεράντους αἰῶνας.

Ἐν τῇ κυρ. τοῦ Τυφλοῦ πρὸς, Γυναῖκες ἀκουτίσθ.

Παράγων ὁ φιλάνθρωπος, καὶ φωτοδότης κύριος ἐν τῇ ὁδῷ τοῦ ἱεροῦ εὗρε τυφλὸν ἐκ γεννητῆς, καὶ σπλαγχνισθεὶς ἐπέχρισε πηλὸν τοὺς ὀφθαλμοὺς αὐτοῦ, καὶ πορευθεὶς τοῦ νίψασθαι ἐν τῇ πηγῇ ἐκαθάρθη τοῦ σκότους τῆς ἀβλεψίας.

Ἐν τῇ ε΄. δὲ τῆς πέμπτης ἑβδομ. εἰς τὴν Ἀνάληψιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐξαπος.

Τῶν μαθητῶν ὁρώντων σε, ἀνελήφθης Χριστέ, πρὸς τὸν πατέρα συνεδριάζων, ἄγγελοι προτρέχοντες ἐκραύγαζον, ἄρατε πύλας ἄρατε, ὁ βασιλεὺς γὰρ ἀνῆλθε, πρὸς τὴν ἀρχίφωτον δόξαν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἐν τῇ Κυρ. τῶν ἁγίων πατέρων πρὸς ὃ
Τοῖς μαθηταῖς συνέλθ.

Τῇ τῶν πατέρων σήμερον πανηγύρει συνζρέχει, πᾶσα πιστῶν ὁμήγυρις· Ἄρειος αἰσχυνέσθω, Σαβέλλιος ἐντρεπέσθω, ἄθλιον Νεστορίου ῥαπιζέσθω τὸ πρόσωπον, καὶ ἐσμὸς σκορπιζέσθω αἱρετικῶν, ἡ Χριστοῦ τερπέσθω δὲ ἐκκλησία, σὺν τῷ Πατρὶ δοξάζουσα τὸν Υἱὸν, καὶ τὸ Πνεῦμα.

Ἐξαποστειλάρια ταῦτα λέγονται ἐν τῷ σαββάτῳ τῆς Ἀποκρέου, καὶ τῆς Πεντηκοστῆς, καὶ ἐν τῇ β'.
ἡμέρᾳ τοῦ Νοεμβρίου μηνὸς, πρὸς ὃ
Τοῖς μαθηταῖς συνέλ.

Ὁ Ἐν νεκροῖς ἐλεύθερος, ὁ νεκρῶν καὶ τῶν ζώντων, ἐξουσιάζων κύριε, ὁ νεκρώσας τὸν ᾅδην τῇ θεϊκῇ σου δυνάμει. Ὁ σταυρῷ καὶ θανάτῳ πατήσας τὸν διάβολον, καὶ πρωτότοκος πάλιν ἐκ τῶν νεκρῶν ἀναστὰς, πρεσβείαις τῆς σὲ τεκούσης, ἀνάπαυσον τοὺς δούλους σου ἐν τρυφῇ παραδείσου.

Ἄλλ. πρὸς ὃ οὐρανὸν τοῖς ἄστροις.

Ὁ Καὶ νεκρῶν καὶ ζώντων ἐξουσιάζων ὡς Θεὸς, ἀνάπαυσον τοὺς σοὺς δούλους ἐν ταῖς σκηναῖς τῶν ἐκλεκτῶν, εἰ γὰρ καὶ ἥμαρτον λόγε, ἀλλ' οὐκ ἀπίστησαν ἐκ σοῦ.

Ἄλλ.

Ὁ νεκρωθεὶς ἑκουσίως, διὰ νεκροὺς σαρκὶ λόγε θεὲ καὶ ᾅδην νεκρώσας, νεκροὺς δὲ πάντας ζωώσας πάντας πιστοὺς σῷ ἐλέει, ἀνάπαυσον ἐν σῇ δόξῃ.

Θεο

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου -
Μουσείο Τυπάλδων Ιακωβάτων

Θεοτοκίον.

Η Βασιλὶς τῶν ἁπάντων παρθενομήτορ Μαριάμ, ἀντιλαβοῦ πιστῶν πάντων νεκρῶν ἐν Χριστῷ καὶ ζώντων ἡμῶν, καὶ πάντας σῆς δόξης, ὡς θεοτόκος, ἀξίου.

## ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ

Τῆς μεγάλης Τεσσαρακοστῆς.

Ἐν τοῖς αὐτῆς Σαββασιν, πρὸς Ἐπεσκέψατο.

ΤΑῖς πρεσβείαις ὁ Θεὸς τῶν ἀθλοφόρων κύριε, ἱεραρχῶν καὶ ὁσίων, καὶ πάντων σου τῶν ἐκλεκτῶν, τοὺς κοιμηθέντας δούλους σου ἐν τρυφῇ παραδείσου κατάταξον κύριε.

Θεοτόκ. Ἄχραντε δέσποιν. ὡς κάτω.

Τῇ ἁγίᾳ, καὶ μεγάλῃ β΄. φωταγ. ἦχ. πλ. β΄.

ΕΜὲ τὸν ἐν πελάγει τοῦ βίου κλυδονιζόμενον, εἰς τὸν τῆς μετανοίας λιμένα χειραγώγησον, φωταγωγὲ τῶν ἁπάντων, Χριστὲ ὁ Θεὸς, ὁ τὸ ἀκοίμητον ἔχων ὄμμα, σῶσόν με.

Τῇ ἁγ. καὶ μεγάλῃ γ΄. Φωταγωγ. ἦχ. πλ. β΄.

ΤΟν νυμφῶνα σου βλέπω σωτήρ μου κεκοσμημένον, καὶ ἔνδυμα οὐκ ἔχω ἵνα εἰσέλθω ἐν αὐτῷ. λάμπρυνόν μου τὴν στολὴν τῆς ψυχῆς, φωτοδότα, καὶ σῶσόν με.

Τῇ κυριακῇ τῆς Βαϊοφόρου. πρὸς, Ἐπεσκέψ.

ΕΝ οὐρανῷ ὁ θρόνος σου, ἐν γῇ τὸ ὑποπόδιον, καὶ πῶς ὁ πῶλον πωλείων ἐν πώλῳ κάθηται ὄνου.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὕμνησαν ἄνω ἄγγελοι, ἤνεσαν κάτω παῖδες σε, κραυγάζοντές σοι Ὕψιστε, τὸ ὠσαννὰ ἐν ὑψίστοις.

Τῷ ἁγίῳ, καὶ μεγάλῳ Σαββάτῳ. Ἐπεσκέψ.

ΤΩν σαββάτων ἡ λαμπρὰ, ἡμέρα πανηγύρεως, ἐν ᾗ ὁ πάντων δεσπότης ἐν τῷ ᾅδῃ κατελθὼν, ἑαυτῷ συνανέστησε πάντας τοὺς ἀπ' αἰῶνος καθεύδοντας.

Ἐν τῇ μεγάλῃ Κυριακῇ τῆς ἁγίας Πεντηκοστῆς.

πρὸς, Ὁ οὐρανὸν τοῖς ἄστροις.

ΠΕντηκοστὴν τελοῦμεν, καὶ ἔλευσιν θείου πυρὸς, Πνεῦμα τὸ ἅγιον ἦλθε, σοφίζον τοὺς ἀποστόλους, τοῦτο δεξώμεθα πάντες, καὶ προσκυνήσωμεν φόβῳ.

Ἄλλ. Τοῖς μαθηταῖς συνέλθ.

Ὦ Βασιλεῦ οὐράνιε κραταιὲ τροπαιοῦχε, μέγα Θεὸς παράκλητε, παντοκράτορ, παντάναξ, παντέφορε παντεπόπτα, χορηγὲ τῆς σοφίας, καὶ θησαυρὲ τῆς γνώσεως, ποιητὰ τῶν αἰώνων, καὶ συνοχεῦ τῶν ἁπάντων, σῶζε τοὺς προσκυνοῦντας, Θεόν σε ὁμοούσιον τῷ Πατρὶ καὶ τῷ λόγῳ.

Τῇ β'. τῶν ἀσωμάτων, πρὸς, Ὁ οὐρανὸν τοῖς ἄστροις.

ΤΟὺς νοεροὺς ἀγγέλους, καὶ ἀσωμάτους λειτουργοὺς, ὡς παρεστῶτας τῷ θρόνῳ τοῦ Βασιλέως, καὶ Θεοῦ, ἀνευφημήσωμεν πάντες λύσιν εὑρεῖν ὀφλημάτων.

Θεοτοκίον.

Ὁ Γλυκασμὸς τῶν ἀγγέλων, τῶν θλιβομένων ἡ χαρὰ, χριστιανῶν ἡ προστάτις παρθένε μήτηρ κυρίου,

ἀντι-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ἀντιλαβοῦ ἡμᾶς, καὶ ῥῦσαι τῶν αἰωνίων βασάνων.

Ἐν τῇ γ΄. τοῦ προδρόμου ἐξαπος. προς.

Ἐπεσκέψατο ἡμᾶς.

ΕΝ τῇ νηδύϊ τῆς μητρὸς σου προσκιρτῶν εὐλόγησας, τὴν τοῦ κυρίου μητέρα, μεθ᾽ ἧς ἱκέτευε ἀεὶ, σωθῆναι τὰς ψυχὰς ἡμῶν, πρόδρομε Ἰωάννη τῶν πόθῳ τιμώντων σε. Θεοτοκίον.

ΑΧραντε δέσποινα ἁγνὴ, καὶ μόνη ἀπειρόγαμε, ἡ προστασία, καὶ ἐλπὶς σου δυσώπει τὸν ἐκ σοῦ τεχθέντα λυτρωτὴν ἡμῶν, σῶσαι κόσμον ἐκ πλάνης κινδύνων, καὶ θλίψεων.

Ἐν τῇ δ΄. τοῦ σταυροῦ πρὸς, Τῶν μαθητῶν.

ΣΤαυρὸς ὁ φύλαξ πάσης τῆς οἰκουμένης, σταυρὸς ἡ ὡραιότης τῆς ἐκκλησίας, σταυρὸς βασιλέων τὸ κραταίωμα, σταυρὸς πιστῶν τὸ στήριγμα, σταυρὸς ἀγγέλων ἡ δόξα, καὶ τῶν δαιμόνων τὸ τραῦμα.

Θεοτοκίον.

ΗΜεῖς ἐν σοὶ καυχώμεθα θεοτόκε, μετὰ Θεὸν σὲ ἔχομεν προστασίαν, ἔκτεινον τὴν χεῖρα σου τὴν ἄμαχον τὴν ἐπὶ τοὺς ἐχθροὺς ἡμῶν συμμαχοῦσαν, σὲ γὰρ ἀεὶ εἰς πρεσβείαν ἁμαρτωλοὶ συγκινοῦμεν.

Ἐν τῇ ε. τῶν ἀπος. προς, Ἐπεσκέψατο ἡμᾶς.

ΤΟν δωδεκάριθμον χορὸν τῶν ἀποστόλων σήμερον, ἀνευφημήσωμεν πάντες, ὡς στηριχθέντες ὑπ᾽ αὐτῶν, καὶ τῷ Χριστῷ βοήσωμεν ταῖς εὐχαῖς αὐτῶν σῶτερ τὸν κόσμον ἐλέησον.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Θεοτοκίον.

Ἄχραντε δέσποινα ἁγνή, καὶ μόνη ἀπειρόγαμε, ἡ προστασία καὶ ἐλπίς, σὺ δυσώπει τὸν ἐκ σοῦ τεχθέντα λυτρωτὴν ἡμῶν, σῶσαι κόσμον ἐκ πλάνης κινδύνων καὶ θλίψεων.

Ἐν τῇ παρασκευῇ ἐξάπος. τοῦ σταυροῦ πρὸς, Τῶν μαθητῶν.

Χαῖρε σταυρὲ τὸ καύχημα τῶν ὀρθοδόξων, καὶ βασιλέων ὅπλον κατὰ βαρβάρων, χαῖρε τὸ σκῆπτρον τῆς οἰκουμένης, καὶ φύλαξ ἀκριβέστατε, ἁγίασον τοὺς ἐν πίστει σταυρὲ Χριστοῦ προσκυνοῦντας. Θεοτοκίον.

Ἡμεῖς ἐν σοὶ καυχώμεθα θεοτόκε, μετὰ Θεὸν σὲ ἔχομεν προστασίαν, ἔκτεινον τὴν χεῖρά σου τὴν ἄμαχον τὴν ἐπὶ τοὺς ἐχθροὺς ἡμῶν συμμαχοῦσαν, σὲ γὰρ ἀεὶ εἰς πρεσβείαν ἁμαρτωλοὶ συγκινοῦμεν.

Ἐν τῷ σαββάτῳ τῶν κεκοίμημ. ἐξαποστειλάριον.

Ὁ οὐρανὸν τοῖς ἄστροις κατακοσμήσας ὡς Θεός, καὶ διὰ τῶν ἀθλοφόρων πᾶσαν τὴν γῆν φωταγωγῶν, δημιουργὲ τῶν ἁπάντων τοὺς ἀνυμνοῦντάς σε σῶζε. Νεκρώσ.

Ὁ καὶ νεκρῶν, καὶ ζώντων ἐξουσιάζων ὡς Θεός, ἀνάπαυσον τοὺς σοὺς δούλους ἐν ταῖς σκηναῖς τῶν ἐκλεκτῶν, εἰ γὰρ καὶ ἥμαρτον λόγε, ἀλλ' οὐκ ἀπέστησαν ἐκ σοῦ. Θεοτοκίον.

Ὁ γλυκασμὸς τῶν ἀγγέλων, τῶν θλιβομένων ἡ χαρά, χριστιανῶν ἡ προστάτις παρθένε μήτηρ κυ-

ρίου,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

είε, ἀντιλαβοῦ μου, καὶ ῥῦσαι τῶν αἰωνίων βασάνων.

Καὶ μετὰ τὰ ἐξαποστειλάρια ᾄδεται κατὰ τὸν ἦχ. τό.

Ψαλ. ρμή.

ΠΑσα πνοὴ αἰνεσάτω τὸν κύριον, αἰνεῖτε τὸν κύριον ἐκ τῶν οὐρανῶν * αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος ὁ Θεός. *

Αἰνεῖτε αὐτὸν πάντες οἱ ἄγγελοι αὐτοῦ * αἰνεῖτε αὐτὸν πᾶσαι αἱ δυνάμεις αὐτοῦ. *

Αἰνεῖτε αὐτὸν ἥλιος, καὶ σελήνη * αἰνεῖτε αὐτὸν πάντα τὰ ἄστρα καὶ τὸ φῶς. *

Αἰνεῖτε αὐτὸν οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν * αἰνεσάτωσαν τὸ ὄνομα κυρίου.

Ὅτι αὐτὸς εἶπε καὶ ἐγενήθησαν * αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν. Αὐτῷ πρέπει αἴνεσις.

Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος * πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται.

Αἰνεῖτε τὸν κύριον ἐκ τῆς γῆς * δράκοντες καὶ πᾶσαι ἄβυσσοι.

Πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος * τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ.

Τὰ ὄρη καὶ πάντες οἱ βουνοὶ * ξύλα καρποφόρα, καὶ πᾶσαι κέδροι. (Δότε δόξαν τῷ Θεῷ.)

Τὰ θηρία καὶ πάντα τὰ κτήνη * ἑρπετὰ, καὶ πετεινὰ πτερωτά.

Βασιλεῖς τῆς γῆς, καὶ πάντες λαοὶ * ἄρχοντες καὶ πάντες κριταὶ γῆς.

Νεανί-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Νεανίσκοι, καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων αἰνεσάτωσαν τὸ ὄνομα κυρίου * , ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου.

Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ * καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ.

Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ * τοῖς υἱοῖς Ἰσραὴλ λαῷ ἐγγίζοντι αὐτῷ.

Ψαλ. ρμθʹ.

Ἄσατε τῷ κυρίῳ ᾆσμα καινὸν * ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων. Δόξα σοὶ ἅγιε Πάτερ.

Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτὸν * καὶ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν.

Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ * ἐν τυμπάνῳ, καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ.

Ὅτι εὐδοκεῖ κύριος ἐν τῷ λαῷ αὐτοῦ * καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ. Υἱὲ Θεοῦ ἐλέησον ἡμᾶς.

Καυχήσονται ὅσιοι ἐν δόξῃ * καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν * καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν.

Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν * ἐλεγμοὺς ἐν τοῖς λαοῖς. Φεῖσαι ἡμῶν κύριε.

Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις * καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς.

Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρίμα ἔγγραπτον * δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ψαλ. ρν'.

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ * αἰνεῖτε αὐτὸν ἐν στερεώματι δυνάμεως αὐτοῦ.

Δόξα τῷ δείξαντι τὸ φῶς.

Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ * αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλοσύνης αὐτοῦ.

Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος * αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ, καὶ κιθάρᾳ.

Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ * αἰνεῖτε αὐτὸν ἐν χορδαῖς, καὶ ὀργάνῳ.

Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις * αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ, πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Δόξα πρέπει, αἴνεσις, καὶ τιμὴ τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι.

Ἐν τῇ μεγ. μ'. μετὰ τὸ Πᾶσα πνοὴ, καὶ Δόξα καὶ νῦν, λέγεται ὡς κάτω, Σοὶ δόξα πρέπει. φύλλ. 107. καὶ τὸ Δόξα ἐν Ὑψίστοις. Χωρὶς τῆς μεγ. μ'. Εἰς τοὺς αἶν. ὡς τάξεται. Συνήθως δέ. Ἐν ταῖς κυριακαῖς στιχ'. ς'. τοῦ ἀναστασίμου, καὶ δόξα τῶν ἑωθινῶν. Ἐν ταῖς ἑορτ. στιχ'. δ'. προσόμοια, ἢ ἰδιόμελα, ἢ σύντομα τῆς ἑορτῆς, καὶ Δόξα τῆς αὐτ. Ἐν ταῖς λιταῖς, γ'. καθ' ἡμέραν τῆς ἑβδομάδος, καὶ τὸ δ'. στιχ'. τῶν κεκοιμημένων. Δόξα τῆς ἑβδομ. Ὅταν δὲ ἐν ταῖς ἑορταῖς τῶν ἁγίων τάξωνται τὰ δ'. ὀκτωήχου, τὸ δ'. στιχ'. ἔσαι προσόμοιον τῆς ἑορτῆς.

Δο

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Δόξαι λεγόμεναι ἐν τοῖς ὄρθροις τῶν Κυριακῶν.

## ΔΟΞΑ ΕΩΘΙΝΗ Α'.

ἦχ. α'.

Εἰς τὸ ὄρος τοῖς μαθηταῖς ἐπειγομένοις, διὰ τὴν χαμόθεν ἔπαρσιν ἐπέστη ὁ κύριος, καὶ προσκυνήσαντες αὐτὸν, καὶ τὴν δοθεῖσαν ἐξουσίαν πανταχοῦ διδαχθέντες, εἰς τὸν ὑπ' οὐρανὸν ἐξαπεστέλλοντο, κηρύξαι τὴν ἐκ νεκρῶν ἀνάστασιν, καὶ τὴν εἰς οὐρανοὺς ἀποκατάστασιν, οἷς καὶ συνδιαιωνίζειν, ὁ ἀψευδὴς ἐπηγγείλατο Χριστὸς ὁ Θεὸς, καὶ σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Θεοτοκίον κατὰ τὸν ἦχ.

Υπερευλογημένη ὑπάρχεις θεοτόκε παρθένε, διὰ γὰρ τοῦ ἐκ σοῦ σαρκωθέντος, ὁ ᾅδης ᾐχμαλώτισται, ὁ Ἀδὰμ ἀνακέκληται, ἡ κατάρα νενέκρωται, ἡ Εὔα ἠλευθέρωται, ὁ θάνατος τεθανάτωται, καὶ ἡμεῖς ἐζωοποιήθημεν. Διὸ ἀνυμνοῦντες βοῶμεν, εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ οὕτως εὐδοκήσας δόξα σοι.

## ΔΟΞΑ ΕΩΘΙΝΗ Β'.

ἦχ. β'.

Μετὰ μύρων προσελθούσαις ταῖς περὶ τὴν Μαριὰμ γυναιξὶ, καὶ διαπορουμέναις, πῶς ἔσται αὐταῖς τυχεῖν τοῦ ἐφετοῦ, ὡράθη ὁ λίθος μετηρμένος, καὶ θεῖος νεανίσκος καταστέλλων τὸν θόρυβον αὐτῶν τῆς ψυχῆς. Ἠγέρθη γὰρ φησὶν Ἰησοῦς ὁ κύριος, διὸ κηρύξατε τοῖς κήρυξιν αὐτοῦ μαθηταῖς, εἰς τὴν Γαλιλαίαν δραμεῖν,

καὶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου -
Μουσείο Τυπάλδων Ιακωβάτων

καὶ ὄψεσθαι αὐτὸν ἀναστάντα ἐκ νεκρῶν, ὡς ζωοδότην καὶ κύριον.

Θεοτοκίον. Ὑπερευλογημένη ὑπάρχεις.

## ΔΟΞΑ ΕΩΘΙΝΗ Γ'.

ἦχ. γ'.

ΤΗς Μαγδαληνῆς Μαρίας, τὴν τοῦ σωτῆρος εὐαγγελιζομένης ἐκ νεκρῶν ἀνάστασιν καὶ ἐμφάνειαν. διαπιστοῦντες οἱ μαθηταὶ, ὠνειδίζοντο τὸ τῆς καρδίας σκλήρυμα. Ἀλλὰ τοῖς σημείοις καθοπλισθέντες καὶ θαύματι πρὸς τὸ κήρυγμα ἀπεστέλλοντο. Καὶ σὺ μὲν κύριε πρὸς τὸν ἀρχίφωτον ἀνελήφθης πατέρα, οἱ δὲ ἐκήρυττον πανταχοῦ τὸν λόγον τοῖς θαύμασι πιστούμενοι. Διὸ οἱ φωτισθέντες δι' αὐτῶν, δοξάζομέν σου τὴν ἐκ νεκρῶν ἀνάστασιν φιλάνθρωπε κύριε.

Θεοτοκίον. Ὑπερευλογημένη ὑπάρχεις.

## ΔΟΞΑ ΕΩΘΙΝΗ Δ'.

ἦχ. δ'.

ΟΡθρος ἦν βαθὺς, καὶ αἱ γυναῖκες ἦλθον ἐπὶ τὸ μνῆμά σου Χριστὲ, ἀλλὰ τὸ σῶμα οὐχ εὑρέθη, τὸ ποθούμενον αὐταῖς. διὸ ἀπορουμέναις οἱ ταῖς ἀστραπτούσαις ἐσθήσεσιν ἐπιστάντες, τί τὸν ζῶντα μετὰ τῶν νεκρῶν ζητεῖτε; ἔλεγον, ἠγέρθη ὡς προεῖπε, τί ἀμνημονεῖτε τῶν ῥημάτων αὐτοῦ; Οἷς πεισθεῖσαι, τὰ ὁραθέντα ἐκήρυττον, ἀλλ' ἐδόκει λῆρος τὰ εὐαγγέλια, οὕτως ἦσαν ἔτι νωθεῖς οἱ μαθηταί. Ἀλλ' ὁ Πέτρος ἔδραμε, καὶ ἰδὼν ἐδόξασέ σου πρὸς ἑαυτὸν τὰ θαυμάσια.

Θεο-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Θεοτοκίον. Ὑπερευλογημένη ὑπάρχεις.

## ΔΟΞΑ ΕΩΘΙΝΗ Ε΄.

Ἦχ. πλ. α΄.

Ὢ τῶν σοφῶν σου κριμάτων Χριστέ, πῶς Πέτρῳ μὲν τοῖς ὀθονίοις, ἔδωκας ἐννοῆσαι σου τὴν ἀνάστασιν; Λουκᾷ δὲ καὶ Κλεόπᾳ συμπορευόμενος ὡμίλεις. Καὶ ὁμιλῶν, οὐκ εὐθέως ἑαυτὸν φανεροῖς. διὸ ὀνειδίζῃ, ὡς μόνος παροικῶν Ἱερουσαλήμ, καὶ μὴ μετέχων τῶν ἐν τέλει βουλευμάτων αὐτοῖς. Ἀλλ' ὁ πάντα πρὸς τὸ τοῦ πλάσματος συμφέρον οἰκονομῶν, καὶ τὰς περὶ σοῦ προφητείας ἀνέπτυξας, καὶ ἐν τῷ εὐλογεῖν τὸν ἄρτον ἐγνώσθης αὐτοῖς. ὧν καὶ πρὸ τούτου αἱ καρδίαι, πρὸς γνῶσίν σου ἀνεφλέγοντο, οἳ καὶ τοῖς μαθηταῖς συνηθροισμένοις ἤδη τρανῶς ἐκήρυττόν σου τὴν ἀνάστασιν, δι' ἧς ἐλέησον ἡμᾶς.

Θεοτοκίον. Ὑπερευλογημένη ὑπάρχεις.

## ΔΟΞΑ ΕΩΘΙΝΗ ϛ΄.

Ἦχ. πλ. β΄.

Ἡ ὄντως εἰρήνη σὺ Χριστὲ πρὸς ἀνθρώπους Θεοῦ, εἰρήνην τὴν σὴν διδούς, μετὰ τὴν ἔγερσιν μαθηταῖς, ἐμφόβους ἔδειξας αὐτούς, δόξαντας πνεῦμα ὁρᾶν. Ἀλλὰ κατέστειλας τὸν τάραχον αὐτῶν τῆς ψυχῆς, δείξας τὰς χεῖρας καὶ τοὺς πόδας σου. Πλὴν ἀπιστούντων ἔτι τῇ τῆς τροφῆς μεταλήψει, καὶ διδαχῶν ἀναμνήσει, διήνοιξας αὐτῶν τὸν νοῦν τοῦ συνιέναι τὰς γραφάς, οἷς καὶ τὴν πατρικὴν ἐπαγγελίαν καθυποσχόμενος,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

μένος, καὶ εὐλογήσας αὐτοὺς διέστη πρὸς οὐρανόν. Διὸ σὺν αὐτοῖς προσκυνοῦμενοι, κύριε δόξα σοι.

Θεοτοκίον. Ὑπερευλογημένη ὑπάρχεις.

ΔΟΞΑ ΕΩΘΙΝΗ Ζ'.

Ἦχος βαρύς.

Ἰδοὺ σκοτία καὶ πρωΐ, καὶ τί πρὸς τὸ μνημεῖον Μαρία ἕστηκας; πολὺ σκότον ἔχουσα ταῖς φρεσίν. Ὑφ' οὗ ποῦ τέθειται ζητεῖς ὁ Ἰησοῦς, ἀλλ' ὁρᾷς τοὺς συντρέχοντας μαθητάς. Πῶς τοῖς ὀθονίοις, καὶ τῷ σουδαρίῳ τὴν ἀνάστασιν ἐτεκμήραντο; καὶ ἀνεμνήσθησαν τῆς περὶ τούτου γραφῆς. Μεθ' ὧν, δι' ὧν, καὶ ἡμεῖς πιστεύσαντες ἀνυμνοῦμέν σε τὸν ζωοδότην Χριστόν.

Θεοτοκίον. Ὑπερευλογημένη ὑπάρχεις.

ΔΟΞΑ ΕΩΘΙΝΗ Η'.

Ἦχος πλ. δ'.

Τὰ τῆς Μαρίας δάκρυα, οὐ μάτην χεῖται θερμῶς, ἰδοὺ γὰρ κατηξίωται καὶ διδαχῶν τῶν ἀγγέλων, καὶ τῆς ὄψεως τῆς σῆς ὦ Ἰησοῦ. Ἀλλ' ἔτι πρόσγεια φρονεῖ, οἷα γυνὴ ἀσθενής. Διὸ καὶ ἀποπέμπεται, μὴ προσψαῦσαι σοι Χριστέ, ἀλλ' ὅμως κήρυξ πέμπεται τοῖς σοῖς μαθηταῖς. οἷς εὐαγγέλια φέρουσα, τὴν πρὸς τὸν πατρῷον κλῆρον ἄνοδον ἐπαγγέλλει σου. Μεθ' ἧς ἀξίωσον, καὶ ἡμᾶς τῆς ἐμφανείας σου δέσποτα κύριε.

Θεοτοκίον. Ὑπερευλογημένη ὑπάρχεις.

ΔΟ-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

## ΔΟΞΑ ΕΩΘΙΝΗ Θ'.

ἦχ. α'.

ΩΣ ἐπ' ἐσχάτων τῶν χρόνων, οὕτως ὀψίας σαββάτων ἐφίστασαι τοῖς φίλοις Χριστὲ, καὶ θαύματι θαῦμα βεβαιοῖς, τῇ κεκλεισμένῃ εἰσόδῳ τῶν θυρῶν τὴν ἐκ νεκρῶν σου ἀνάστασιν. Ἀλλ' ἔπλησας χαρᾶς τοὺς μαθητὰς, καὶ Πνεύματος ἁγίου μετέδωκας αὐτοῖς, καὶ ἐξουσίαν ἔνειμας ἀφέσεως ἁμαρτιῶν. Καὶ τὸν Θωμᾶν οὐ κατέλιπες, τῷ τῆς ἀπιστίας καταβαπτίζεσθαι κλύδωνι, διὸ παράσχου καὶ ἡμῖν γνῶσιν ἀληθῆ, καὶ ἄφεσιν πταισμάτων εὔσπλαγχνε κύριε.

Θεοτοκίον. Υ περευλογημένη ὑπάρχεις.

## ΔΟΞΑ ΕΩΘΙΝΗ Ι'.

ἦχ. β'.

ΜΕτὰ τὴν εἰς ᾅδου κάθοδον, καὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν, ἀθυμοῦντες, ὡς εἰκὸς, ἐπὶ τῷ χωρισμῷ σου Χριστὲ οἱ μαθηταὶ, πρὸς ἐργασίαν ἐτράπησαν, καὶ πάλιν πλοῖα καὶ δίκτυα, καὶ ἄγρα οὐδαμοῦ. Ἀλλὰ σὺ σῶτερ ἐμφανισθεὶς, ὡς δεσπότης πάντων, δεξιοῖς τὰ δίκτυα κελεύεις βαλεῖν, καὶ ἦν ὁ λόγος ἔργον εὐθὺς, καὶ πλῆθος τῶν ἰχθύων πολὺ, καὶ δεῖπνον ξένον ἕτοιμον ἐν γῇ. οὗ μετασχόντων τότε σου τῶν μαθητῶν, καὶ ἡμᾶς νῦν νοητῶς, καταξίωσον ἐντρυφῆσαι φιλάνθρωπε κύριε.

Θεοτοκίον. Υ περευλογημένη ὑπάρχεις.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

## ΔΟΞΑ ΕΩΘΙΝΗ ΙΑ'.

ἦχ. δ'.

Φανερῶν ἑαυτὸν τοῖς μαθηταῖς ὁ σωτὴρ μετὰ τὴν ἀνάστασιν, Σίμωνι δέδωκε τὴν τῶν προβάτων νομὴν, εἰς ἀγάπης ἀντέκτησιν, τὴν τοῦ ποιμαίνειν φροντίδα αἰτῶν. διὸ καὶ ἔλεγεν, εἰ φιλεῖς με Πέτρε; ποίμαινε τὰ ἀρνία μου, ποίμαινε τὰ πρόβατά μου. ὁ δὲ εὐθέως ἐνδεικνύμενος τὸ φιλόστοργον, περὶ τοῦ ἄλλου μαθητοῦ ἐπυνθάνετο. ὧν ταῖς πρεσβείαις Χριστὲ, τὴν ποίμνην σου διαφύλαττε ἐκ λύκων λυμαινομένων αὐτήν.

Θεοτοκίον. Ὑπερευλογημένη ὑπάρχεις.

Δόξαι μὴ εὑρισκόμεναι ἐν τοῖς τετυπωμένοις τῶν Μηνολογίων, κατὰ τὴν τάξιν τοῦ ἡμετέρου Τυπικοῦ τῆς Κρυπτοφέῤῥης, λεγόμεναι ἐν ταῖς ἑορτ. τῶν ἁγ.

Τῇ κθ'. τοῦ Σεπτεμβρίου μηνὸς, δόξα ἦχ. α'.

Ὁ Ταξιάρχης τῶν ἄνω δυνάμεων, Μιχαὴλ προστάτης τῶν θείων ταγμάτων, σήμερον ἡμᾶς πρὸς πανήγυριν συνεκάλεσεν, ὁ καθεκάστην μεθ' ἡμῶν πορευόμενος, καὶ φυλάττων τοὺς πάντας ἐκ πάσης τοῦ διαβόλου περιστάσεως. δεῦτε οὖν φιλέορτοι, καὶ φιλόχριστοι, τὰ ἄνθη τῶν ἀρετῶν δρεψάμενοι, καθαραῖς ἐννοίαις καὶ συνειδότι εὐσταθμῷ τοῦ ἀρχαγγέλου τὴν Σύναξιν ἐκτιμήσωμεν. αὐτὸς γὰρ ἀδιαλείπτως τῷ Θεῷ παριστάμενος, καὶ τρισάγιον ὕμνον ἀναμέλπων, πρεσβεύει σωθῆναι τὰς ψυχὰς ἡμῶν.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Θεοτόκιον αὐτόμελον.

Τῶν οὐρανίων ταγμάτων τὸ ἀγαλλίαμα, τῶν ἐπὶ γῆς ἀνθρώπων κραταιὰ προστασία, ἄχραντε παρθένε σῶσον ἡμᾶς, τοὺς εἰς σὲ καταφεύγοντας, ὅτι ἐν σοὶ τὰς ἐλπίδας μετὰ Θεὸν, θεοτόκε ἀνεθέμεθα.

Τῇ ζ΄. τοῦ αὐτοῦ μην. δόξα καὶ νῦν. ἦχ. β΄.

Τίς ὁ ἦχος τῶν ἑορταζόντων γίνεται; Ἰωακεὶμ, καὶ Ἄννα πανηγυρίζει μυστικῶς. Συγχάρητέ μοι λέγοντες Ἀδὰμ καὶ Εὔα σήμερον, οἱ πάλαι παραβάσει κλείσαντες παράδεισον. ὅτι καρπὸς εὐκλεέστατος ἡμῖν ἐδόθη ἡ θεόπαις Μαρία, ἀνοίγουσα πᾶσι τούτου τὴν εἴσοδον.

Τῇ α΄. τοῦ Νοεμβρίου Μηνὸς, δόξα καὶ νῦν ἦχ. α΄. τῶν ἁγίων πάντων.

Δεῦτε πάντες οἱ πιστοὶ, τῶν ἁγίων τὴν πανέορτον μνήμην, ἐν ψαλμοῖς, καὶ ὕμνοις, καὶ ᾠδαῖς πνευματικαῖς εὐφημήσωμεν. τὸν βαπτιστὴν τοῦ σωτῆρος, ἀποστόλους, προφήτας, καὶ μάρτυρας, Ἱεράρχας, διδασκάλους τε, καὶ ὁσίους ἀσκητὰς, καὶ δικαίους. καὶ τῶν ἁγίων Γυναικῶν τὸ φιλόθεον σύστημα, σεβασμίως μακαρίζοντες, συμφώνως ἐκβοήσωμεν. ὑπεράγαθε Χριστὲ ὁ Θεὸς ἡμῶν, ταῖς αὐτῶν πρεσβείαις παράσχου εἰρήνην ταῖς ἐκκλησίαις σου, νίκας κατ᾽ ἐχθρῶν τῷ φιλοχρίστῳ βασιλεῖ, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Τῇ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Τῇ γ'. τοῦ αὐτοῦ μηνὸς, δόξα ἦχ. β'.

ΥΠὲρ τῆς εὐσεβείας ἅγιοι σεῤῥᾶς ἀγωνισάμενοι, τὰ θεράση τῶν τυράννων κατῃσχύνατε, τῶν εἰδώλων τὸ ὕψος εἰς χάος ἐβυθίσατε, Ἀκεψιμᾶ, Ἀειθαλᾶ, καὶ Ἰωσὴφ. καὶ νῦν ἐν οὐρανοῖς στεφανηφόροι χορεύοντες, πρεσβεύσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Θεοτοκίον.

ΧΑῖρε Μαρία θεοτόκε, ὁ ναὸς ὁ ἀκατάλυτος, μᾶλλον δ' ὁ ἅγιος, καθὼς βοᾷ ὁ προφήτης, ἅγιος ὁ ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ.

Τῇ θ'. τοῦ αὐτοῦ μηνὸς, δόξα καὶ νῦν ἦχ. πλα. β'.

ΣΥγχάρητε ἡμῖν ἅπασαι αἱ τῶν ἀγγέλων ταξιαρχίαι. ὁ προστάτης γὰρ ὑμῶν, καὶ ἡμέτερος προστάτης, ὁ μέγας ἀρχιστράτηγος τὴν σήμερον ἡμέραν, ἐν τῷ σεπτῷ αὐτοῦ τεμένει παραδόξως ἐποπτανόμενος ἁγιάζει. ὅθεν καταξίως ἀνυμνοῦντες αὐτὸν βοήσωμεν, σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου, μέγιστε Μιχαὴλ ἀρχάγγελε.

Τῇ ι'. τοῦ αὐτοῦ, Δόξα ἦχ. β'.

ΔΕῦτε πιστοὶ τιμήσωμεν τὸν ἀθλοφόρον τοῦ Χριστοῦ Μηνᾶν τὸν ἔνδοξον, τὸν γενναῖον στρατιώτην, τὸν καλῶς ἀγωνισάμενον ὑπὲρ τῆς εὐσεβείας, βασιλέοντε, καὶ τυράννων τὸ κράτος ἀποβαλλόμενον. διὸ παῤῥησίαν ἔχων πρὸς Θεὸν, ἀκαταπαύστως πρεσβεύει σωθῆναι τὰς ψυχὰς ἡμῶν.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Θεοτοκίον.

ΚΥβερνήτης γενοῦ μοι παναμώμε, τοῦ τῶν πειρασμῶν με κυφίζουσα κλύδωνος, καὶ πρὸς λιμένα εὔδιον προσταγμάτων Θεοῦ ἐμβιβάζουσα.

Τῇ ς΄. τοῦ Δεκεμβρίου μηνὸς εἰς τὴν ἑορτὴν τοῦ ἁγίου Νικολάου, Δόξα ἦχ. πλα. δ΄.

ΤΩν ἀνδραγαθημάτων σου ὅσιε πάτερ, ὁ καρπὸς ἐφαίδρυνε τῶν πιστῶν τὰς καρδίας. τίς γὰρ ἀκούων τὴν ἄμετρόν σου ταπείνωσιν, τὴν ὑπομονὴν οὐκ ἐθαύμασε; τὴν πρὸς τοὺς πένητας ἱλαρότητα, καὶ θλιβομένων τὸ συμπαθὲς, πάντας θεοπρεπῶς ἐδίδαξας, Ἱεράρχα Νικόλαε. καὶ νῦν τὸν ἀμαράντινον ἀναδυσάμενος στέφανον, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Θεοτοκίον.

ΔΕ΄σποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ἀνάγκης, καὶ θλίψεως.

Τῇ κα΄. τοῦ Ἰουνίου μηνὸς, τοῦ ἁγίου μάρτυρος Ἰουλιανοῦ, Δόξα ἦχ. β΄.

ΤΗ῀ς ἀμωμήτου πίστεως τὸ ἀκένωτον πόμα ἀρρυσάμενος παμμακάριστε, εἰδωλικὴν λατρείαν κατέσβεσας. καὶ νικητικῶς ὡς διανοίσας τὸν ἀγῶνα, ἱδρῶτι κατελαμπρύνθης, ὡς ἄδυτος ἀστὴρ αὐγαζόμενος ἐκ τοῦ ἀνεφάνους ἡλίου Χριστοῦ. καὶ κατὰ πόλιν ἀκτῖνας τοῦ μαρτυρίου ἐκπέμπων, τέλος διὰ θαλάσσης μακάριον ἀπείληφας, καὶ στεφανίτης προσπαρα-

σώπου

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου -
Μουσείο Τυπάλδων Ιακωβάτων

σώπυ Χριςῦ προέφθασας. ὃν ἱκέτευε Ἰουλιανὲ πανοίδιμε, σωθῆναι τοὺς ἐν πίςει τὴν μνήμην σου τελοῦντας. Θεοτοκίον.

Ὤ Σεὶ ἐλαία κατάκαρπος, ἡ παρθένος ἐβλάςησε σε τὸν καρπὸν τῆς ζωῆς, καρποφορεῖ τῷ κόσμῳ τὸ πλούσιον ἔλεός σου κύριε.

Ἐν τῇ κέ. τοῦ Ἰουλίου, τῆς ὁσίας Εὐπραξίας,

Δόξα ἦχ. β'.

Τὸν ὄντως ἔρωτα, νυμφευσαμένη Χριςὸν ἀοίδιμε Εὐπραξία, τοῦ ἐπικαίρου μνηςῆρος ἠρνήσω τὴν συνάφειαν, καὶ ταῖς ἐπαρεταῖς, ἀγωνίσμασιν αὐξομένη, εἰς ὕψος ἀνέδραμες τελειότητος, ὦ ῥεόψυχε πολύαθλε, ἄγαλμα μοναζουσῶν, ὡς ἀληθῶς καὶ κανών. διὸ ὑπὲρ ἡμῶν μὴ παύσῃ δυσωπεῖν, τῶν ἐκ πόθου σου τὴν μνήμην ἑορταζόντων. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι, μήτηρ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Τῇ κέ. τοῦ Αὐγούςου μηνὸς, τοῦ ἁγ. ἀποςόλ. Βαρθολομ.

Δόξα ἦχ. β'.

Δεῦτε συμφώνως ἅπαντες χορείαν συγκροτήσωμεν ἐν τῇ μνήμῃ τοῦ ἀποςόλου Βαρθολομαίου. αὐτὸς γὰρ σήμερον ἡμᾶς παρεκάλεσεν πρὸς εὐφημίαν, καὶ δόξαν, σοῦ τοῦ Θεοῦ ἡμῶν, τοῦ παρέχοντος ἡμῖν τὸ μέγα ἔλεος.

Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι μήτηρ.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

## ΔΟΞΑΙ ΤΗΣ ΕΒΔΟΜΑΔΟΣ

Τῇ β΄. περὶ τῶν ἀσωμάτων

Δόξα.

Οἱ ἄγγελοί σου Χριστὲ τῷ θρόνῳ τῆς μεγαλωσύνης ἐν φόβῳ παρεστῶτες, καὶ τῇ σῇ φωτοχυσίᾳ ἀεὶ λαμπόμενοι, ἐν τοῖς ὑψίστοις ὑμνῳδοί σου, καὶ τῆς βουλῆς σου λειτουργοὶ, ὑπὸ σοῦ ἐκπεμπόμενοι, νέμουσι φωτισμὸν ταῖς ψυχαῖς ἡμῶν. Θεοτοκίον.

Ἀρχαγγελικῶς ἀνυμνήσωμεν πιστοὶ, τὴν οὐράνιον παστάδα, καὶ πύλην ἐσφραγισμένην ἀληθῶς. χαῖρε δι᾽ ἧς ἀνεβλάστησεν ἡμῖν, ὁ δεσπότης τῶν ἁπάντων, Χριστὸς ὁ ζωοδότης καὶ Θεός. κατάβαλε δέσποινα τοὺς τυράννους ἀθέους ἐχθροὺς ἡμῶν, τῇ χειρί σου ἄχραντε, ἡ ἐλπὶς χριστιανῶν.

Τῇ γ΄. περὶ τοῦ Προδρόμου, Δόξα ἦχ. πλα. β΄.

Ἡ Ἐλισάβετ συνέλαβε τὸν Πρόδρομον, τῆς χάριτος, ἡ δὲ παρθένος τὸν κύριον τῆς δόξης. ἠσπάσαντο ἀλλήλαις αἱ μητέρες, καὶ τὸ βρέφος ἐσκίρτησεν, ἔνδοθεν γὰρ ὁ δοῦλος αἴνει τὸν δεσπότην. θαυμάσασα ἡ μήτηρ τοῦ Προδρόμου, ἤρξατο βοᾶν, πόθεν μοι τοῦτο ἵνα ἡ μήτηρ τοῦ κυρίου μου ἔλθῃ πρός με; ἵνα σώσῃ λαὸν ἀπεγνωσμένον, ὁ ἔχων τὸ μέγα ἔλεος.

Θεοτοκίον.

Θεοτόκε σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινὴ, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς, σὲ ἱκετεύομεν, πρέσβευε

δέσποι-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

δέσποινα μετὰ τοῦ σοῦ Προδρόμου, καὶ πάντων τῶν ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Τῇ δ'. ἑσπέρᾳ, τοῦ σταυροῦ, Δόξα καὶ νῦν ἦχ. πλ. β'.

Ὁ Τετραπέρατος κόσμος σήμερον ἁγιάζεται, τοῦ τετραμεροῦς ὑψουμένου σου σταυροῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ κέρας τῶν πιστῶν συνυψοῦται βασιλέων ἡμῶν, ἐν αὐτῷ τῶν δυσμενῶν συντριβέντων τὰ κέρατα. μέγας εἶ κύριε, καὶ θαυμαστὸς ἐν τοῖς ἔργοις σου, δόξα σοι. Τῇ ε'. ἑσπέρᾳ Δόξα ἦχ. δ'.

Δεῦτε ἀνυμνήσωμεν τοὺς γενναίους ἀποστόλους, τοὺς γενομένους αὐτόπτας τοῦ λόγου. χαίρετε πανεύφημοι τῆς ἐκκλησίας φωστῆρες, ἀγγέλων, καὶ δικαίων, καὶ πιστῶν ἀγαλλίαμα, τὴν πλάνην τῶν εἰδώλων καταργήσατε, Χριστὸν τὸν σωτῆρα κηρύξαντες. πάντες σὺν αὐτοῖς κραυγάζομεν, ἀκατάληπτε κύριε δόξα σοι.

Θεοτοκίον.

Ἔχοντές σε θεοτόκε ἐλπίδα, καὶ προστασίαν ἐχθρῶν, ἐπιβουλὰς οὐ πτοούμεθα, ὅτι σώζεις τὰς ψυχὰς ἡμῶν.

Τῇ ς'. ἑσπέρᾳ Δόξα καὶ νῦν ἦχ. πλα. β'.

Σήμερον ξύλον ἐφανερώθη, σήμερον γένος ἑβραίων ἀπώλετο. σήμερον διὰ πιστῶν βασιλέων ἡ πίστις φανεροῦται, καὶ ὁ Ἀδὰμ διὰ τοῦ ξύλου ἐξέπεσε. καὶ πάλιν διὰ ξύλου δαίμονες ἔφριξαν, παντοδύναμε κύριε δόξα σοι.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Τῷ Σαββάτῳ περὶ δόξα ἦχ. πλα. δ΄.

Α'Νάπαυσον σωτὴρ ἡμῶν τὰς ψυχὰς ἃς μετέστησας, ἐκ τῶν προσκαίρων, διδοὺς αὐταῖς τὴν ἄφεσιν, ὧνπερ ἔπραξαν ἐν τῷ βίῳ. ἐν σοὶ γὰρ τὴν ἐλπίδα ἀνέθεντο τῷ ποιητῇ καὶ πλάστῃ Θεῷ. Θεοτοκίον.

ΠΑρθένε ἀπειρόγαμε ἡ τεκοῦσα τὸν κύριον, εὐλογημένη τοὺς δούλους σου ῥῦσαι ἀπὸ πάσης περιστάσεως Εἰς σὲ γὰρ θεοτόκε ἐλπίζομεν, τὴν ὑψηλοτέραν τῶν χερουβίμ.

Μετὰ δὲ ταῦτα ᾄδεται.

## ΥΜΝΟΣ ΑΓΓΕΛΙΚΟΣ

ΔΟ'ξα ἐν ὑψίστοις Θεῷ* καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκία.

Υ' μνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι* διὰ τὴν μεγάλην σου δόξαν.

Κ ύριε βασιλεῦ ἐπουράνιε Θεὲ * πάτερ παντοκράτορ.

Κ ύριε υἱὲ μονογενὲς Ἰησοῦ Χριστὲ* καὶ ἅγιον πνεῦμα.

Κ ύριε ὁ Θεὸς ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρὸς *. ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου ἐλέησον ἡμᾶς.

Ο' αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου, πρόσδεξαι τὴν δέησιν ἡμῶν* ὁ καθήμενος ἐκ δεξιῶν τοῦ Πατρὸς, καὶ ἐλέησον ἡμᾶς.

Ο' τι σὺ εἶ μόνος ἅγιος, σὺ εἶ μόνος κύριος * σὺ εἶ μόνος ὕψιστος Ἰησοῦς Χριστὸς, εἰς δόξαν Θεοῦ πατρὸς ἀμήν.

Καθ'

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε* καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον κύριε ἐν τῇ ἡμέρᾳ ταύτῃ* ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν* καὶ αἰνετὸν, καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας ἀμήν.

Γένοιτο κύριε τὸ ἔλεός σου ἐφ' ἡμᾶς* καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ κύριε* δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ δέσποτα* συνέτισόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ ἅγιε φώτισόν με* τοῖς δικαιώμασί σου.

Κύριε καταφυγὴ ἐγενήθης ἡμῖν* ἐν γενεᾷ καὶ γενεᾷ.

Ἐγὼ εἶπα κύριε ἐλέησόν με,* ἴασαι τὴν ψυχήν μου ὅτι ἥμαρτόν σοι.

Κύριε πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου* ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς* ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεὸς, ἅγιος ἰσχυρὸς, ἅγιος ἀθάνατος ἐλέησον ἡμᾶς.

ἐκ γ'.

Δόξα Πατρί. καὶ νῦν. ἅγιος ἀθάνατος ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεὸς ἅγιος ἰσχυρὸς, ἅγιος ἀθάν. ἐλ.

Ὁποῖα

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὁποῖα ψάλλονται μόνον, εἰ ἔστι κυριακὴ, ἢ ὁμοία ἑορτὴ, ἐν ᾗ λέγεται τὸ εὐαγγ. καὶ μετὰ ταῦτα ὁ Ἱερεὺς λέγει.

ΟΤι σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δύναμις, καὶ ἡ δόξα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ ἀμέσως λέγονται τὰ ἀπολυτ.

Ἐν δὲ δὲ Κυριακαῖς λέγονται ταῦτα τὰ τροπάρια ὑπὸ τοῦ διακονικοῦ.

Τὸ α'. τροπάριον λεγόμενον ἐν τοῖς ἤχοις. α'. γ'. πλα. α'. καὶ βαρεῖ.

ΣΗμερον σωτηρία τῷ κόσμῳ γέγονεν. ᾄσωμεν τῷ ἀναστάντι ἐκ τάφου, καὶ ἀρχηγῷ τῆς ζωῆς Χριστῷ τῷ Θεῷ ἡμῶν. καθελὼν γὰρ τῷ θανάτῳ τὸν θάνατον, τὸ νῖκος ἔδωκεν ἡμῖν καὶ τὸ μέγα ἔλεος.

Τὸ β'. τροπάριον λεγόμενον ἐν τοῖς ἤχ. β. δ'. πλ. β'. καὶ πλα δ'.

ΑΝαστὰς ἐκ τοῦ μνήματος, καὶ τὰ δεσμὰ διαῤῥήξας τοῦ ᾅδου, ἔλυσας τὸ κατάκριμα τοῦ θανάτου κύριε. πάντας γὰρ ἐκ τῶν παγίδων τοῦ ἐχθροῦ ῥυσάμενος, ἐμφανίσας ἑαυτὸν τοῖς ἀποστόλοις σου, ἐξαπέστειλας αὐτοὺς ἐπὶ τὸ κήρυγμα, καὶ δι' αὐτῶν τὴν εἰρήνην σου παρέσχες τῇ οἰκουμένῃ μόνε πολυέλεε.

Ἐν δὲ τῇ μεγάλῃ Τεσσαρακοστῇ, χωρὶς τῶν Κυριακῶν καὶ τῶν σαββάτων τῆς ἑβδομάδος μετὰ τὸ Πᾶσα πνοὴ,



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Τὸ Δόξα Πατρὶ καὶ Υἱῷ, καὶ ἁγίῳ Πνεύματι καὶ νῦν.

Καὶ λέγει ὁ Ἱερεύς.

Σοὶ δόξα πρέπει κύριε ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Δόξα ἐν ὑψίστοις Θεῷ, ὡς ἄνω φιλ. 104.

Ἔπειτα ἰδιόμ. δευτερούμενον, καὶ μαρτ. τῆς μ΄.

ἀμέσως στίχ.

Ἐνεπλήσθημεν τὸ πρωῒ τοῦ ἐλέους σου κύριε, καὶ ἠγαλλιασάμεθα, καὶ εὐφράνθημεν, ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν εὐφρανθείημεν, ἀνθ' ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς, ἐτῶν ὧν εἴδομεν κακά, καὶ ἴδε ἐπὶ τοὺς δούλους σου, καὶ ἐπὶ τὰ ἔργα σου, καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν.

ἄλλ. στίχ.

Καὶ ἔστω ἡ λαμπρότης κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς, καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ' ἡμᾶς, καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον.

Τὸ μαρτυρ. καὶ Θεοτοκίον, καὶ εὐθὺς τό.

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου ὕψιστε.

Τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα.

Ἅγιος ὁ Θεὸς, ἅγιος ἰσχυρὸς, ἅγιος ἀθάνατος ἐλέησον ἡμᾶς. ἐκ γ΄.

Δόξα

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Δόξα Πατρὶ καὶ Υἱῷ, καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριὰς ἐλέησον ἡμᾶς, κύριε ἱλάσθητι ταῖς ἀνομίαις ἡμῶν. δέσποτα συγχώρησον τὰς ἁμαρτίας ἡμῶν, ἅγιε κύριε ἐπίσκεψαι. Καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τῆς δόξης τοῦ ὀνόματός σου, κύριε ἐλέησον, κύριε ἐλέησον. Τὸ

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς ἁγιασθήτω τὸ ὄνομά σου ἐλθέτω ἡ βασιλεία σου, γεννηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν. ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Λέγει ὁ Ἱερεύς.

Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας. Ὁ χορὸς. Ἀμήν.

Καὶ κατὰ τὴν ἡμέραν ἀπολυτίκ.

Ἔπειτα λέγει ὁ Ἱερεύς τὴν Ἐκτενὴν μεγάλην...

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς, καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν. Κύριε ἐλέησον.

Κύριε παντοκράτορ ὁ Θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον, καὶ ἐλέησον. Κύριε ἐλ.

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον, καὶ ἐλέησον. Κύριε ἐλέησον.

Ἔτι

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβεστάτων, καὶ θεοφυλάκτων βασιλέων ἡμῶν, κράτους, νίκης, διαμονῆς, εἰρήνης, ὑγίας, σωτηρίας αὐτῶν, καὶ τοῦ κύριον τὸν Θεὸν ἡμῶν ἐπιπλέον συνεργῆσαι, κατευοδῶσαι αὐτοὺς ἐν πᾶσι, καὶ ὑποτάξαι, ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν, καὶ πολέμιον.

ὁ χορ. Κύριε ἐλέησον.

Ὅτι ἐλεήμων, καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοι τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι νῦν.

ὁ χορὸς Ἀμήν.

Ἔπειτα τὰς αἰτήσεις.

Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν ἡμῶν τῷ κυρίῳ.

Κύριε ἐλέησ.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

ὁ χορ. Κύριε ἐλέησον.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν, καὶ ἀναμάρτητον, παρὰ τοῦ κυρίου αἰτησώμεθα.

Παράσχου κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν, ὁδηγὸν, φύλακα τῶν ψυχῶν, καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ κυρίου αἰτησώμεθα.

Παράσχου κύριε.

Συγγνώμην, καὶ ἄφεσιν τῶν ἁμαρτιῶν, καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ κυρίου αἰτησώμεθα.

Παράσχ.

Τὰ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Τὰ καλὰ καὶ συμφέροντα, ταῖς ψυχαῖς ἡμῶν, καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ κυρίου αἰτησώμεθα. Παράσχ.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ, καὶ μετανοίᾳ ἐκτελέσαι ἡμᾶς, παρὰ τοῦ κυρίου αἰτησώμεθα. Παράσχου κύριε.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικὰ, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος, παρὰ τοῦ κυρίου αἰτησώμεθα. Παράσχου κύριε.

Τῆς παναγίας ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου δεσποίνης ἡμῶν θεοτόκου, καὶ ἀεὶ παρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα. Σοὶ κύριε.

Ὅτι Θεὸς ἐλέους οἰκτιρμῶν, καὶ φιλανθρωπίας Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

Εἰρήνη πᾶσι. Καὶ τῷ Πνεύματί σου.

Τὰς κεφαλὰς ὑμῶν τῷ κυρίῳ κλίνατε. Σοὶ κύριε.

Καὶ λέγει τὴν εὐχὴν ταύτην.

Κύριε ἅγιε ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τῷ παντεφόρῳ σου ὄμματι ἐπιβλέπων ἐπὶ πᾶσαν τὴν κτίσιν σου, σοὶ ἐκκλίνομεν τὸν αὐχένα τῆς ψυχῆς, καὶ τοῦ σώματος, καὶ δεόμεθά σου, ἔκτεινον τὴν χεῖρα σου τὴν ἀόρατον ἐξ ἁγίου κατοικητηρίου σου, καὶ εὐλόγησον παν-



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

πάντας ἡμᾶς. Καὶ ἔτι ἡμάρτομεν ἑκουσίως, ἢ ἀκουσίως, ὡς ἀγαθὸς, καὶ φιλάνθρωπος Θεὸς συγχώρησον, δωρούμενος ἡμῖν, καὶ τὰ ὑπερκόσμια ἀγαθά σου. Σὸν γὰρ ἐστὶ τὸ ἐλεεῖν, καὶ σώζειν ἡμᾶς Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν. Σοφία. Πάτερ εὐλό. Ὁ ὢν εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

Ὁ κληρικός λέγει.

Ἐπουράνιε βασιλεῦ, τοὺς πιστοὺς βασιλεῖς ἡμῶν στερέωσον, τὴν πίστιν στήριξον, τὰ ἔθνη πράϋνον τὸν κόσμον εἰρήνευσον, τὴν ἁγίαν μονὴν ταύτην καλῶς διαφύλαξον. Τοὺς προαπελθόντας πατέρας, καὶ ἀδελφοὺς ἡμῶν ἐν σκηναῖς δικαίων τάξον. Καὶ ἡμᾶς ἐν ὀρθοδόξῳ πίστει, καὶ μετανοίᾳ περίλαβε, ὡς ἀγαθὸς, καὶ φιλάνθρωπος. Ἀμήν.

Ἔπειτα ὁ Ἱερεὺς λέγει.

Δόξα σοι Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἡ ἐλπὶς πάντων ἡμῶν δόξα σοι. ὁ χορὸς.

Δόξα Πατρὶ, καὶ Υἱῷ, καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν. κύριε ἐλέησον, κύριε εὐλόγησον.

Καὶ ὁ Ἱερεὺς λέγει τὴν τῆς ἀπολύσεως εὐχήν.

Ἐν τῷ σαββ. ἑσπέρ. καὶ τῇ κυριακῇ προστίθεται.

Ὁ ἀναστὰς ἐκ νεκρῶν, Χριστὸς ὁ ἀληθινὸς.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Καὶ τῇ γ'. ἑσπέρ. καὶ τῇ δ'. πρωΐ, καὶ τῇ ε'. ἑσπέρ. καὶ τῇ ς'. πρωΐ προστίθεται ἐν τῇ λιτῇ.

Δυνάμει τοῦ τιμίου, καὶ ζωοποιοῦ σταυροῦ.

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ μητρὸς δεσποίνης ἡμῶν θεοτόκου, καὶ ἀεὶ παρθένου Μαρίας, τῶν τιμίων ἀσωμάτων ἐπουρανίων δυνάμεων, τοῦ τιμίου Προφήτου Προδρόμου, καὶ βαπτιστοῦ Ἰωάννου, καὶ τῶν ἁγίων ἐνδόξων, καὶ πανευφήμων ἀποστόλων, τῶν ἐν ἁγίοις πατέρων ἡμῶν Βασιλείου τοῦ μεγάλου, Γρηγορίου τοῦ θεολόγου, Ἰωάννου τοῦ Χρυσοστόμου, καὶ τοῦ ἁγίου Ν. καὶ πάντων τῶν ἁγίων σώσῃ, ἐλεήσῃ, καὶ διαφυλάξῃ πάντας ἡμᾶς, ὡς ἀγαθὸς, καὶ φιλάνθρωπος. Ἀμήν.

Ἀπόλυσις λεγομένη τῇ ς'. ἑσπέρ. καὶ τῷ Σαββάτῳ εἰς τὸ πρωΐ ἐν τῇ λιτῇ.

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ μητρὸς ἐνδόξου δεσποίνης ἡμῶν θεοτόκου, καὶ ἀεὶ παρθένου Μαρίας, τῶν τιμίων ἀσωμάτων ἐπουρανίων δυνάμεων, τοῦ τιμίου προφήτου Προδρόμου, καὶ βαπτιστοῦ Ἰωάννου, καὶ τῶν ἁγίων ἐνδόξων, καὶ πανευφήμων ἀποστόλων, καὶ τῶν ἐν ἁγίοις πατέρων ἡμῶν Βασιλείου τοῦ μεγάλου, Γρηγορίου τοῦ θεολόγου, Ἰωάννου τοῦ Χρυσοστόμου, καὶ τῶν ἁγίων ἐνδόξων ἀποστόλων, ἀθλοφόρων, Ἱεραρχῶν, ὁσίων, καὶ δικαίων, καὶ τοῦ ἁγίου Ν(καὶ τελεῖται ὡς ἐπάνω.)

Αἱ ἀπολύσεις τῶν δεσποτικῶν ἑορτῶν.

Μην-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου -
Μουσείο Τυπάλδων Ιακωβάτων

Μην. Σεπτεμβρίου η΄. ἡ Γένν. τῆς Θεοτόκου.

Χ Ριςὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου δεσποίνης ἡμῶν θεοτόκου, καὶ ἀεὶ παρθένου Μαρίας, τῶν ἁγίων ἐνδόξων θεοπατόρων Ἰωακεὶμ, καὶ Ἄννης, καὶ πάντων τῶν ἁγίων, σώσῃ, ἐλεήσῃ, καὶ διαφυλάξῃ πάντ.

Σεπτ. ιδ΄. Ἡ παγκόσμιος Ὕψωσις τοῦ τιμίου Σταυροῦ.

Ὁ Ἐκ νεκρῶν ἀναςὰς, Χριςὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ μητρὸς, τῇ δυνάμει τοῦ τιμίου, καὶ ζωοποιοῦ σαυροῦ, τῶν ἁγίων ἐνδόξων, πανευφήμων ἀποςόλων, καὶ πάντων τῶν ἁγίων, σώσῃ, ἐλεήσῃ.

Νοεμβρίου η΄. Σύναξις τῶν ἁγ. Ἀγγέλων.

Χ Ριςὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ μητρὸς, τῶν ἁγίων ἐνδόξων ταξιαρχῶν Μιχαὴλ, καὶ Γαβριὴλ, καὶ πασῶν τῶν ἐπουρανίων δυνάμεων, καὶ πάντων τῶν ἁγίων.

Νοεμβρίου κα΄. ὡς ἐν τῇ η΄. τοῦ Σεπτεμβρίου.

Κυριακὴ τῶν ἁγίων προπατόρων.

Ὁ Ἀναςὰς ἐκ νεκρῶν, Χριςὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ μητρὸς, δεσποίνης ἡμῶν θεοτόκου, καὶ ἀεὶ παρθένου Μαρίας, καὶ τῶν ἁγίων ἐνδόξων προπατόρων Ἀβραὰμ, Ἰσαὰκ, καὶ Ἰακὼβ, καὶ πάντων τῶν ἁγίων σώσῃ, ἐλεήσῃ, καὶ διαφυλάξῃ πάντας ἡμᾶς ὡς ἀγαθὸς, καὶ φιλάνθρωπος.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Κυριακὴ πρὸ τῆς τοῦ Χριστοῦ Γεννήσεως.

Ὁ Ἀναστὰς ἐκ νεκρῶν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ μητρὸς δεσποίνης ἡμῶν θεοτόκου, καὶ ἀεὶ παρθένου Μαρίας, τῶν ἁγίων ἐνδόξων, καὶ πανευφήμων ἀποστόλων, καὶ τῶν ἁγίων τριῶν παίδων Ἀνανίου, Ἀζαρίου, Μισαὴλ, καὶ Δανιὴλ τοῦ προφήτου, καὶ πάντων τῶν ἁγίων, σώσῃ ἐλεήσῃ.

Μηνὶ τοῦ Δεκεμβρίου κέ. ἡ κατὰ σάρκα Γέννησις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ὁ Ἐν σπηλαίῳ τεχθεὶς, καὶ ἐν φάτνῃ ἀνακλιθεὶς διὰ τὴν ἡμετέραν σωτηρίαν. Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναγίας ἀχράντου δεσποίνης ἡμῶν θεοτόκου, καὶ ἀεὶ παρθένου Μαρίας, καὶ πάντων τῶν ἁγίων σώσῃ, ἐλε.

Κυριακὴ μετὰ τὴν τοῦ Χριστοῦ γέννησιν.

Ὁ Ἀναστὰς ἐκ νεκρῶν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ μητρὸς δεσποίνης ἡμῶν θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, τῶν ἁγίων ἐνδόξων, καὶ πανευφήμων Ἀποστόλων, τῶν ἁγίων καὶ δικαίων Δαβὶδ τοῦ προφήτου, καὶ Ἰωσὴφ τοῦ μνήστορος, καὶ Ἰακώβου τοῦ ἀδελφοθέου, καὶ πάντων τῶν ἁγίων, σώσῃ, ἐλεήσῃ.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Τῇ α'. Ἰανουαρίου, ἡ Περιτομὴ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ο Ἐν ὀκταημέρῳ κατὰ τὴν σάρκα ὑπὸ τῶν νόμων περιτμηθείς, Χριστὸς ὁ ἀληθινός.

Τῇ ς'. τοῦ αὐτοῦ, ἡ Βάπτισις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ο Ἐν Ἰορδάνῃ βαπτισθῆναι ὑπὸ Ἰωάννου καταδεξάμενος, Χριστὸς ὁ ἀληθινός.

Τῇ β'. Φεβ. ἡ Ὑπαπαντὴ τοῦ Κυρίου.

Ο Ἐπὶ τὸν θρόνον τοῦ πατρὸς συγκαθήμενος, καὶ ὑπὸ τοῦ δικαίου Συμεὼνος ἐν ἀγκάλαις αὐτοῦ βασταζόμενος, διὰ τὴν ἡμετέραν σωτηρίαν, Χριστὸς ὁ ἀληθιν.

Τῷ Σαββάτῳ τῆς ἀποκρέω, καὶ τῆς Πεντηκοστῆς.

Ο Ἀναστὰς ἐκ νεκρῶν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ μητρὸς δεσποίνης ἡμῶν θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, τῶν ἁγίων ἐνδόξων, καὶ πανευφήμων ἀποστόλων, καὶ πάντων τῶν ἁγίων, τοὺς προαπελθόντας πατέρας, καὶ ἀδελφοὺς ἡμῶν, καὶ πάντας τοὺς ἐν εὐσεβείᾳ τελειωθέντας, ἐν κόλποις Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ κατατάξῃ, καὶ ἡμᾶς πάντας ἐλεήσῃ, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Κυριακῇ τῆς Ὀρθοδοξίας.

Ο Ἀναστὰς ἐκ νεκρῶν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ μη-



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

τρὸς δεσποίνης ἡμῶν θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, τῶν ἁγίων ἐνδόξων προφητῶν Μωϋσέως, καὶ Ἀαρὼν, καὶ πάντων τῶν ἁγίων σώσῃ, ἐλεήσῃ, καὶ διαφυλάξῃ πάντ.

Σαββάτῳ τοῦ δικαίου Λαζάρου.

Ο Ἀναστὰς ἐκ νεκρῶν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ μητρὸς δεσποίνης ἡμῶν θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, τῶν ἁγίων ἐνδόξων ἀποστόλων, καὶ τοῦ ἁγίου, καὶ δικαίου Λαζάρου, καὶ πάντων.

Κυριακῇ τῆς βαϊοφόρου.

Ο Ὑπὸ τῶν χερουβὶμ βασταζόμενος, καὶ ἐπὶ ὄνον, καὶ πῶλον καθήμενος διὰ τὴν ἡμετέραν σωτηρίαν Χριστὸς ὁ ἀληθι.

Τῇ αὐτῇ κυρ. ἑσπέρας.

Ερχόμενος ὁ κύριος ἐπὶ τὸ ἑκούσιον πάθος διὰ τὴν ἡμετέραν σωτηρίαν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου.

Τῇ ἁγίᾳ, καὶ μεγάλῃ δ'. ἑσπέρας.

Ο Ἐμπτισμοὺς, καὶ μάστιγας, καὶ κολαφισμοὺς, καὶ σταυρὸν, καὶ θάνατον ὑπομείνας, διὰ τὴν τοῦ κόσμου σωτηρίαν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν.

Τῇ ἁγίᾳ, καὶ μεγάλῃ ε'. ἑσπέρας.

Ο Δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν, τὰ φρικτὰ πάθη, καὶ τὸν ζωοποιὸν σταυρὸν σαρκὶ καταδεξάμενος, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις.

Τῇ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Τῇ ἁγίᾳ, καὶ μεγάλῃ κυριακῇ τοῦ Πάσχα.

Ὁ Ἀναστὰς ἐκ νεκρῶν ζωήμερος ἐκ τάφου, καὶ τὰ δεσμὰ τοῦ ᾅδου καταλύσας διὰ τὴν ἡμετέραν σωτηρίαν, Χριστὸς ὁ ἀληθινός.

Κυριακῇ τοῦ Θωμᾶ.

Ὁ Τὸν θάνατον πατήσας, καὶ Θωμᾶν πληροφορήσας, Χριστὸς ὁ ἀληθ.

Ἐν τῇ Ἀναλήψει τοῦ Κυρίου.

Ὁ Μετὰ τεσσαράκοντα ἡμέρας δεδοξασμένος ἀναβεβηκὼς εἰς τὸν οὐρανόν, καὶ ἐν δεξιᾷ τοῦ πατρὸς καθίσας, διὰ τὴν ἡμετέραν σωτηρίαν Χριστὸς ὁ ἀληθ.

Τῇ κυριακῇ τῆς Πεντηκοστῆς.

Ὁ Ἐν εἴδει πυρίνων γλωσσῶν ἐπιφοιτήσας τοῖς μαθηταῖς, Παράκλητος ὁ ἀγαθὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου δεσποίνης ἡμῶν θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, καὶ πάντων τῶν ἁγίων, σώσῃ, ἐλεήσῃ, καὶ διαφυλάξῃ πάντας ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Ἐν τῇ ἑορτῇ τοῦ ἀχράντου Σώματος τοῦ Χριστοῦ.

Ὁ Συνδειπνήσας τοῖς μαθηταῖς διὰ τὴν ἡμετέραν σωτηρίαν, Χριστὸς ὁ ἀληθινός.

Μηνὶ Αὐγούστου ς'. ἡ Μεταμόρφωσις τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ.

Ὁ Ἐν ὄρει Θαβὼρ δείξας τοῖς μαθηταῖς σου τὴν δόξαν τῆς μεταμορφώσεως, διὰ τὴν ἡμετέραν σωτηρίαν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρε-



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

σβείαις τῆς παναχράντου αὐτοῦ μητρὸς δεσποίνης ἡμῶν θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, τῶν ἁγίων ἐνδόξων προφητῶν Μωϋσέως, καὶ Ἠλιοῦ, καὶ πάντων τῶν ἁγίων, σώσῃ, ἐλεήσῃ, καί.

Ἔπειτα λέγεται ἓν τῶν ἀντιφώνων τῆς θεοτόκου, ἀπογεγραμμένων εἰς τὸ τέλος τῶν ἀποδείπνων, μετὰ τὴν εὐχὴν τοῦ Μεσονυκτίου, κατὰ τὴν τάξιν αὐτῶν. καὶ τὸ Αἰνεῖτε τὸν κύριον.

Τέλος τοῦ Ὄρθρου, καὶ τῶν Αἴνων.

ΑΡΧΗ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

# ΑΡΧΗ ΤΩΝ ΗΜΕΡΙΝΩΝ ΩΡΩΝ.

## ΩΡΑ ΠΡΩΤΗ.

Ε'υλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τὸ Τρισάγιον. Δόξα, καὶ νῦν. Παναγία Τριάς. Κύριε ἐλέησον, Κύριε εὐλόγησον. Πάτερ ἡμῶν.

Ὁ Ἱερεὺς λέγει.

Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα τοῦ Πατρὸς, καὶ. ὁ χορός. Ἀμήν.

Δεῦτε προσκυνήσωμεν τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε προσκυνήσωμεν, καὶ προσπέσωμεν Χριστῷ τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε προσκυνήσωμεν, καὶ προσπέσωμεν αὐτῷ Χριστῷ τῷ βασιλεῖ, καὶ Θεῷ ἡμῶν.

Ψαλ. ε'.

ΤΑ` [2] ῥήματά μου ἐνώτισαι κύριε, σύνες τῆς † κραυγῆς μου;* [1] πρόσχες τῇ φωνῇ τῆς δεήσεώς † μου ὁ βασιλεύς μου, καὶ ὁ Θεός μου.

Ὅτι πρὸς σὲ προσεύξομαι κύριε, τὸ πρωῒ εἰσακούσῃ τῆς φωνῆς μου* τὸ πρωῒ παραστήσομαί σοι, καὶ ἐπόψομαι.

Ὅτι οὐχὶ Θεὸς θέλων ἀνομίαν σὺ εἶ* οὐ παροικήσει



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

σοι πονηρευόμενος, ἐδὲ διαμενοῦσι παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου.

Ἐμίσησας πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν * ἀπολεῖς πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος.

Ἄνδρα αἱμάτων, καὶ δόλιον βδελύσσεται κύριος * ἐγὼ δὲ ἐν τῷ πλήθει τοῦ ἐλέους σου, εἰσελεύσομαι εἰς τὸν οἶκόν σου * προσκυνήσω πρὸς ναὸν ἅγιόν σου ἐν φόβῳ σου.

Κύριε ὁδήγησόν με ἐν τῇ δικαιοσύνῃ σου * ἕνεκα τῶν ἐχθρῶν μου κατεύθυνον ἐνώπιόν σου τὴν ὁδόν μου.

Ὅτι οὐκ ἔστιν ἐν τῷ στόματι αὐτῶν ἀλήθεια * ἡ καρδία αὐτῶν ματαία.

Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν * ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν, κρῖνον αὐτοὺς ὁ Θεός.

Ἀποπεσάτωσαν ἀπὸ τῶν διαβουλιῶν αὐτῶν * κατὰ τὸ πλῆθος τῶν ἀσεβειῶν αὐτῶν ἔξωσον αὐτοὺς * ὅτι παρεπίκρανάν σε κύριε.

Καὶ εὐφρανθείησαν πάντες οἱ ἐλπίζοντες ἐπὶ σὲ * εἰς αἰῶνα ἀγαλλιάσονται, καὶ κατασκηνώσεις ἐν αὐτοῖς *, καὶ καυχήσονται ἐν σοὶ πάντες οἱ ἀγαπῶντες τὸ ὄνομά σου.

Ὅτι σὺ εὐλογήσεις δίκαιον * κύριε ὡς ὅπλῳ εὐδοκίας ἐστεφάνωσας ἡμᾶς.

Ψαλ. πθʹ.

Κύριε καταφυγὴ ἐγενήθης ἡμῖν * ἐν γενεᾷ, καὶ γενεᾷ. †

Πρὸ τοῦ ὄρη γενηθῆναι, καὶ πλασθῆναι τὴν γῆν, καὶ †



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

τὴν οἰκουμένην *, καὶ ἀπὸ τοῦ αἰῶνος, καὶ ἕως τοῦ αἰῶνος σὺ εἶ.

Μὴ ἀποστρέψῃς ἄνθρωπον εἰς ταπείνωσιν *, καὶ εἶπας, ἐπιστρέψατε υἱοὶ τῶν ἀνθρώπων.

Ὅτι χίλια ἔτη ἐν ὀφθαλμοῖς σου κύριε * ὡσεὶ ἡ ἡμέρα ἡ ἐχθὲς ἥτις διῆλθε, καὶ φυλακὴ ἐν νυκτί.

Τὰ ἐξουδενώματα αὐτῶν ἔτη ἔσονται *, τὸ πρωῒ ὡσεὶ χλόη παρέλθοι, τὸ πρωῒ ἀνθήσαι, καὶ παρέλθοι, τὸ ἑσπέρας ἀποπέσοι, σκληρυνθείη, καὶ ξηρανθείη.

Ὅτι ἐξελίπομεν ἐν τῇ ὀργῇ σου, * καὶ ἐν τῷ θυμῷ σου ἐταράχθημεν.

Ἔθου τὰς ἀνομίας ἡμῶν ἐναντίον σου, * ὁ αἰὼν ἡμῶν εἰς φωτισμὸν τοῦ προσώπου σου.

Ὅτι πᾶσαι αἱ ἡμέραι ἡμῶν ἐξέλιπον, * καὶ ἐν τῇ ὀργῇ σου ἐξελίπομεν.

Τὰ ἔτη ἡμῶν ὡσεὶ ἀράχνη ἐμελέτων * αἱ ἡμέραι τῶν ἐτῶν ἡμῶν ἐν αὐτοῖς ἑβδομήκοντα ἔτη.

Ἐὰν δὲ ἐν δυναστείαις ὀγδοήκοντα ἔτη, * καὶ τὸ πλεῖον αὐτῶν κόπος, καὶ πόνος.

Ὅτι ἐπῆλθε πραότης ἐφ' ἡμᾶς, * καὶ παιδευθησόμεθα.

Τίς γινώσκει τὸ κράτος τῆς ὀργῆς σου, * καὶ ἀπὸ τοῦ φόβου σου τὸν θυμόν σου ἐξαριθμήσασθαι;

Τὴν δεξιάν σου οὕτω γνώρισόν μοι, * καὶ τοὺς πεπαιδευμένους τῇ καρδίᾳ ἐν σοφίᾳ.

Ἐπί-

Ἐπίστρεψον κύριε ἕως πότε,* καὶ παρακλήθητι ἐπὶ τοῖς δούλοις σου.

Ἐνεπλήσθημεν τὸ πρωῒ τοῦ ἐλέους σου κύριε,* καὶ ἠγαλλιασάμεθα, καὶ εὐφράνθημεν.

Ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν εὐφρανθείημεν* ἀνθ' ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς, ἐτῶν, ὧν εἴδομεν κακά.

Καὶ ἴδε ἐπὶ τοὺς δούλους σου, καὶ ἐπὶ τὰ ἔργα σου,* καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν.

Καὶ ἔστω ἡ λαμπρότης κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς,* καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ' ἡμᾶς,* καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον.

Ψαλ. ρ'.

Ἔλεον [1] καὶ κρίσιν ᾄσομαί σοι κύριε* [2] ψαλῶ, † καὶ συνήσω ἐν ὁδῷ ἀμώμῳ, πότε ἥξεις πρός με; †

Διεπορευόμην ἐν ἀκακίᾳ καρδίας μου* ἐν μέσῳ τοῦ οἴκου μου.

Οὐ προετιθέμην πρὸ ὀφθαλμῶν μου πρᾶγμα παράνομον* ποιοῦντας παραβάσεις ἐμίσησα.

Οὐκ ἐκολλήθη μοι καρδία σκαμβὴ* ἐκκλίνοντος ἀπ' ἐμοῦ τοῦ πονηροῦ οὐκ ἐγίνωσκον.

Τὸν καταλαλοῦντα λάθρᾳ τὸν πλησίον αὐτοῦ τοῦτον ἐξεδίωκον* ὑπερηφάνῳ ὀφθαλμῷ, καὶ ἀπλήστῳ καρδίᾳ, τούτῳ οὐ συνήσθιον.

Οἱ ὀφθαλμοί μου ἐπὶ τοὺς πιστοὺς τῆς γῆς* τοῦ συγκαθῆσθαι αὐτοὺς μετ' ἐμοῦ.

Πο-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Πορευόμενος ἐν ὁδῷ ἀμώμῳ, οὗτός μοι ἐλειτούργει* οὐ κατῴκει ἐν μέσῳ τῆς οἰκίας μου ποιῶν ὑπερηφανίαν.

Λαλῶν ἄδικα* οὐ κατεύθυνεν ἐνώπιον τῶν ὀφθαλμῶν μου.

Εἰς τὰς πρωΐας ἀπέκτεινον* πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς.

Τοῦ ἐξολοθρεῦσαι ἐκ πόλεως κυρίου* πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν.

Δόξα, καὶ νῦν.

Τί σὲ καλέσωμεν ὦ κεχαριτωμένη; οὐρανὸν, ὅτι ἀνέτειλας τὸν ἥλιον τῆς δικαιοσύνης· παράδεισον, ὅτι ἐβλάστησας τὸ ἄνθος τῆς ἀφθαρσίας· παρθένον; ὅτι ἔμεινας ἄφθορος· ἁγνὴν μητέρα; ὅτι ἔσχες ταῖς ἁγίαις ἀγκάλαις υἱὸν τὸν πάντων Θεὸν, αὐτὸν ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου, καὶ μὴ κατακυριευσάτω μου πᾶσα ἀνομία. λύτρωσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων, καὶ φυλάξω τὰς ἐντολάς σου· τὸ πρόσωπόν σου ἐπίφανον ἐπὶ τὸν δοῦλόν σου, καὶ δίδαξόν με τὰ δικαιώματά σου.

Πληρωθήτω τὸ στόμα μου αἰνέσεώς σου κύριε, ὅπως ὑμνήσω τὴν δόξαν σου ὅλην τὴν ἡμέραν, τὴν μεγαλοπρέπειάν σου.

Εἶτα τὸ τρισάγιον λέγεται, Δόξα καὶ νῦν, Παναγία τριὰς, Κύριε ἐλέησον, κύριε εὐλόγησον, Πάτερ ἡμῶν. Καὶ ὁ Ἱερεὺς. Ὅτι σοῦ ἐστιν.

Καὶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Καὶ λέγεται ἐν τῇ ἑορτῇ τὸ τροπάριον τῆς ἑορτῆς.

Ὅταν δὲ τύχῃ λιτὴ ἡμέρα, ταῦτα λέγονται.

Ο Θεὸς τῶν πατέρων ἡμῶν ὁ ποιῶν ἀεὶ μεθ' ἡμῶν κατὰ τὴν σὴν ἐπιείκειαν, μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν, ἀλλὰ ταῖς αὐτῶν ἱκεσίαις ἐν εἰρήνῃ κυβέρνησον τὴν ζωὴν ἡμῶν.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος σου, ὡς δεξαμένην τὸν λόγον σου. δι' οὗ θεοπρεπῶς ἐδογμάτισας, τὴν φύσιν τῶν ὄντων ἐτράνωσας, τὰ τῶν ἀνθρώπων ἤθη κατεκόσμησας, Βασίλειον ἱεράτευμα, πάτερ ὅσιε πρέσβευε Χριστῷ τῷ Θεῷ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ λέγεται τὸ τροπ. τοῦ Κτήτορος τῆς ἐκκλησίας.

Θεοτοκίον.

Ἐν τῇ γεννήσει τὴν παρθενίαν ἐφύλαξας, ἐν τῇ κοιμήσει τὸν κόσμον οὐ κατέλιπες, θεοτόκε μετέστης πρὸς τὴν ζωὴν μήτηρ ὑπάρχουσα τῆς ζωῆς, καὶ ταῖς πρεσβείαις ταῖς σαῖς λυτρουμένη ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

Μετὰ ταῦτα λέγει ὁ Ἱερεύς.

Τοῦ κυρίου δεηθῶμεν, ὁ χορ. Κύριε ἐλέησον.

Κύριε ὁ Θεὸς ἡμῶν τὸ ἀπρόσιτον φῶς, ὁ καταξιώσας ἡμᾶς πρὸς τὰς ἀρχὰς τῆς ἡμέρας ταύτης διελθεῖν, ἀνάτειλον ἐν ταῖς καρδίαις ἡμῶν τὸν τῆς δικαιοσύνης σου ἥλιον, φωταγωγοῦντα, καὶ ὁδηγοῦντα ἡμᾶς. τὴν ὁδὸν τῶν ἐντολῶν σου πορευθῆναι, εὐχαῖς

τῶν

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

τῶν ἁγίων Πατέρων ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶν. Ἀμήν.

Τὴν τιμιωτέραν τῶν χερουβὶμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν σεραφὶμ, τὴν ἀδιαφθόρως Θεὸν λόγον τεκοῦσαν, τὴν ὄντως θεοτόκον σε μεγαλύνομεν.

Ἔνδοξε θεοτόκε ἀειπάρθενε μήτηρ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, προσάγαγε τὴν ἡμετέραν προσευχὴν τῷ Υἱῷ σου, καὶ Θεῷ ἡμῶν, ἵνα σώσῃ διὰ σοῦ τὰς ψυχὰς ἡμῶν.

Δέσποτα Θεὲ πάτερ παντοκράτορ, κύριε υἱὲ μονογενὲς Ἰησοῦ Χριστὲ, καὶ ἅγιον Πνεῦμα, μία θεότης, μία δύναμις, ἐλέησόν με τὸν ἁμαρτωλὸν, καὶ οἷς ἐπίστασαι κρίμασι σῶσόν με τὸν ἀνάξιον δοῦλον σου, ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας, τῶν αἰώνων. Ἀμήν.

ὁ Ἱερεύς.

Δόξα σοι Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἡ ἐλπὶς πάντων ἡμῶν δόξα σοι. ὁ χορ.

Δόξα Πατρὶ. καὶ νῦν. κύριε ἐλέησον, κύριε εὐλόγησον.

ὁ Ἱερεύς.

Ε'Υπρόσδεκτον, καὶ ἀκαταίσχυντον ποιήσῃ κύριος ὁ Θεὸς ἡμῶν τὴν προσευχὴν τῆς παρούσης ὥρας ἡμῶν τῶν ἁμαρτωλῶν, εὐχαῖς τῶν ἁγίων Πατέρων ἡμῶν, καὶ ἐν ἀφέσει ἁμαρτιῶν σώσῃ, ἐλεήσῃ, καὶ διαφυλάξῃ πάντας ἡμᾶς, ὡς ἀγαθὸς, καὶ φιλάνθρωπος. Ἀμήν.

Ἐν δὲ τῇ μεγάλῃ μ'. εἰς τὸ τέλος τῶν τυχόντων ψαλμῶν ἐν πάσαις ταῖς ὥραις μετὰ τὸ Δόξα καὶ νῦν

εὐθέως

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

εὐθέος λέγεται κάθισμα ἐν τῷ Ψαλτηρίῳ. Δόξα καὶ νῦν, καὶ μετὰ τοῦτο λέγει ὁ Ἱερεὺς εἰς τὴν α΄. ὥραν ἐν ἤχ. πλα. β΄.

Ο Ἱερεύς.

ΤΟ πρωῒ εἰσάκουσον τῆς φωνῆς μου, ὁ βασιλεύς μου, καὶ ὁ Θεός μου. ὁ χορὸς ἀεὶ ἀποκρίνεται τὸ αὐτό. Τὰ ῥήματά μου ἐνώτισαι κύριε.

Ὅτι πρὸς σὲ προσεύξομαι κύριε. καὶ πάλιν ὁ Ἱερ. Τὸ πρωῒ. καὶ μετὰ ταῦτα λέγεται δόξα καὶ νῦν. Τί σε καλέσωμ. Τὰ διαβήματά μου, Πληρωθήτω, τὸ τρισάγιον, παναγία τριάς, Πάτερ ἡμῶν, καὶ Ὅτι σοῦ ἐστὶ ἡ βασιλεία: ἔπειτα ἀντὶ τοῦ τροπαρίου λέγονται κδ΄. Κύριε ἐλέησον. εἶτα ὁ ἱερεὺς λέγει, Τοῦ κυρίου δεηθ. καὶ τὴν εὐχήν. Κύριε ὁ Θεὸς ἡμῶν τὸ ἀπερόσιτον φῶς. ὡς ἐπάνω. καὶ εἰς τέλος τῆς αὐτῆς λέγει ὁ χορὸς ἀντὶ τοῦ Τὴν τιμιωτέραν.

Ο Θεὸς οἰκτειρήσαι ἡμᾶς, καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ᾽ ἡμᾶς, καὶ ἐλεήσαι ἡμᾶς. ἐκ γ΄.

Καὶ τὴν ἀπόλυσιν λέγει ὁ ἱερεὺς ὡς ἔθος.

Ἀπὸ δὲ τῆς β΄. ἑβδομάδος τῆς μεγάλης μ΄. λέγεται εἰς τὸ τέλος τῆς ἀκολουθίας τῆς α΄. ὥρας ἀκολουθία τῶν κεκοιμημένων, μέχρι τῆς μεγάλης ἁγίας ἑβδομάδος, καθ᾽ ἑκάστην ἡμέραν, χωρὶς τῶν Κυριακῶν καὶ σαββ. καὶ τῶν μεγάλων ἑορτῶν, οὕτως.

ΑΚΟ-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΩΝ ΚΕΚΟΙΜΗΜΕΝΩΝ.

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν. τὸ Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, καὶ Ὅτι σοῦ. Τὸ Δεῦτε προσκυνήσωμεν. ἐκ γ'. καὶ ἀναγινώσκονται πρῶτον οἱ τρεῖς ψαλμοί, ἤγουν ὁ ν'. Ἐλέησόν με ὁ Θεός. ὁ ρκθ'. Ἐκ βαθέων ἐκέκραξά σοι. καὶ ὁ ρμβ'. Κύριε εἰσάκουσον. Δόξα καὶ νῦν. Εἶτα εἰς ἦχ. πλ. α'.

Εὐλογητὸς εἶ κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Τῶν ἁγίων ὁ χορὸς εὗρε πηγὴν τῆς ζωῆς, καὶ θύραν παραδείσου, εὕρω κἀγώ, τὴν ὁδὸν διὰ τῆς μετανοίας, τὸ ἀπολωλὸς πρόβατον ἐγώ εἰμι, ἀνακάλεσαί με σωτήρ, καὶ σῶσόν με. Εὐλογητὸς εἶ κύριε.

Οἱ τὸν ἀμνὸν τοῦ Θεοῦ κηρύξαντες, καὶ σφαγιασθέντες, ὥσπερ ἄρνες πρὸς ζωὴν τὴν ἀγήρω, ἅγιοι, καὶ ἀΐδιον μετατεθέντες. τοῦτον ἐκτενῶς, μάρτυρες αἰτήσασθε, ὀφλημάτων λύσιν ἡμῖν δωρήσασθαι. Εὐλογητὸς εἶ κύριε.

Οἱ τὴν ὁδὸν τὴν στενὴν βαδίσαντες, τεθλιμμένοι πάντες οἱ ἐν βίῳ, οἱ τὸν σταυρόν, ὡς ζυγὸν ἀράμενοι, καὶ ἐμοὶ ἀκολουθήσαντες ἐν πίστει. δεῦτε ἀπολάβετε ἃ ἡτοίμασα ὑμῖν, τὰ βραβεῖα, καὶ στέφη τὰ οὐράνια. Εὐλογητὸς εἶ κύριε.

Εἰκών

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Εἰκὼν εἰμὶ τῆς ἀῤῥήτου δόξης σου, εἰ καὶ στίγματα φέρω πταισμάτων, οἰκτείρησον, τὸ σὸν πλάσμα, δέσποτα. Καὶ καθάρισον σῇ εὐσπλαγχνίᾳ, καὶ τὴν ποθεινὴν πατρίδα παράσχου μοι, παραδείσου πάλιν ποιῶν πολίτην με. Εὐλογητὸς εἶ κύριε.

Ὁ πάλαι μὲν ἐκ μὴ ὄντος πλάσας με, καὶ εἰκόνι σου θείᾳ τιμήσας, παραβάσει ἐντολῆς δὲ πάλιν με ἐπιστρέψας εἰς γῆν, ἐξ ἧς ἐλήφθην. εἰς τὸ καθ᾽ ὁμοίωσιν ἐπανάγαγε, τὸ ἀρχαῖον κάλλος ἀναμορφώσασθαι. Εὐλογητὸς εἶ κύριε.

Ἀνάπαυσον ὁ Θεὸς τοὺς δούλους σου, καὶ κατάταξον αὐτοὺς ἐν παραδείσῳ, ὅπου χοροὶ, τῶν ἁγίων κύριε, καὶ οἱ δίκαιοι ἐκλάμψουσιν ὡς φωστῆρες. τοὺς κεκοιμημένους δούλους σου ἀνάπαυσον, παρορῶν αὐτῶν πάντα τὰ ἐγκλήματα.

Χρηστότητα ἐποίησας μετὰ τῶν δούλων σου κύριε κατὰ τὸν λόγον σου. Δόξα Πατρὶ, καὶ Υἱῷ, καὶ.

Τὸ τρίλαμπες τῆς μιᾶς θεότητος, εὐσεβῶς ὑμνήσωμεν βοῶντες, ἅγιος εἶ, ὁ πατὴρ ὁ ἄναρχος, ὁ συνάναρχος Υἱὸς, καὶ θεῖον Πνεῦμα. φώτισον ἡμᾶς πίστει σοι λατρεύοντας, καὶ τοῦ αἰωνίου πυρὸς ἐξάρπασον.

Καὶ νῦν καὶ ἀεὶ.

Χαῖρε σεμνὴ, ἡ Θεὸν σαρκὶ τεκοῦσα εἰς πάντων σωτηρίαν, δι᾽ ἧς γένος, τῶν ἀνθρώπων εὕρατο τὴν σωτηρίαν. διὰ σοῦ εὕροιμεν παράδεισον θεοτόκε ἁγνὴ εὐλογημένη.

Εἶτα

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Εἶτα τὸ Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν, καὶ τὰ καθ. εἰς ἦχ. πλα. δ΄.

Ἀνάπαυσον Σωτὴρ ἡμῶν μετὰ δικαίων τοὺς δούλους σου, καὶ αὐτοὺς κατασκήνωσον ἐν ταῖς αὐλαῖς σου, καθὼς γέγραπται, παρορῶν ὡς ἀγαθὸς τὰ πλημμελήματα, τὰ ἑκούσια αὐτῶν, καὶ τὰ ἀκούσια, καὶ πάντα τὰ ἐν ἀγνοίᾳ, καὶ γνώσει φιλάνθρωπε. Δόξα Πατρί.

Γινώσκεις ὁ Θεὸς ἡμῶν, ὅτι ἐν ἁμαρτίαις γινόμεθα, διό σε ἱκετεύομεν, τοὺς μεταστάντας ἀνάπαυσον, συγχωρῶν ὡς ἀγαθὸς τὰ ἁμαρτήματα, ἃ ὡς ἄνθρωποι φθαρτοὶ ἐν βίῳ ἔπραξαν, πρεσβείαις τῆς Θεοτόκου μόνε φιλάνθρωπε. Καὶ νῦν.

Χαῖρε ἅγιον ὄρος καὶ θεοβάδιστον, χαῖρε ἔμψυχε βάτε καὶ ἀκατάφλεκτε. χαῖρε ἡ μόνη πρὸς Θεὸν κόσμου γέφυρα, ἡ μετάγουσα θνητοὺς πρὸς τὴν αἰώνιον ζωήν. χαῖρε ἀκήρατε κόρη, ἡ ἀπειράνδρως τεκοῦσα, τὴν σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Καὶ τὸ κοντάκ. ἦχ. πλα. δ΄.

Μετὰ τῶν ἁγίων ἀνάπαυσον Χριστὲ τὰς ψυχὰς τῶν δούλων σου, ἔνθα οὐκ ἔστι πόνος, οὐ λύπη, οὐ στεναγμὸς, ἀλλὰ ζωὴ ἀτελεύτητος. Τὸ ἀλληλούϊα.

Αὐτὸς μόνος ὑπάρχεις ἀθάνατος, ὁ ποιήσας, καὶ πλάσας τὸν ἄνθρωπον. οἱ βροτοὶ δὲ ἐκ γῆς διεπλάσθημεν, καὶ εἰς γῆν τὴν αὐτὴν πορευσόμεθα, καθὼς ἐκέλευσας ὁ πλάσας με, καὶ εἰπών μοι, ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. ὅπου πάντες βροτοὶ πο-



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ρώσομεθα, ἐπιτάφιον Θρῆνον ποιοῦντες ᾠδὴν, τὸ ἀλληλούϊα.

Νουνεχῶς δυσωπῶ ἐπακούσατε, μετὰ πόνου γὰρ ταῦτα καὶ φθέγγομαι. δι' ὑμᾶς γὰρ τὸν θρῆνον ἐποίησα, ἴσως ἔχειν τινὰ πρὸς ὠφέλειαν. ἀλλ' ὅτε ταῦτα μελῳδήσητε μνημονεύσατέ μου, τοῦ ποτὲ γνωρίμου. πολλάκις γὰρ ὁμοῦ συνεισήλθομεν, καὶ ἐν οἴκῳ Θεοῦ ἐψάλλομεν ᾠδὴν, τὸ ἀλλ.

Ἀναστάντες οὖν πάντες συνάχθητε, καὶ καθίσαντες λόγον ἀκούσατε. φοβερὸν ἀδελφοὶ τὸ κριτήριον, ὅπου μέλλομεν πάντες πορεύεσθαι. οὐκ ἔνι ἐκεῖ δοῦλος, οὔτε ἐλεύθερος, οὐδὲ ἔνι ἐκεῖ μικρὸς, οὔτε μέγας. ἀλλ' οἱ πάντες γυμνοὶ παριστάμεθα, διὰ τοῦτο καλὸν τὸ βοᾶν τῷ Χριστῷ, τὸ ἀλληλ.

Συγχεόμεθα πάντες τοῖς δάκρυσιν, ὅταν ἴδωμεν λείψανον κείμενον, καὶ ἐγγίζοντες πάντες ἀσπάζονται, ἴσως δὲ καὶ τοιαῦτα προσφθέγγονται. ἰδοὺ ἀφῆκας τοὺς φιλοῦντάς σε; οὐ λαλεῖς, οὐ λυπεῖ μεθ' ἡμῶν ὁ φίλος; διατί οὐ λαλεῖς, ὡς ἐλάλεις ἡμῖν; ἀλλ' οὕτω σιγᾷς μὴ λαλῶν μεθ' ἡμῶν, τὸ ἀλληλ.

Ἄρα ποῦ αἱ ψυχαὶ νῦν ὑπάγουσιν, ἄρα πῶς ἐν τῷ ᾅδῃ διάγουσιν; ἐπεθύμουν μαθεῖν τὸ μυστήριον, ἀλλ' οὐδεὶς ἱκανὸς διηγήσασθαι. ἆρα κἀκεῖνοι μνημονεύουσι τῶν ἰδίων αὐτῶν, ὡς ἡμεῖς ἐκείνων; ἢ ἐκεῖνοι λοιπὸν ἐπελάθοντο, τῶν θρηνούντων αὐτοὺς, καὶ ποιούντων ᾠδὴν, τὸ ἀλληλ.

Ὑπά-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Υ'Πάγομεν ὁδὸν τὴν οὐράνιον, πρὸς τὸν μόνον Θεὸν τὸν αἰώνιον. παριστάμεθα ὥσπερ κατάδικοι, καταν‍εύοντες ὅλοι τὰ πρόσωπα. ποῦ κάλλος τότε; ποῦ τὰ χρήματα; ποῦ ἡ δόξα τότε ἡ τοῦ βίου τούτου; οὐδὲν τούτων ἐκεῖ βοηθήσει σοι, εἰμὴ μόνον λέγειν συνεχῶς τὸν ψαλμὸν, τὸ ἀλλ.

ΣΥγχαιρόμεθα μόνον ἀκούοντες. ὅτι ἔνι ἐκεῖ φῶς αἰώνιον. καὶ ἐκεῖ ἡ πηγὴ τῆς ζωῆς ἡμῶν, καὶ ἐκεῖ ἡ τρυφὴ ἡ αἰώνιος. καὶ ἐκεῖ ὑπάρχει ὁ παράδεισος, ὅπου πᾶσα ψυχὴ τῶν δικαίων χαίρει. συνέλθωμεν πάντες Χριστῷ καὶ ἡμεῖς, ἵνα οὕτω βοήσωμεν αὐτῷ μεθ' ᾠδῆς, τὸ ἀλληλ. Θεοτοκίον.

ΠΑναγία παρθένε ἀνύμφευτε, ἡ τεκοῦσα τὸ φῶς τὸ ἀπρόσιτον, δυσωπῶ, ἱκετεύω, καὶ δέομαι, δυσωποῦσα μὴ παύσῃ πρὸς κύριον, ὑπὲρ τῶν δούλων σου ὦ δέσποινα, ἵνα εὕρωσιν ἐκεῖ ἄφεσιν πταισμάτων, ἐν ἡμέρᾳ τῆς κρίσεως ἄχραντε, θεοτόκε παρθένε, ποιούντων ᾠδὴν, τὸ ἀλληλ. Κοντάκιον.

ΤΗ'ν πολυτάραχον θάλασσαν τοῦ βίου διαδραμόντες, τῷ σῷ λιμένι προσώρμησαν οἱ ἐν πίστει μεταστάντες. ἀλλ' ἐν τῇ σῇ γαλήνῃ, καὶ ἀειζώῳ τρυφῇ μετὰ τῶν ἁγίων καθοδηγῶν αὐτοὺς, ἀνάπαυσον κύριε τὰς ψυχὰς τῶν δούλων σου, δεόμεθα.

Εἶτα τὸ τρισάγιον. Παναγ. τριὰς Πάτερ ἡμ. καὶ Ὅτι σοῦ.

Τροπ. ἦχ. πλα. δ'.

Ο' Βυθῷ σοφίας φιλανθρώπως τὰ πάντα οἰκονομῶν, καὶ τὸ συμφέρον πᾶσιν ἀπονέμων μόνε δη-



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

μιουργὲ, ἀνάπαυσον κύριε τὰς ψυχὰς τῶν δούλων σου. ἐν σοὶ γὰρ τὴν ἐλπίδα ἀνέθεντο, τῷ ποιητῇ, καὶ πλάστῃ, καὶ Θεῷ ἡμῶν. Θεοτοκίον.

ΣΕ καὶ τεῖχος καὶ λιμένα ἔχομεν, καὶ πρέσβιν εὐπρόσδεκτον, πρὸς ὃν ἔτεκες Θεὸν, Θεοτόκε ἀνύμφευτε, τῶν πιστῶν ἡ σωτηρία.

ὁ Ἱερεύς.

ΕΝ εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν.

Κύριε ἐλέησον.

Ὑπὲρ τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν πάντων, τοῦ κυρίου δεηθῶμεν. Κύρ. ἐλ.

Ὑπὲρ μνήμης, κοιμήσεως, καὶ μακαρίας ἀναπαύσεως πάντων τῶν κεκοιμημένων χριστιανῶν, πατέρων, καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε, καὶ πανταχοῦ κειμένων, κοιμήσεως, ἀνέσεως, καὶ μακαρίας ἀναπαύσεως αὐτῶν, τοῦ κυρίου δεηθῶμεν. Κύριε ἐλέησον.

Ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτοῖς πᾶν πλημμέλημα ἑκούσιόν τε, καὶ ἀκούσιον, τοῦ κυρίου δεηθῶμεν. Κύρ. ἐλ.

Ὅπως κύριος ὁ Θεὸς ἡμῶν κατατάξῃ τὰ πνεύματα αὐτῶν, ἔνθα οἱ δίκαιοι ἀναπαύονται, τοῦ κυρίου δεηθῶμεν. Κύριε ἐλέησον.

Τὰ ἐλέη τοῦ Θεοῦ, καὶ τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ ἄφεσιν τῶν ἁμαρτιῶν αὐτῶν αἰτούμενοι, ἑαυτοὺς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα. Σοὶ κύριε.

Τοῦ κυρίου δεηθῶμεν. Κύριε ἐλέησον.

Εὐχή.

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Εὐχή.

Ὁ Θεὸς τῶν πνευμάτων, καὶ πάσης σαρκὸς, ὁ τὸν θάνατον καταπατήσας, καὶ τὸν διάβολον καταργήσας, καὶ ζωὴν τῷ κόσμῳ σου δωρησάμενος, αὐτὸς κύριε ἀνάπαυσον τὰς ψυχὰς τῶν δούλων σου ἐν τόπῳ φωτεινῷ, ἐν τόπῳ χλοερῷ, ἐν τόπῳ ἀναψύξεως, ἔνθα ἀπέδρα πᾶσα ὀδύνη, λύπη καὶ στεναγμός. Καὶ πᾶν ἁμάρτημα τὸ παρ' αὐτῶν πραχθὲν ἐν λόγῳ, ἢ ἔργῳ, ἢ κατὰ διάνοιαν, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς συγχώρησον. ὅτι οὐκ ἔστιν ἄνθρωπος ἐπὶ τῆς γῆς, ὃς ζήσεται, καὶ οὐχ' ἁμαρτήσει. Σὺ γὰρ μόνος κύριε ἐκτὸς ἁμαρτίας ὑπάρχεις, καὶ ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα, καὶ ὁ λόγος σου ἀλήθεια. ὅτι σὺ εἶ ἡ ζωὴ, καὶ ἡ ἀνάπαυσις τῶν κεκοιμημένων δούλων σου Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ πατρί.

Δόξα σοι Ἰησοῦ Χριστέ. Δόξα καὶ νῦν. ἀπόλυσις.

Ὁ Ἀναστὰς ἐκ νεκρῶν Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ μητρὸς δεσποίνης ἡμῶν θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, τῶν ἁγίων ἐνδόξων, καὶ πανευφήμων ἀποστόλων, καὶ πάντων τῶν ἁγίων, τοὺς προαπελθόντας πατέρας, καὶ ἀδελφοὺς ἡμῶν, καὶ πάντας τοὺς ἐν εὐσεβείᾳ τελειωθέντας, ἐν κόλποις Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ κατατάξῃ, καὶ ἡμᾶς πάντας ἐλεήσῃ, ὡς ἀγαθὸς, καὶ φιλάνθρωπος. Ἀμήν.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

# ΩΡΑ ΤΡΙΤΗ.

## Ὁ ΙΕΡΕΥΣ.

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε.

Ὥσπερ ἐν τῇ πρώτῃ πάντα λέγονται.

Δεῦτε προσκυνήσωμεν γʹ. Ψαλ. ιϛʹ.

Εἰσάκουσον [2] κύριε δικαιοσύνης μου, πρόσχες † τῇ δεήσει μου, *ἐνώτισαι τὴν προσευχήν μου, οὐκ ἐν χείλεσι δολίοις.

Ἐκ προσώπου σου τὸ κρίμα μου ἐξέλθοι, *οἱ ὀφθαλμοί σου ἰδέτωσαν εὐθύτητας.

Ἐδοκίμασας τὴν καρδίαν μου, ἐπεσκέψω νυκτός, * ἐπύρωσάς με, καὶ οὐχ εὑρέθη ἐν ἐμοὶ ἀδικία.

Ὅπως ἂν μὴ λαλήσῃ τὸ στόμα μου τὰ ἔργα τῶν ἀνθρώπων, *διὰ τοὺς λόγους τῶν χειλέων σου ἐγὼ ἐφύλαξα ὁδοὺς σκληράς.

Κατάρτισαι τὰ διαβήματά μου ἐν ταῖς τρίβοις σου, * ἵνα μὴ σαλευθῶσι τὰ διαβήματά μου.

Ἐγὼ ἐκέκραξα, ὅτι ἐπήκουσάς μου ὁ Θεὸς, *κλῖνον τὸ οὖς σου ἐν ἐμοὶ, καὶ εἰσάκουσον τῶν ῥημάτων μου.

Θαυμάστωσον τὰ ἐλέη σου ὁ σώζων τοὺς ἐλπίζοντας ἐπὶ σὲ, *ἐκ τῶν ἀνθεστηκότων τῇ δεξιᾷ σου [1] φύλαξόν με κύριε ὡς κόρην ὀφθαλμοῦ. †

Ἐν σκέπῃ τῶν πτερύγων σου σκεπάσεις με, *ἀπὸ προσώπου ἀσεβῶν τῶν ταλαιπωρησάντων με.

Οἱ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Οἱ ἐχθροί μου τὴν ψυχήν μου περιέσχον, * τὸ στέαρ αὐτῶν συνέκλεισαν, τὸ στόμα αὐτῶν ἐλάλησεν ὑπερηφανίαν.

Ἐκβαλόντες με νυνὶ περιεκύκλωσάν με, * τοὺς ὀφθαλμοὺς αὐτῶν ἔθεντο ἐκκλῖναι ἐν τῇ γῇ.

Ὑπέλαβόν με ὡσεὶ λέων ἕτοιμος εἰς θήραν, * καὶ ὡσεὶ σκύμνος οἰκῶν ἐν ἀποκρύφοις.

Ἀνάστηθι κύριε, πρόφθασον αὐτοὺς, καὶ ὑποσκέλισον αὐτοὺς, * ῥῦσαι τὴν ψυχήν μου ἀπὸ ἀσεβοῦς, ῥομφαίαν σου ἀπὸ ἐχθρῶν τῆς χειρός σου.

Κύριε ἀπὸ ὀλίγων ἀπὸ γῆς διαμέρισον αὐτοὺς ἐν τῇ ζωῇ αὐτῶν, * καὶ τῶν κεκρυμμένων σου ἐπλήσθη ἡ γαστὴρ αὐτῶν.

Ἐχορτάσθησαν υἱῶν, * καὶ ἀφῆκαν τὰ κατάλοιπα τοῖς νηπίοις αὐτῶν.

Ἐγὼ δὲ ἐν δικαιοσύνῃ ὀφθήσομαι τῷ προσώπῳ σου, * χορτασθήσομαι ἐν τῷ ὀφθῆναί μοι τὴν δόξαν σου.

Ψαλ. κδʹ.

Πρὸς [2] σὲ κύριε ἦρα τὴν ψυχήν μου, ὁ Θεός μου ἐπὶ σοὶ πέποιθα, * μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα.

Μηδὲ καταγελασάτωσάν με οἱ ἐχθροί μου, * καὶ γὰρ πάντες οἱ ὑπομένοντές σε οὐ μὴ καταισχυνθῶσιν.

Αἰσχυνθήτωσαν οἱ ἀνομοῦντες διακενῆς, * τὰς ὁδούς σου κύριε γνώρισόν μοι, καὶ τὰς τρίβους σου δίδαξόν με.

Ὁδήγησόν με ἐπὶ τὴν ἀλήθειάν σου, καὶ δίδαξόν με, * ὅτι σὺ εἶ ὁ Θεὸς ὁ σωτήρ μου, καὶ σὲ ὑπέμεινα ὅλην τὴν ἡμέραν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Μνήσθητι τῶν οἰκτιρμῶν σου κύριε, καὶ τὰ ἐλέη σου· * ὅτι ἀπὸ τοῦ αἰῶνός εἰσιν.

Ἁμαρτίας νεότητός μου, καὶ ἀγνοίας μου μὴ μνησθῇς, * κατὰ τὸ ἔλεός σου μνήσθητί μου σύ.

Ἕνεκεν τῆς χρηστότητός σου κύριε, * χρηστὸς καὶ εὐθὺς ὁ κύριος.

Διὰ τοῦτο νομοθετήσει ἁμαρτάνοντας ἐν ὁδῷ, * ὁδηγήσει πραεῖς ἐν κρίσει, διδάξει πραεῖς ὁδοὺς αὐτοῦ.

Πᾶσαι αἱ ὁδοὶ κυρίου ἔλεος καὶ ἀλήθεια * τοῖς ἐκζητοῦσι τὴν διαθήκην αὐτοῦ, καὶ τὰ μαρτύρια αὐτοῦ.

Ἕνεκεν τοῦ ὀνόματός σου κύριε * ἱλάσθητι τῇ ἁμαρτίᾳ μου, πολλὴ γάρ ἐστι.

Τίς ἐστιν ἄνθρωπος ὁ φοβούμενος τὸν κύριον; * νομοθετήσει αὐτῷ ἐν ὁδῷ, ᾗ ᾑρετίσατο.

Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς αὐλισθήσεται, * καὶ τὸ σπέρμα αὐτοῦ κληρονομήσει γῆν.

Κραταίωμα κύριος τῶν φοβουμένων αὐτὸν, * καὶ ἡ διαθήκη αὐτοῦ δηλώσει αὐτοῖς.

Οἱ ὀφθαλμοί μου διαπαντὸς πρὸς τὸν κύριον, * ὅτι αὐτὸς ἐκσπάσει ἐκ παγίδος τοὺς πόδας μου.

Ἐπίβλεψον ἐπ' ἐμὲ, καὶ ἐλέησόν με, * ὅτι μονογενὴς, καὶ πτωχὸς εἰμὶ ἐγώ.

Αἱ θλίψεις τῆς καρδίας μου ἐπληθύνθησαν, * ἐκ τῶν ἀναγκῶν μου ἐξάγαγέ με.

Ἴδε τὴν ταπείνωσίν μου, καὶ τὸν κόπον μου, * καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου.

Ἴδε

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἴδε τοὺς ἐχθρούς μου, ὅτι ἐπληθύνθησαν, * καὶ μῖσος ἄδικον ἐμίσησάν με.

Φύλαξον τὴν ψυχήν μου, καὶ ῥῦσαί με, * μὴ καταισχυνθείην, ὅτι ἤλπισα ἐπὶ σέ.

Ἄκακοι, καὶ εὐθεῖς ἐκολλῶντό μοι, * ὅτι ὑπέμεινά σε κύριε.

Λύτρωσαι ὁ Θεὸς τὸν Ἰσραὴλ * ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ.

Ψαλ. ν΄.

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, * καὶ ✝ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, * καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, * καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διαπαντός.

Σοὶ μόνῳ ἥμαρτον, * καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα.

Ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, * καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, * καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, * τὰ ἄδηλα, καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, * πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκου-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἀκουτιεῖς μοι ἀγαλλίασιν, καὶ εὐφροσύνην. * ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, * καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεός, * καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. *

Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, * καὶ τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ. *

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, * καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με. *

Διδάξω ἀνόμους τὰς ὁδούς σου, * καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι,

Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, * ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε τὰ χείλη μου ἀνοίξεις, * καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, * ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον, * καρδίαν συντετριμμένην, καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον κύριε ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, * καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, * ἀναφορὰν, καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Δόξα,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Δόξα, καὶ νῦν.

Θεοτόκε σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινὴ, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς, σὲ ἱκετεύομεν, πρέσβευε δέσποινα, μετὰ τῶν ἀποστόλων καὶ πάντων τῶν ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Κύριος ὁ Θεὸς εὐλογητὸς, εὐλογητὸς κύριος ἡμέραν καθ' ἡμέραν, κατευοδώσαι ἡμῖν ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν, ὁ Θεὸς ἡμῶν, ὁ Θεὸς τοῦ σώζειν.

Τὸ τρισάγιον, Δόξα καὶ νῦν, Παναγία τριὰς, καὶ τὸ Πάτερ ἡμῶν. εἶτα ὁ Ἱερεὺς λέγει, Ὅτι σοῦ.

καὶ ὁ χορός.

Βασιλεῦ οὐράνιε παράκλητε, τὸ πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρὼν, καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν, καὶ ζωῆς χορηγός. Ἐλθὲ, καὶ σκήνωσον ἐν ἡμῖν, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλίδος, καὶ σῶσον ἀγαθὲ τὰς ψυχὰς ἡμῶν.

Προστασία τῶν χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν ποιητὴν ἀμετάθετε, μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνὰς, ἀλλὰ πρόφθασον ὡς ἀγαθὴ, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι, τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεὶ Θεοτόκε τῶν τιμώντων σε.

ὁ Ἱερ. λέγει. Τοῦ κυρίου δεηθ. Κύριε ἐλέησον.

Δέσποτα κύριε ὁ Θεὸς ἡμῶν, ὁ κατὰ τὴν τρίτην ὥραν τὸ παράκλητον, καὶ ἅγιόν σου πνεῦμα τοῖς ἁγίοις σου μαθηταῖς καὶ ἀποστόλοις ἐκπέμψας, καὶ ἡμᾶς τοὺς

ἁμαρ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ἁμαρτωλοὺς καὶ ἀναξίους δούλους σου, εὐχαῖς τῶν ἁγίων πατέρων ἡμῶν, τῆς αὐτῆς δωρεᾶς, καὶ χάριτος μετόχους ἀνάδειξον. Ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ συντηρῶν τὴν ζωὴν ἡμῶν πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἐν δὲ τῇ μεγάλῃ μʹ. εἰς τὸ τέλος τῶν ψαλμῶν, μετὰ τὸ κάθισμα λέγει ὁ Ἱερεὺς εἰς ἦχ. πλ. βʹ.

ΚΥριε ὁ τὸ πανάγιόν σου πνεῦμα ἐν τῇ τρίτῃ ὥρᾳ τοῖς ἀποστόλοις σου καταπέμψας, τοῦτο ἀγαθὲ μὴ ἀντανέλῃς ἀφ' ἡμῶν, ἀλλ' ἐγκαίνισον ἡμῖν δεομένοις σου.

Τὸ αὐτὸ ὁ χορὸς, ὁ δὲ Ἱερεὺς.

ΚΑρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Καὶ ὁ χορὸς πάλιν. Κύριε ὁ τὸ παναγ.

Καὶ ὁ Ἱερεὺς.

ΜΗ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

ὁ χορ. Κύριε ὁ τὸ.

Καὶ ὁ Ἱερεὺς λέγει πάλιν τὸ αὐτό. Κύριε ὁ τὸ παν. εἶτα Δόξα καὶ νῦν, Θεοτόκε σὺ εἶ ἡ ἄμπελος. καὶ τὰ λοιπὰ ὡς ἔθος, σὺν τοῖς κδʹ. Κύριε ἐλέησ. καὶ εἰς τὸ τέλος τῆς εὐχῆς.

Δόξα σοι Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν. Δόξα Πατρὶ καὶ.

Καὶ ταύτην τὴν ἀπόλυσ. λέγει ὁ Ἱερεύς.

Η Χάρις τοῦ παναγίου, καὶ ἀγαθοῦ καὶ ζωοποιοῦ πνεύματος εἴη μετὰ πάντων ἡμῶν. ὁ χορ. Ἀμήν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

# ΩΡΑ ΕΚΤΗ

## Ο ΙΕΡΕΥΣ ΑΡΧΕΤΑΙ.

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, καὶ λέγονται τὰ ἄλλα πάντα ὡς ἔθος. εἶτα οἱ ψαλμοὶ, ὧν α'. ὁ νγ'.

Ο Θεὸς [1] ἐν τῷ ὀνόματί σου σῶσόν με, * καὶ ✝ ἐν τῇ δυνάμει σου κρινεῖς με.

Ο' Θεὸς [2] εἰσάκουσον τῆς προσευχῆς μου, * ἐνώ- ✝ πισαι τὰ ῥήματα τοῦ στόματός μου.

Ο'τι ἀλλότριοι ἐπανέστησαν ἐπ' ἐμὲ, καὶ κραταιοὶ ἐζήτησαν τὴν ψυχήν μου, * καὶ οὐ προέθεντο τὸν Θεὸν ἐνώπιον αὐτῶν.

Ι'δοὺ γὰρ ὁ Θεὸς βοηθεῖ μοι, * καὶ ὁ κύριος ἀντιλήπτωρ τῆς ψυχῆς μου.

Α'ποστρέψει τὰ κακὰ τοῖς ἐχθροῖς μου, * ἐν τῇ ἀληθείᾳ σου ἐξολόθρευσον αὐτοὺς, ἑκουσίως θύσω σοι.

Ε'ξομολογήσομαι τῷ ὀνόματί σου κύριε, ὅτι ἀγαθὸν, * ὅτι ἐκ πάσης θλίψεως ἐῤῥύσω με, καὶ ἐν τοῖς ἐχθροῖς μου ἐπεῖδεν ὁ ὀφθαλμός μου. Ψαλ. νδ'.

Ε'Νώτισαι [1] ὁ Θεὸς τὴν προσευχήν μου, * καὶ ✝ μὴ ὑπερίδῃς τὴν δέησίν μου [2], πρόσχες μοι, καὶ ✝ εἰσάκουσόν μου.

Ε'λυπήθην ἐν τῇ ἀδολεσχίᾳ μου, * καὶ ἐταράχθην ἀπὸ φωνῆς ἐχθροῦ, καὶ ἀπὸ θλίψεως ἁμαρτωλοῦ.

Ο'τι ἐξέκλιναν ἐπ' ἐμὲ ἀνομίαν, * καὶ ἐν ὀργῇ ἐνεκότουν μοι.

Η καρ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἡ καρδία μου ἐταράχθη ἐν ἐμοί, * καὶ δειλία θανάτου ἐπέπεσεν ἐπ᾿ ἐμέ.

Φόβος, καὶ τρόμος ἦλθεν ἐπ᾿ ἐμέ, * καὶ ἐκάλυψέ με σκότος.

Καὶ εἶπα, τίς δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς, * καὶ πετασθήσομαι, καὶ καταπαύσω.

Ἰδοὺ ἐμάκρυνα φυγαδεύων, * καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ.

Προσεδεχόμην τὸν Θεὸν τὸν σῴζοντά με * ἀπὸ ὀλιγοψυχίας, καὶ ἀπὸ καταιγίδος.

Καταπόντισον κύριε, καὶ καταδίελε τὰς γλώσσας αὐτῶν, * ὅτι εἶδον ἀνομίαν, καὶ ἀντιλογίαν ἐν τῇ πόλει.

Ἡμέρας, καὶ νυκτὸς κυκλώσει αὐτὴν ἐπὶ τὰ τείχη αὐτῆς, * καὶ ἀνομία καὶ κόπος ἐν μέσῳ αὐτῆς, καὶ ἀδικία.

Καὶ οὐκ ἐξέλιπεν ἐκ τῶν πλατειῶν αὐτῆς * τόκος καὶ δόλος.

Ὅτι εἰ ὁ ἐχθρὸς ὠνείδισέ με, ὑπήνεγκα ἄν, * καὶ εἰ ὁ μισῶν με ἐπ᾿ ἐμὲ ἐμεγαλορρημόνησεν, ἐκρύβην ἂν ἀπ᾿ αὐτοῦ.

Σὺ δὲ ἄνθρωπε ἰσόψυχε, ἡγεμών μου καὶ γνωστέ μου * ὡς ἐπὶ τὸ αὐτὸ ἐγλύκανάς μοι ἐδέσματα, * ἐν τῷ οἴκῳ τοῦ Θεοῦ ἐπορεύθημεν ἐν ὁμονοίᾳ.

Ἐλθέτω δὴ θάνατος ἐπ᾿ αὐτούς, * καὶ καταβήτωσαν εἰς ᾅδου ζῶντες.

Ὅτι πονηρία ἐν ταῖς παροικίαις αὐτῶν, * ἐν μέσῳ αὐτῶν.

Ἐγὼ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Ἐγὼ πρὸς τὸν Θεὸν ἐκέκραξα, * καὶ ὁ κύριος εἰσήκουσέ μου.

Ἑσπέρας καὶ πρωῒ καὶ μεσημβρίας διηγήσομαι, καὶ ἀπαγγελῶ, * καὶ εἰσακούσεται τῆς φωνῆς μου.

Λυτρώσεται ἐν εἰρήνῃ τὴν ψυχήν μου ἀπὸ τῶν ἐγγιζόντων μοι, * ὅτι ἐν πολλοῖς ἦσαν σὺν ἐμοί.

Εἰσακούσεται ὁ Θεὸς, καὶ ταπεινώσει αὐτοὺς * ὁ ὑπάρχων πρὸ τῶν αἰώνων.

Οὐ γάρ ἐστιν αὐτοῖς ἀντάλλαγμα, * ὅτι οὐκ ἐφοβήθησαν τὸν Θεόν.

Ἐξέτεινε τὴν χεῖρα αὐτοῦ ἐν τῷ ἀποδιδόναι, * ἐβεβήλωσαν τὴν διαθήκην αὐτοῦ.

Διεμερίσθησαν ἀπὸ ὀργῆς τοῦ προσώπου αὐτοῦ, * καὶ ἤγγισαν αἱ καρδίαι αὐτῶν.

Ἡπαλύνθησαν οἱ λόγοι αὐτῶν ὑπὲρ ἔλαιον, * καὶ αὐτοί εἰσι βολίδες.

Ἐπίρριψον ἐπὶ κύριον τὴν μέριμνάν σου, * καὶ αὐτός σε διαθρέψει.

Οὐ δώσει εἰς τὸν αἰῶνα σάλον τῷ δικαίῳ * σὺ δὲ ὁ Θεὸς κατάξεις αὐτοὺς εἰς φρέαρ διαφθορᾶς.

Ἄνδρες αἱμάτων, καὶ δολιότητος οὐ μὴ ἡμισεύσωσι τὰς ἡμέρας αὐτῶν, * ἐγὼ δὲ κύριε ἐλπιῶ ἐπὶ σέ.

Ψαλ. ϟ΄.

Ὁ Κατοικῶν [1] ἐν βοηθείᾳ τοῦ ὑψίστου, * ἐν σκέπῃ τοῦ Θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται.

Ἐρεῖ [2] τῷ κυρίῳ ἀντιλήπτωρ μου εἶ, * καὶ καταφυγή μου

μου

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

μου ὁ Θεός μου βοηθός μου, καὶ ἐλπιῶ ἐπ' αὐτόν.

Ὅτι αὐτὸς ῥύσεταί σε ἐκ παγίδος θηρευτῶν, * καὶ ἀπὸ λόγου ταραχώδους.

Ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι, * καὶ ὑπὸ τὰς πτέρυγας αὐτοῦ ἐλπιεῖς.

Ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ, * οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ, ἀπὸ βέλους πετομένου ἡμέρας.

Ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου, * ἀπὸ συμπτώματος, καὶ δαιμονίου μεσημβρινοῦ.

Πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιάς, * καὶ μυριὰς ἐκ δεξιῶν σου, πρὸς σὲ δὲ οὐκ ἐγγιεῖ.

Πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις, * καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν ὄψῃ.

Ὅτι σὺ κύριε ἡ ἐλπίς μου, * τὸν ὕψιστον ἔθου καταφυγήν σου.

Οὐ προσελεύσεται πρὸς σὲ κακά, * καὶ μάστιξ οὐκ ἐγγιεῖ ἐν τῷ σκηνώματί σου.

Ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, * τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου.

Ἐπὶ χειρῶν ἀροῦσί σε, * μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου.

Ἐπὶ ἀσπίδα, καὶ βασιλίσκον ἐπιβήσῃ, * καὶ καταπατήσεις λέοντα καὶ δράκοντα.

Ὅτι ἐπ' ἐμὲ ἤλπισε, καὶ ῥύσομαι αὐτόν, * σκεπάσω αὐτόν, ὅτι ἔγνω τὸ ὄνομά μου.

Κεκράξεται πρὸς με, καὶ ἐπακούσομαι αὐτοῦ, * μετ' αὐτοῦ εἰμι· ἐν θλίψει.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἐξελοῦμαι αὐτὸν, καὶ δοξάσω αὐτόν, * μακρότητα ἡμερῶν ἐμπλήσω αὐτὸν, * καὶ δείξω αὐτῷ τὸ σωτήριόν μου. Δόξα, καὶ νῦν.

Ὅτι οὐκ ἔχομεν παῤῥησίαν διὰ τὰ πολλὰ ἡμῶν ἁμαρτήματα, σὺ τὸν ἐκ σοῦ γεννηθέντα δυσώπησον θεοτόκε παρθένε. Πολλὰ γὰρ ἰσχύει δέησις Μητρὸς πρὸς εὐμένειαν δεσπότου. μὴ παρίδῃς ἁμαρτωλῶν ἱκεσίας ἡ πάνσεμνος, ὅτι ἐλεήμων ἐστὶ, καὶ σώζειν βουλόμενος, ὁ καὶ παθεῖν ὑπὲρ ἡμῶν καταδεξάμενος.

Ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου κύριε, ὅτι ἐπτωχεύσαμεν σφόδρα, βοήθησον ἡμῖν ὁ Θεὸς ὁ σωτὴρ ἡμῶν, ἕνεκεν τῆς δόξης τοῦ ὀνόματός σου. κύριε ῥῦσαι ἡμᾶς, καὶ ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν ἕνεκεν τοῦ ὀνόματός σου.

Εἶτα τὸ τρισάγιον, Δόξα καὶ νῦν, Παναγία τριὰς, Κύριε ἐλέησον, Κύριε εὐλόγησον, Πάτερ ἡμῶν, καὶ ὁ Ἱερεὺς, Ὅτι σοῦ.

Σωτηρίαν εἰργάσω ἐν μέσῳ τῆς γῆς Χριστὲ ὁ Θεὸς, ἐπὶ σταυροῦ τὰς ἀχράντους σου χεῖρας ἐξέτεινας, ἐπισυνάγων πάντα τὰ ἔθνη κράζοντα, κύριε δόξα σοι.

Θείας γεγόναμεν κοινωνοὶ φύσεως, διὰ σοῦ θεοτόκε ἀειπάρθενε, Θεὸν γὰρ ἡμῖν σεσαρκωμένον ἔτεκες. διόσε καταχρέως πάντες εὐσεβῶς μεγαλύνομεν.

Ὁ Ἱερεὺς, Τοῦ κυρίου δεηθ. Κύριε ἐλέησον.

Ἰησοῦ Χριστὲ παντοδύναμε, ὁ κατὰ τὴν ἕκτην ὥραν ἐν τῷ τιμίῳ, καὶ ζωοποιῷ σου σταυρῷ θριαμβεύσας



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

τὰς ἀντικειμένας δυνάμεις, ῥῦσαι ἡμᾶς ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ, εὐχαῖς τῶν ἁγίων Πατέρων ἡμῶν, καὶ καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας ἡμῶν, ἐκκλινούσας ἀπὸ παντὸς κακοῦ, καὶ ἐνεργούσας ἡμῖν τὰς σωτηρίους σου ἐντολὰς, πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἐν δὲ τῇ μεγάλῃ μ'. εἰς τὸ τέλος τοῦ καθ.
λέγει ὁ Ἱερεὺς εἰς ἦχ. β'.

Ο Ἐν ἕκτῃ ἡμέρᾳ τε, καὶ ὥρᾳ τῷ σταυρῷ προσηλώσας τὴν ἐν τῷ παραδείσῳ τολμηθεῖσαν τῷ Ἀδὰμ ἁμαρτίαν, τῶν πταισμάτων ἡμῶν τὸ χειρόγραφον διάρρηξον Χριστὲ ὁ Θεὸς, καὶ σῶσον ἡμᾶς.

ὁ χορ. Τὸ αὐτό. Καὶ ὁ Ἱερεύς.

Ἐνώτισαι ὁ Θεὸς τὴν προσευχήν μου, καὶ μὴ ὑπερίδῃς τὴν δέησίν μου. ὁ χορ. ἀποκρίν. Ὁ ἐν ἕκτῃ ἡμέρ.

Καὶ ὁ Ἱερεύς.

Ἐγὼ πρὸς τὸν Θεὸν ἐκέκραξα, καὶ ὁ κύριος εἰσήκουσέ μου. Ὁ χορ. Ὁ ἐν ἕκτῃ. καὶ πάλιν ὁ Ἱερ. τὸ αὐτὸ λέγει. Ἔπειτα δόξα καὶ νῦν. Ὅτι οὐκ ἔχομεν.

Καὶ εἰς τὸ τέλ. αὐτοῦ λέγεται τροπ. τῆς προφητ. καθὼς εἰσὶ τετυπωμ. ἐν τῷ Τριῳδ. εἶτα προκ. τῆς προφητ. καὶ ἡ ἀναγν. τοῦ προφήτ. Ἠσαΐου, καὶ εἰς τὸ τέλος τοῦ προφητ. Ταχὺ προκατάλ. καὶ τὰ λοιπὰ ὡς εἰσὶ τετυπωμένα ἐν τῇ ϛ'. ὥρᾳ, Ἔπειτα Κύριε ἐλέησ. κδ'. εἶτα ἡ εὐχὴ, Ἰησοῦ Χριστὲ, καὶ Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς, ἐκ γ'. καὶ ἡ ἀπόλυσις.

ΩΡΑ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

# ΩΡΑ ΕΝΝΑΤΗ

## Ο ΙΕΡΕΥΣ.

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν. καὶ τὰ πάντα ὡς ἔθος. εἶτα

Ψαλ. πγʹ.

Ὡς ἀγαπητὰ[2] τὰ σκηνώματά σου κύριε τῶν ✝ δυνάμεων, * ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ κυρίου.

Ἡ καρδία μου, καὶ ἡ σάρξ μου * ἠγαλλιάσαντο ἐπὶ Θεὸν ζῶντα.

Καὶ γὰρ στρουθίον εὗρεν ἑαυτῷ οἰκίαν, * καὶ τρυγὼν νοσσιὰν ἑαυτῇ, οὗ θήσει τὰ νοσσία ἑαυτῆς.

Τὰ θυσιαστήριά σου[1] κύριε τῶν δυνάμεων * ὁ βασιλεύς μου καὶ ὁ Θεός μου. ✝

Μακάριοι οἱ κατοικοῦντες ἐν τῷ οἴκῳ σου, * εἰς τοὺς αἰῶνας τῶν αἰώνων αἰνέσουσί σε.

Μακάριος ἀνὴρ οὗ ἐστὶν ἀντίληψις αὐτοῦ παρὰ σοί, * ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐτοῦ διέθετο * εἰς τὴν κοιλάδα τοῦ κλαυθμῶνος, εἰς τὸν τόπον ὃν ἔθετο.

Καὶ γὰρ εὐλογίας δώσει ὁ νομοθετῶν, * πορεύσονται ἐκ δυνάμεως εἰς δύναμιν, * ὀφθήσεται ὁ Θεὸς τῶν Θεῶν ἐν Σιών.

Κύριε ὁ Θεὸς τῶν δυνάμεων, εἰσάκουσον τῆς προσευχῆς μου, * ἐνώτισαι ὁ Θεὸς Ἰακώβ.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὑπερασπιστὰ ἡμῶν ἴδε ὁ Θεός, * καὶ ἐπίβλεψον εἰς τὸ πρόσωπον τοῦ Χριστοῦ σου.

Ὅτι κρείσσων ἡμέρα μία * ἐν ταῖς αὐλαῖς σου ὑπὲρ χιλιάδας.

Ἐξελεξάμην παραρριπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ Θεοῦ μᾶλλον, * ἢ οἰκεῖν με ἐν σκηνώμασιν ἁμαρτωλῶν.

Ὅτι ἔλεος, καὶ ἀλήθειαν ἀγαπᾷ Κύριος, * ὁ Θεὸς χάριν, καὶ δόξαν δώσει.

Κύριος οὐ στερήσει τὰ ἀγαθὰ * τοὺς πορευομένους ἐν ἀκακίᾳ.

Κύριε ὁ Θεὸς τῶν δυνάμεων, * μακάριος ἄνθρωπος ὁ ἐλπίζων ἐπὶ σέ.

Ψαλ. πδʹ.

Εὐδόκησας [2] κύριε τὴν γῆν σου, * ἀπέστρεψας † τὴν αἰχμαλωσίαν Ἰακώβ.

Ἀφῆκας τὰς ἀνομίας τοῦ λαοῦ σου, * ἐκάλυψας πάσας τὰς ἁμαρτίας αὐτῶν.

Κατέπαυσας πᾶσαν τὴν ὀργήν σου, * ἀπέστρεψας ἀπὸ ὀργῆς θυμοῦ σου.

Ἐπίστρεψον ἡμᾶς ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν, * καὶ ἀπόστρεψον τὸν θυμόν σου ἀφ᾽ ἡμῶν.

Μὴ εἰς τοὺς αἰῶνας ὀργισθῇς ἡμῖν, * ἢ διατενεῖς τὴν ὀργήν σου ἀπὸ γενεᾶς εἰς γενεάν.

Ὁ Θεὸς σὺ ἐπιστρέψας ζωώσεις ἡμᾶς, * καὶ ὁ λαός σου εὐφρανθήσεται ἐπὶ σοί.

Δεῖξον [1] ἡμῖν κύριε τὸ ἔλεός σου, * καὶ τὸ σωτήριόν † σου δῴης ἡμῖν. Ἀκού-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἀκούσομαι τί λαλήσει ἐν ἐμοὶ κύριος ὁ Θεός, * ὅτι λαλήσει εἰρήνην ἐπὶ τὸν λαὸν αὐτοῦ, * καὶ ἐπὶ τοὺς ὁσίους αὐτοῦ, καὶ ἐπὶ τοὺς ἐπιστρέφοντας καρδίαν ἐπ' αὐτόν.

Πλὴν ἐγγὺς τῶν φοβουμένων αὐτὸν τὸ σωτήριον αὐτοῦ, * τοῦ κατασκηνῶσαι δόξαν ἐν τῇ γῇ ἡμῶν.

Ἔλεος καὶ ἀλήθεια συνήντησαν, * δικαιοσύνη, καὶ εἰρήνη κατεφίλησαν.

Ἀλήθεια ἐκ τῆς γῆς ἀνέτειλε, * καὶ δικαιοσύνη ἐκ τοῦ οὐρανοῦ διέκυψε.

Καὶ γὰρ ὁ κύριος δώσει χρηστότητα, * καὶ ἡ γῆ ἡμῶν δώσει τὸν καρπὸν αὐτῆς.

Δικαιοσύνη ἐνώπιον αὐτοῦ προπορεύσεται, * καὶ θήσει εἰς ὁδὸν τὰ διαβήματα αὐτοῦ.

Ψαλ. πε'.

Κλῖνον [2] κύριε τὸ οὖς σου, καὶ ἐπάκουσόν μου, * ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγώ.

Φύλαξον τὴν ψυχήν μου, ὅτι ὅσιός εἰμι, * σῶσον τὸν δοῦλόν σου ὁ Θεός μου τὸν ἐλπίζοντα ἐπὶ σέ.

Ἐλέησόν με κύριε, * ὅτι πρὸς σὲ κεκράξομαι ὅλην τὴν ἡμέραν.

Εὔφρανον τὴν ψυχὴν τοῦ δούλου σου, * ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ὅτι σὺ κύριε χρηστὸς καὶ ἐπιεικὴς * καὶ πολυέλεος πᾶσι τοῖς ἐπικαλουμένοις σε.

Ἐνώτισαι κύριε τὴν προσευχήν μου, * καὶ πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἐν ἡμέρᾳ θλίψεώς μου ἐκέκραξα πρὸς σέ, * ὅτι ἐπήκουσάς μου.

Οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς κύριε, * καὶ οὐκ ἔστι κατὰ τὰ ἔργα σου.

Πάντα τὰ ἔθνη ὅσα ἐποίησας ἥξουσι, * καὶ προσκυνήσουσιν ἐνώπιόν σου κύριε.

Καὶ δοξάσουσι τὸ ὄνομά σου, ὅτι μέγας εἶ σύ, * καὶ ποιῶν θαυμάσια, σὺ εἶ Θεὸς μόνος.

Ὁδήγησόν με κύριε ἐν τῇ ὁδῷ σου, * καὶ πορεύσομαι ἐν τῇ ἀληθείᾳ σου. †

Εὐφρανθήτω ἡ καρδία μου, * τοῦ φοβεῖσθαι τὸ ὄνομά σου.

Ἐξομολογήσομαί σοι κύριε ὁ Θεός μου ἐν ὅλῃ καρδίᾳ μου, * καὶ δοξάσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα.

Ὅτι τὸ ἔλεός σου μέγα ἐπ' ἐμέ, * καὶ ἐρρύσω τὴν ψυχήν μου ἐξ ᾅδου κατωτάτου.

Ὁ Θεὸς παράνομοι ἐπανέστησαν ἐπ' ἐμέ, * καὶ συναγωγὴ κραταιῶν ἐζήτησαν τὴν ψυχήν μου, * καὶ οὐ προέθεντό σε ἐνώπιον αὐτῶν.

Καὶ σὺ κύριε ὁ Θεός μου οἰκτίρμων, καὶ ἐλεήμων, * μακρόθυμος, καὶ πολυέλεος, καὶ ἀληθινός, ἐπίβλεψον ἐπ' ἐμέ, καὶ ἐλέησόν με.

Δὸς τὸ κράτος σου τῷ παιδί σου, * καὶ σῶσον τὸν υἱὸν τῆς παιδίσκης σου.

Ποίησον μετ' ἐμοῦ σημεῖον εἰς ἀγαθόν, * καὶ ἰδέτωσαν οἱ μισοῦντές με, καὶ αἰσχυνθήτωσαν.

Ὅτι

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὅτι σὺ κύριε ἐβοήθησάς μοι, * καὶ παρεκάλεσάς με.

Δόξα. καὶ νῦν.

Ὁ Διʼ ἡμᾶς γεννηθεὶς ἐκ παρθένου, καὶ σταύρωσιν ὑπομείνας ἀγαθὲ, ὁ θανάτῳ τὸν θάνατον σκυλεύσας, καὶ ἔγερσιν δείξας ὡς Θεὸς, μὴ παρίδῃς οὓς ἔπλασας τῇ χειρί σου. Δεῖξον τὴν φιλανθρωπίαν σου ἐλεήμων, δέξαι τὴν τεκοῦσάν σε Θεοτόκον πρεσβεύουσαν ὑπὲρ ἡμῶν, καὶ σῶσον σωτὴρ ἡμῶν λαὸν ἀπεγνωσμένον.

Μὴ δὴ παραδώῃς ἡμᾶς εἰς τέλος, διὰ τὸ ὄνομά σου τὸ ἅγιον, καὶ μὴ διασκεδάσῃς τὴν διαθήκην σου, καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφʼ ἡμῶν, διὰ Ἀβραὰμ τὸν ἠγαπημένον ὑπὸ σοῦ, καὶ διὰ Ἰσαὰκ τὸν δοῦλόν σου, καὶ Ἰσραὴλ τὸν ἅγιόν σου.

Ἔπειτα τὸ τρισάγιον. Παναγία τριάς. Πάτερ ἡμῶν. καὶ Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία.

Βλέπων ὁ λῃστὴς τὸν ἀρχηγὸν τῆς ζωῆς ἐπὶ σταυροῦ κρεμάμενον ἔλεγεν. εἰμὴ Θεὸς ὑπῆρχε σαρκωθεὶς, ὁ σὺν ἡμῖν σταυρωθεὶς, οὐκ ἂν ὁ ἥλιος τὰς ἀκτῖνας ἐναπέκρυψεν, οὐδὲ ἡ γῆ σειομένη ἐκυμαίνετο. ἀλλʼ ὁ πάντων ἀνεχόμενος μνήσθητί μου κύριε ἐν τῇ βασιλείᾳ σου.

Τὸν ἀμνὸν, καὶ ποιμένα, καὶ σωτῆρα τοῦ κόσμου ἐν τῷ σταυρῷ θεωροῦσα ἡ τεκοῦσα, ἔλεγε δακρύουσα. ὁ μὲν κόσμος ἀγάλλεται δεχόμενος τὴν λύτρωσιν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

σιν. τὰ δὲ σπλάγχνα μου φλέγονται, ὁρῶντός σου τὴν σταύρωσιν, ἣν ὑπὲρ πάντων ὑπομένεις ὁ υἱὸς, καὶ Θεός μου.

Ὁ ἱερ. Τοῦ κυρίου δεηθ. Κύριε ἐλέησον.

Δέσποτα κύριε ὁ Θεὸς ἡμῶν ὁ κατὰ τὴν ἐννάτην ὥραν τῇ ὑποδείξει τοῦ κορυφαίου τῶν ἀποστόλων Πέτρου, καὶ Ἰωάννου ἐκδιδάξας ἡμᾶς προσεύχεσθαι, καὶ ἐξιλεοῦσθαί σε, ἀπονέκρωσον τὸ τῆς σαρκὸς ἡμῶν φρόνημα, εὐχαῖς τῶν ἁγίων πατέρων ἡμῶν, ἵνα τῷ σῷ ζῶντες θελήματι εὐαρεστῶμεν σοι πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. εἶτα Τὴν τιμιωτέραν, Ἔνδοξε θεοτόκε ἀειπάρθενε. Δέσποτα θεὲ Πάτερ. καὶ ἀπόλυσις ὡς ἔθος.

Ἐν δὲ τῇ μεγάλῃ μ΄. μετὰ τὸ καθ. λέγει ὁ Ἱερ. εἰς ἦχ. πλ. δ΄.

Ὁ Ἐν τῇ ἐννάτῃ ὥρᾳ δι' ἡμᾶς σαρκὶ θανάτου γευσάμενος, νέκρωσον τῆς σαρκὸς ἡμῶν τὸ φρόνημα Χριστὲ ὁ Θεὸς, καὶ σῶσον ἡμᾶς. τὸ αὐτὸ καὶ ὁ χορ. Ἐγγισάτω ἡ δέησίς μου ἐνώπιόν σου κύριε, κατὰ τὸ λόγιόν σου συνέτισόν με. ὁ χορ. Ὁ ἐν τῇ ἐννάτῃ. Εἰσέλθοι τὸ ἀξίωμά μου ἐνώπιόν σου κύριε, κατὰ τὸ λόγιόν σου ῥῦσαί με. ὁ χορ. Ὁ ἐν τῇ ἐννάτῃ.

Καὶ πάλιν ὁ ἱερεὺς, Ὁ ἐν τῇ ἐννάτῃ. εἶτα Δόξα καὶ νῦν, Ὁ δι' ἡμᾶς, καὶ τὰ προγεγραμμ. καὶ ἐν τῷ τέλει, μετὰ τὸ κύριε ἐλέησ. κδ΄. ἡ εὐχή. Δέσποτα κύριε ὁ Θεὸς ἡμῶν. καὶ εἰς τὸ τέλος τῆς αὐτῆς λέγονται ἀμέσως οἱ μακαρισμοὶ οὗτοι. Ὁ Ἱερεὺς λέγει.

Ἐν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἐν τῇ βασιλείᾳ σου μνήσθητι ἡμῶν κύριε.

Μακάριοι οἱ πτωχοὶ τῷ Πνεύματι, ὅτι αὐτῶν ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν. ὁ χορ. Μνήσθητι ἡμῶν κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου.

Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται. ὁ χορ. Μνήσθητι ἡμῶν κύριε.

Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν. ὁ χορ. Μνήσθητι ἡμῶν κύριε.

Μακάριοι οἱ πεινῶντες, καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται. ὁ χορ. Μνήσθητι ἡμῶν.

Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται. ὁ χορ. Μνήσθητι ἡμῶν.

Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται. Μνήσθητι ἡμῶν,

Μακάριοι εἰρηνοποιοὶ, ὅτι αὐτοὶ Υἱοί Θεοῦ κληθήσονται. Μνήσθητι ἡμῶν.

Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν. Μνήσθητι ἡμῶν.

Μακάριοι ἐστὲ, ὅταν ὀνειδίσωσιν ἡμᾶς, καὶ διώξωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ᾿ ὑμῶν, ψευδόμενοι ἕνεκεν ἐμοῦ. Μνήσθητί ἡμῶν.

Χαίρετε, καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς. Μνήσθητι ἡμῶν κύριε.

Δόξα Πατρὶ, καὶ Υἱῷ, καὶ ἁγίῳ Πνεύματι. Μνήσθ.

Καὶ νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μνήσθητι ἡμῶν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ὁ χορ. Μνήσθητι ἡμῶν κύριε, ὅταν ἔλθης ἐν τῇ βασιλείᾳ σου.

Μνήσθητι ἡμῶν δέσποτα, ὅταν ἔλθης ἐν τῇ βασιλείᾳ σου.

Καὶ ὁ Ἱερεύς.

Μνήσθητι ἡμῶν ἅγιε, ὅταν ἔλθης ἐν τῇ βασιλείᾳ σου.

Χορὸς ἁγίων ἀγγέλων, καὶ ἀρχαγγέλων μετὰ πασῶν τῶν ἐπουρανίων δυνάμεων ὑμνεῖ τε καὶ λέγει, ἅγιος, ἅγιος, ἅγιος κύριος σαβαώθ, πλήρης ὁ οὐρανὸς, καὶ ἡ γῆ τῆς δόξης σου, ὡσαννὰ ἐν τοῖς ὑψίστοις, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου, ὡσαννὰ ἐν τοῖς ὑψίστοις.

Καὶ εὐθέως τὸ ἀποστολικὸν σύμβολον.

Πιστεύω εἰς ἕνα Θεὸν, πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ, καὶ γῆς, ὁρατῶν τε πάντων, καὶ ἀοράτων. Καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν, τὸν υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ. Τὸν ἐκ τοῦ πατρὸς γεννηθέντα, πρὸ πάντων τῶν αἰώνων. Φῶς ἐκ φωτὸς, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ. Γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρὶ, δι' οὗ τὰ πάντα ἐγένετο. Τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν. Καὶ σαρκωθέντα ἐκ Πνεύματος ἁγίου, καὶ Μαρίας τῆς παρθένου, καὶ ἐνανθρωπήσαντα. Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου, καὶ παθόντα, καὶ ταφέντα. Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς γραφάς. Καὶ

ἀνελ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ πατρός. Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ κύριον, τὸ ζωοποιὸν, τὸ ἐκ τοῦ Πατρὸς καὶ Υἱοῦ ἐκπορευόμενον. Τὸ σὺν Πατρὶ, καὶ Υἱῷ συμπροσκυνούμενον, καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν. Εἰς μίαν ἁγίαν καθολικὴν, καὶ ἀποστολικὴν ἐκκλησίαν. Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. Προσδοκῶ ἀνάστασιν νεκρῶν, καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

Εἶτα τὸ Πάτερ ἡμῶν, ὅτι σοῦ, τὸ ἀπολυτίκιον κατὰ τὴν ἡμέραν τῆς ἑβδομάδος. καὶ ἡ ἀπόλυσις. Εὐπρόσδεκτον. Καὶ μετὰ ταῦτα ψάλλεται ἡ προηγιασμένη λειτουργία καθεκάστην (χωρὶς τῶν σαββάτων, καὶ Κυριακῶν, καὶ τῆς ἑορτῆς τῶν ἁγίων μ΄. μαρτύρων, καὶ τοῦ εὐαγγελισμοῦ) ἐν ᾗ λέγεται ἡ ἑσπερινὴ ἀκολουθία, οὕτω. μετὰ τὸν προοιμιακὸν ργ΄. ψαλμὸν, καὶ τὰ εἰρηνικὰ, εἰς τὸ Κύριε ἐκέκραξα ψάλλονται στιχηρὰ ϛ΄. Δόξα καὶ νῦν θεοτοκίον, τὰ προκείμ. καὶ ἀναγν. καὶ μετὰ τὸ τέλος τῆς παροιμίας τὸ Κατευθ. εἶτα τὸ Εὐαγγέλιον, κατὰ τάξιν τοῦ Λειτουργικοῦ. μετὰ δὲ τὸ εὐαγγ. ᾄδεται ἐν τῷ χορῷ οὕτως, ὅτε δὲ οὐ λέγεται εὐαγγ. μετὰ τὸ Κατευθ.

Νῦν αἱ δυνάμεις τῶν οὐρανῶν σὺν ἡμῖν ἀοράτως λατρεύουσιν. ἰδοὺ γὰρ εἰσπορεύεται ὁ βασιλεὺς τῆς δό-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

δόξης. ἰδοὺ θυσία μυστικὴ τετελειωμένη δορυφορεῖται. πίστει, καὶ πόθῳ προσέλθωμεν, ἵνα μέτοχοι ζωῆς αἰωνίου γενώμεθα.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

ΔΕ'ξαι φωνὰς οὐράνιε, βασιλεῦ, σωτὴρ ἡμῶν.

Ὑ'πὸ ἡμῶν τῶν ἐπὶ γῆς, ἐνώπιον, καὶ ὑμνούντων σε.

Τῷ ἀκοιμήτῳ ὄμματι, ἐπίβλεψον φιλάνθρωπε.

Ε'ις τὴν ἡμῶν ἀσθένειαν, καὶ δὸς ἡμῖν κατάνυξιν.

Δέξαι τὴν προσευχὴν ἡμῶν, καὶ ἄνες ταῖς ψυχαῖς ἡμῶν.

Μὴ ματαιώσῃς ἡμῶν αἱ ἁμαρτίαι δέησιν.

Τοῦ ὀδυρμοῦ τῆς κρίσεως, ῥῦσαι ἡμᾶς τοὺς δούλους σου.

Καὶ τῶν ἁγίων τοῦ χοροῦ τοὺς δούλους σου ἀξίωσον.

Δόξα Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Κοινωνικόν.

ΓΕύσασθε, καὶ ἴδετε, ὅτι Χρηστὸς ὁ κύριος, μακάριος ἀνὴρ, ὃς ἐλπίζει ἐπ' αὐτόν.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα. γ'.

Ἔπειτα λέγεται, Ε'ίη τὸ ὄνομα τοῦ κυρίου, καὶ μετὰ τὸ Εὐλογία κυρίου ἐφ' ἡμᾶς λέγονται Ψαλ. λγ'. Εὐλογήσω τὸν κύριον. καὶ Ψαλ. ρμδ'. Ὑ'ψώσω σε. ἐκ τοῦ Ψαλτηρίου. Καὶ ἄλλα ὡς ἐν τῷ Λειτουργικῷ.

ΑΚΟ-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΕΣΠΕΡΙΝΟΥ.

Ἄρχεται ὁ ἑβδομαδάριος οὕτως.

Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν. Τὸ πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν. ὁ χορ. Ἀμήν.

Δεῦτε προσκυνήσωμεν τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε προσκυνήσωμεν, καὶ προσπέσωμεν Χριστῷ τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε προσκυνήσωμεν, καὶ προσπέσωμεν αὐτῷ Χριστῷ τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν.

Εἶτα Ψαλ. ργ΄.

Εὐλόγει [2] ἡ ψυχή μου τὸν κύριον, * κύριε ὁ Θεός ✝ μου ἐμεγαλύνθης σφόδρα.

Ἐξομολόγησιν, καὶ μεγαλοπρέπειαν ἐνεδύσω * ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον.

Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν, * ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ.

Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, * ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων.

Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα * καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.

Ὁ θε-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, * οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, * ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα.

Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, * ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν.

Ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνουσι πεδία εἰς τὸν τόπον, * ὃν ἐθεμελίωσας αὐτά.

Ὅριον ἔθου ὃ οὐ παρελεύσονται, * οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν.

Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, * ἀναμέσον τῶν ὀρέων διελεύσονται ὕδατα.

Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, * προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν.

Ἐπ' αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει, * ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν.

Ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ, * ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ.

Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, * καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων.

Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς, * καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου.

Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ, * καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει.

Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, * αἱ κέδροι τοῦ Λιβάνου ἃς ἐφύτευσας.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἐκεῖ στρουθία ἐννοσσεύσουσι, * τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν.

Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, * πέτρα καταφυγὴ τοῖς λαγωοῖς.

Ἐποίησε σελήνην εἰς καιρούς, * ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.

Ἔθου σκότος, καὶ ἐγένετο νύξ, * ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ.

Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι, * καὶ ζητῆσαι παρὰ τοῦ Θεοῦ βρῶσιν αὐτοῖς.

Ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν, * καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιταθήσονται.

Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, * καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας.

Ὡς [1] ἐμεγαλύνθη τὰ ἔργα σου κύριε, * πάντα ἐν τῇ σοφίᾳ ἐποίησας.

Ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου, * αὕτη ἡ θάλασσα ἡ μεγάλη, καὶ εὐρύχωρος.

Ἐκεῖ ἑρπετὰ ὧν οὐκ ἔστιν ἀριθμός, * ζῶα μικρὰ μετὰ μεγάλων.

Ἐκεῖ πλοῖα διαπορεύονται, * δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῷ.

Πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον, * δόντος σου αὐτοῖς συλλέξουσιν.

Ἀνοίξαντός σου τὴν χεῖρα, * τὰ σύμπαντα πλησθήσονται χρηστότητος.

Ἀπο-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἀποστρέψαντος δέ σου τὸ πρόσωπον ταραχθήσονται,* ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι,* καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσι.

Ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται,* καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.

Ἤτω ἡ δόξα κυρίου εἰς τοὺς αἰῶνας,* εὐφρανθήσεται κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ.

Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν,* ὁ ἁπτόμενος τῶν ὀρέων καὶ καπνίζονται.

Ἄσω τῷ κυρίῳ ἐν τῇ ζωῇ μου,* ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου,* ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ κυρίῳ.

Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς,* καὶ ἄνομοι ὥστε μὴ ὑπάρχειν αὐτούς.

Εὐλόγει ἡ ψυχή μου τὸν κύριον. Δόξα καὶ νῦν, ἀλλ. ἀλλ. ἀλλ. δόξα σοι ὁ Θεός, ἐκ γ΄.

Εἶτα ὁ Ἱερεὺς λέγει τὰ εἰρηνικά.

Ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν.

ὁ χορ. Κύριε ἐλέησον.

Ἐὰν ἄγεται μεγάλη ἑορτή, πάντα λέγει ὥσπερ ἐν τῷ ὄρθρῳ, εἰ μὴ ἀκολουθεῖ.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι. ὁ χορ. Κύριε ἐλέησον.

Τῆς παναγίας ἀχράντου ὑπερευλογημένης ἐνδόξου δεσποίνης ἡμῶν θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας,

μετὰ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα. Σοὶ κύριε.

Καὶ τὴν εὐχήν.

Κύριε οἰκτίρμον, καὶ ἐλεῆμον, μακρόθυμε, καὶ πολυέλεε, ἐνώπισαι τὴν προσευχὴν ἡμῶν, καὶ πρόσχες τῇ φωνῇ τῆς δεήσεως ἡμῶν. ποίησον μεθ' ἡμῶν σημεῖον εἰς ἀγαθὸν, ὁδήγησον ἡμᾶς ἐν ὁδῷ σου τοῦ πορεύεσθαι ἐν τῇ ἀληθείᾳ σου. εὔφρανον τὰς καρδίας ἡμῶν εἰς τὸ ὄνομά σου τὸ ἅγιον, διότι μέγας εἶ, καὶ ποιῶν θαυμάσια. Σὺ εἶ ὁ Θεὸς μόνος, καὶ οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς κύριε, δυνατὸς ἐν ἰσχύϊ, ἀγαθὸς ἐν ἐλέει, εἰς τὸ βοηθεῖν, καὶ παρακαλεῖν, καὶ σώζειν πάντας τοὺς ἐλπίζοντας εἰς τὸ ὄνομά σου τὸ ἅγιον. Ὅτι πρέπει σοι πᾶσα δόξα, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν. Ἀμήν. Εἰρήνη πᾶσι. Καὶ τῷ Πνεύματί σου.

Τῷ Σαββάτῳ ἑσπέρας στιχολογεῖται τὸ Μακάριος ἀνὴρ, καὶ ἄρχεται στιχολογεῖσθαι ἀπὸ τοῦ Σαββ. τῆς Κυρ. τῶν ἁγίων πάντων, καὶ μόνον λέγεται ἡ πρώτη δόξα μέχρι τῆς ἑορτῆς τῆς ὑψώσεως τοῦ τιμίου σταυροῦ, μεθ' ἣν λέγεται ἀεὶ ὅλον τὸ κάθισμα, μέχρι τοῦ σαββάτου πρὸ τῆς Κυρ. τοῦ Βαϊοφόρου καὶ μετὰ τὴν στιχολογίαν ὁ ἱερεὺς λέγει.

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν. Κύριε ἐλέησ. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλ. Κύριε ἐλέησ.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Τῆς παναγίας ἀχράντου. Σοὶ κύριε.

Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστὶν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καί.

Εἰρήνη πᾶσι. Καὶ τῷ Πνεύματί σου.

Εἶτα ἐκφώνως κατὰ τὸν ἦχ. τῆς ἡμέρας.

Κύριε ἐκέκραξα πρὸς σὲ, εἰσάκουσόν μου, εἰσάκουσόν μου κύριε.

Ψαλ. ρμ΄.

Κύριε ἐκέκραξα πρὸς σὲ, εἰσάκουσόν μου, πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου, * ἐν τῷ κεκραγέναι με πρὸς σὲ, εἰσάκουσόν μου κύριε.

Κατευθυνθήτω ἡ προσευχή μου ὡς θυμίαμα ἐνώπιόν σου, * ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινὴ, εἰσάκουσόν μου κύριε.

Θοῦ κύριε φυλακὴν τῷ στόματί μου, * καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου.

Μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρίας, * τοῦ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις.

Σὺν ἀνθρώποις ἐργαζομένοις τὴν ἀνομίαν, * καὶ οὐ μὴ συνδυάσω μετὰ τῶν ἐκλεκτῶν αὐτῶν.

Παιδεύσει με δίκαιος ἐν ἐλέει, καὶ ἐλέγξει με, * ἔλαιον δὲ ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου.

Ὅτι ἔτι καὶ ἡ προσευχή μου ἐν ταῖς εὐδοκίαις αὐτῶν, * κατεπόθησαν ἐχόμενα πέτρας οἱ κριταὶ αὐτῶν.

Ἀκού-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἀκούσονται τὰ ῥήματά μου ὅτι ἡδύνθησαν, * ὡσεὶ πάχος γῆς ἐρράγη ἐπὶ τῆς γῆς, διεσκορπίσθη τὰ ὀστᾶ αὐτῶν παρὰ τὸν ᾅδην.

Ὅτι πρὸς σὲ κύριε, κύριε οἱ ὀφθαλμοί μου, * ἐπὶ σοὶ ἤλπισα, μὴ ἀντανέλῃς τὴν ψυχήν μου.

Φύλαξόν με ἀπὸ παγίδος, ἧς συνεστήσαντό μοι, * καὶ ἀπὸ σκανδάλων τῶν ἐργαζομένων τὴν ἀνομίαν.

Πεσοῦνται ἐν ἀμφιβλήστρῳ αὐτῶν οἱ ἁμαρτωλοὶ, * καταμόνας εἰμὶ ἐγὼ, ἕως ἂν παρέλθω.

Ψαλ. ρμα΄.

Φωνῇ μου πρὸς κύριον ἐκέκραξα, * φωνῇ μου πρὸς κύριον ἐδεήθην.

Ἐκχεῶ ἐνώπιον αὐτοῦ τὴν δέησίν μου, * τὴν θλῖψίν μου ἐνώπιον αὐτοῦ ἀπαγγελῶ.

Ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὸ πνεῦμά μου, * καὶ σὺ ἔγνως τὰς τρίβους μου.

Ἐν ὁδῷ ταύτῃ ᾗ ἐπορευόμην, * ἔκρυψαν παγίδα μοι.

Κατενόουν εἰς τὰ δεξιὰ, καὶ ἐπέβλεπον, * καὶ οὐκ ἦν ὁ ἐπιγινώσκων με.

Ἀπώλετο φυγὴ ἀπ' ἐμοῦ, * καὶ οὐκ ἔστιν ὁ ἐκζητῶν τὴν ψυχήν μου.

Ἐκέκραξα πρὸς σὲ κύριε, εἶπα σὺ εἶ ἡ ἐλπίς μου, * μερίς μου εἶ ἐν γῇ ζώντων.

Πρόσχες πρὸς τὴν δέησίν μου, * ὅτι ἐταπεινώθην σφόδρα.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ῥῦσαί με ἐκ τῶν καταδιωκόντων με, * ὅτι ἐκραταιώθησαν ὑπὲρ ἐμέ.

Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου, * τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου.

Ἐμὲ ὑπομενοῦσι δίκαιοι, * ἕως οὗ ἀνταποδῷς μοι.

Ψαλ. ρκθʹ.

Ἐκ βαθέων ἐκέκραξά σοι κύριε, * κύριε εἰσάκουσον τῆς φωνῆς μου. ☩

Γενηθήτω τὰ ὦτα σου προσέχοντα * εἰς τὴν φωνὴν τῆς δεήσεώς μου.

Ἐὰν ἀνομίας παρατηρήσῃς κύριε, κύριε τίς ὑποστήσεται; * ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν.

Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε κύριε, * ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου, ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν κύριον.

Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτὸς, * ἀπὸ φυλακῆς πρωΐας ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν κύριον.

Ὅτι παρὰ τῷ κυρίῳ τὸ ἔλεος, καὶ πολλὴ παρ' αὐτῷ λύτρωσις, * καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ. ☩

Ψαλ. ριϛʹ.

Αἰνεῖτε τὸν κύριον πάντα τὰ ἔθνη, * ἐπαινέσατε αὐτὸν πάντες οἱ λαοί.

Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς, * καὶ ἡ ἀλήθεια τοῦ κυρίου μένει εἰς τὸν αἰῶνα.

Κύριε σωτὴρ ἐλέησον ἡμᾶς.

Με-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Μετὰ δὲ τὰ στιχηρὰ κατὰ τὴν ἡμέραν, καὶ Δόξα, καὶ νῦν.

ὁ Ἱερεὺς λέγει, Σοφία ὀρθοί.

Καὶ ὁ Κληρικός.

Φῶς ἱλαρὸν ἁγίας δόξης ἀθανάτου πατρὸς, οὐρανίου ἁγίου μάκαρος Ἰησοῦ Χριστὲ, ἐλθόντες ἐπὶ τὴν ἡλίου δύσιν, ἰδόντες φῶς ἑσπερινὸν, ὑμνοῦμεν Πατέρα, Υἱὸν, καὶ ἅγιον Πνεῦμα Θεὸν, ἄξιόν σε ἐν πᾶσι καιροῖς ὑμνεῖσθαι φωναῖς αἰσίαις, υἱὲ Θεοῦ ζωὴν ὁ διδοὺς, διὸ ὁ κόσμος σὲ δοξάζει.

Καὶ μετὰ τοῦτο λέγει ὁ Ἱερεύς.

Π ρόσχωμεν, εἰρήνη πᾶσι.

ὁ χορ. Κ αὶ τῷ πνεύματί σου.

ὁ Ἱερ. Σ οφία.

ὁ χορ. Ψ αλμὸς τῷ Δαβίδ.

ὁ Ἱερ. Π ρόσχωμεν.

Καὶ λέγονται τὰ προκείμενα τῆς ἡμέρας.

Τῇ Κυρ.

Ἰ δοὺ δὴ εὐλογεῖτε τὸν κύριον, πάντες οἱ δοῦλοι κυρίου. στιχ.

Οἱ ἑστῶτες ἐν οἴκῳ κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.

Τῇ β'.

Κ ύριος εἰσακούσεταί μου, ἐν τῷ κεκραγέναι με πρὸς αὐτόν. στιχ.

Ἐ ν τῷ ἐπικαλεῖσθαι με εἰσήκουσέ μου, ὁ Θεὸς τῆς δικαιοσύνης μου.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Τῇ γ'.

Τὸ ἔλεός σου κύριε καταδιώξει με, πάσας τὰς ἡμέρας τῆς ζωῆς μου. στίχ.

Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει.

Τῇ δ'.

Ὁ Θεὸς ἐν τῷ ὀνόματί σου σῶσόν με, καὶ ἐν τῇ δυνάμει σου κρινεῖς με. στίχ.

Ὁ Θεὸς εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὰ ῥήματα τοῦ στόματός μου.

Τῇ ε'.

Ἡ βοήθειά μου παρὰ κυρίου, τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν. στίχ.

Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου.

Τῇ ς'.

Ὁ Θεὸς ἀντιλήπτωρ μου εἶ, τὸ ἔλεός σου προφθάσει με.

στίχ.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου ὁ Θεός, καὶ ἐκ τῶν ἐπανισταμένων ἐπ' ἐμὲ λύτρωσαί με.

Τῷ Σαβ.

Ὁ κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο. ἐκ β'. στίχ.

Ἐνεδύσατο κύριος δύναμιν, καὶ περιεζώσατο. ἅπαξ. στίχ.

Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται.

Ἐν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἐν τῇ Κυρ. τῆς Τυροφάγου, προκ. ἦχ. πλα. δ΄.

ΜΗ' ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ τοῦ παιδός σου, ὅτι θλίβομαι, ταχὺ ἐπάκουσόν μου, πρόσχες τῇ ψυχῇ μου, καὶ λύτρωσαι αὐτήν. στιχ.

Ἡ σωτηρία σου ὁ Θεὸς ἀντελάβετό μου.

Τῇ Κυρ. τῆς Ἀποκρέου, καὶ Ὀρθοδοξίας, προκ. ἦχ. πλα. δ΄.

Ε'Δωκας κληρονομίαν τοῖς φοβουμένοις τὸ ὄνομά σου κύριε. στιχ.

Ἀπὸ τῶν περάτων τῆς γῆς πρὸς σὲ ἐκέκραξα.

Δεῖ γινώσκειν, ὅτι ἐν μιᾷ τῶν Κυρ. τῆς ἁγίας μ΄. ψάλλεται τὸ, Ἔδωκας κληρονομίαν, καὶ ἐν ἑτέρᾳ τὸ, Μὴ ἀποστρέψῃς. μέχρι τῆς Κυρ. τῶν βαΐων.

Ἀπὸ δὲ τῆς Κυρ. τοῦ Θωμᾶ μέχρι τῆς παρασκευῆς πρὸ τῆς ἁγίας Πεντηκοστῆς, καὶ ἀπὸ τῆς ἑορτῆς τῆς κατὰ σάρκα Γεννήσεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μέχρι τῆς α΄. τοῦ Ἰαννουαρίου, λέγεται καθ' ἑκάστην ἡμέραν, τό.

ΤΙ'ς Θεὸς μέγας, ὡς ὁ Θεὸς ἡμῶν; σὺ εἶ ὁ Θεὸς ἡμῶν ὁ ποιῶν θαυμάσια μόνος. στιχ.

Ἐγνώρισας ἐν τοῖς λαοῖς τὴν δύναμίν σου, ἐλυτρώσω ἐν τῷ βραχίονί σου τὸν λαόν σου, τοὺς υἱοὺς Ἰακὼβ, καὶ Ἰωσήφ.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἐν δὲ ταῖς ἑορταῖς τῆς Ὑψώσεως τοῦ τιμίου σταυροῦ, καὶ Βαπτίσεως, καὶ Μεταμορφώσεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μέχρι τῆς η' ἡμέρας τῶν ἑορτῶν, λέγονται ταῦτα προκ. ἦχ. βαρ.

Ο Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, πάντα ὅσα ἠθέλησεν ἐποίησεν. στιχ.

Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ αἰγύπτου, οἴκου Ἰακὼβ ἐκ λαοῦ βαρβάρου.

Ἐν τῇ ἑορτῇ μόνον τῆς βαπτίσεως προστίθεται.

Η Θάλασσα εἶδε, καὶ ἔφυγεν. ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω. στιχ.

Τί σοι ἐστὶ θάλασσα, ὅτι ἔφυγες; καὶ σὺ Ἰορδάνη, ὅτι ἐστράφης εἰς τὰ ὀπίσω; καὶ πάλιν. Ο Θεὸς ἡμῶν ἐν τῷ.

Ὅταν δὲ ἑορτάζεται ἑορτὴ τῆς θεοτόκου, τότε ᾄδεται ἡ ᾠδὴ τῆς θεοτόκου. εἶτα λέγονται τὰ ἀναγνώσματα, ἐὰν δέῃ λέγεσθαι, καὶ μετὰ ταῦτα ὁ κληρικὸς λέγει.

Καταξίωσον κύριε ἐν τῇ ἑσπέρᾳ ταύτῃ ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς. εὐλογητὸς εἶ κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας, ἀμήν. Γένοιτο κύριε τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σοί. εὐλογητὸς εἶ κύριε, δίδαξόν με τὰ δικαιώματά σου. εὐλογητὸς εἶ δέσποτα, συνέτισόν με τὰ δικαιώματά σου. εὐλογητὸς εἶ ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου. Κύριε τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ρῶν σε μὴ παρίδῃς. σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ ψάλλονται τὰ στιχηρὰ, καὶ μεταξὺ τῶν στίχ. τὰ προκ. τῆς τυχούσης ἑορτῆς, ἢ οἱ παρόντες καθημερινοὶ στίχοι.

Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ, ἰδοὺ ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖρας τῶν κυρίων αὐτῶν, ὡς ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς κυρίας αὐτῆς, οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς κύριον τὸν Θεὸν ἡμῶν, ἕως οὗ οἰκτειρῆσαι ἡμᾶς.

Ἐλέησον ἡμᾶς, κύριε ἐλέησον ἡμᾶς, ὅτι ἐπὶ πολὺ ἐπλήσθημεν ἐξουδενώσεως, ἐπὶ πλεῖον ἐπλήσθη ἡ ψυχὴ ἡμῶν, τὸ ὄνειδος τοῖς εὐθηνοῦσι, καὶ ἡ ἐξουδένωσις τοῖς ὑπερηφάνοις.

Δόξα, καὶ νῦν, θεοτοκίον. καὶ τό.

Νῦν ἀπολύεις τὸν δοῦλόν σου δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ.

Ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου.

Ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν.

Φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Ἅγιος ὁ Θεὸς, ἅγιος ἰσχυρὸς, ἅγιος ἀθάνατος ἐλέησον ἡμᾶς.

ἐκ γ'. δόξα, καὶ νῦν. Παναγία τριάς. Πάτερ ἡμῶν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Εἶτα ὁ ἱερεὺς, Ὅτι σοῦ ἐστὶν. ὁ χορ. Ἀμήν. μετὰ ταῦτα λέγεται τὸ τροπ. ἢ τῆς ἡμέρας, ἢ τοῦ ἁγίου, ἢ τῆς ἑορτῆς. εἰδ' οὐκ ἔχει τροπ. ὡς ἐν τῷ καιρῷ τῆς τεσσαρακοστῆς, λέγονται ταῦτα.

Θεοτόκε παρθένε, χαῖρε κεχαριτωμένη Μαρία, ὁ κύριος μετὰ σοῦ, εὐλογημένη σὺ ἐν γυναιξὶ, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου, ὅτι σωτῆρα ἔτεκες τῶν ψυχῶν ἡμῶν. Δόξα.

Βαπτιστὰ τοῦ Χριστοῦ πάντων ἡμῶν μνήσθητι, ἵνα ῥυσθῶμεν τῶν ἀνομιῶν ἡμῶν. σοὶ γὰρ ἐδόθη χάρις πρεσβεύειν ὑπὲρ ἡμῶν. Θεοτοκίον.

Ὑπὸ τὴν σὴν εὐσπλαγχνίαν καταφεύγομεν θεοτόκε, τὰς ἡμῶν ἱκεσίας μὴ παρίδῃς ἐν περιστάσει. ἀλλ' ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, μόνη ἁγνὴ, μόνη εὐλογημένη. Εἶτα λέγει ὁ ἱερεύς.

Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν ἡμῶν τῷ κυρίῳ.

Κύριε ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς.

Κύριε ἐλέησον.

Ἐὰν ἄγεται μεγάλη ἑορτὴ, λέγει καὶ τὴν ἑσπέραν πᾶσαν, ὥσπερ ἐν τῷ ὄρθρ. εἰ μὴ ἀκολουθεῖ.

Τῆς παναγίας ἀχράντου ὑπερευλογημένης ἐνδόξου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα. ὁ χορός. Σοὶ κύριε.

Ὅτι

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι. Ἀμήν.

Εἰρήνη πᾶσι. Καὶ τῷ Πνεύματί σου.

Τὰς κεφαλὰς ὑμῶν τῷ κυρίῳ κλίνατε. Σοὶ κύριε.

Εὐχή.

Κύριε ὁ Θεὸς ἡμῶν ὁ κλίνας οὐρανοὺς, καὶ καταβὰς ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, ἔπιδε ἐπὶ τοὺς δούλους σου, καὶ ἐπὶ τὴν κληρονομίαν σου. σοὶ γὰρ τῷ φοβερῷ, καὶ φιλανθρώπῳ κριτῇ οἱ σοὶ δοῦλοι τὰς ἑαυτῶν ὑπέκλειναν κεφαλὰς, τοὺς ἑαυτῶν ὑπέταξαν αὐχένας, οὐ τὴν ἐξ ἀνθρώπων ἀναμένοντες βοήθειαν, ἀλλὰ τὸ σὸν περιμένοντες ἔλεος, τὴν σὴν ἀπεκδεχόμενοι σωτηρίαν. οὓς διαφύλαξον ἐν παντὶ καιρῷ, καὶ κατὰ τὴν παροῦσαν ἑσπέραν, καὶ τὴν προσιοῦσαν νύκτα, ἀπὸ παντὸς κακοῦ, ἀπὸ πάσης ἀντικειμένης ἐνεργείας, διαλογισμῶν ματαίων, καὶ ἐνθυμήσεων πονηρῶν. Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον, καὶ δεδοξασμένον, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν. Ἀμήν.

Σοφία. ὁ χορ. Πάτερ εὐλόγησον.

Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ κληρικός.

Ἐπουράνιε βασιλεῦ, τοὺς πιστούς. ζήτ. εἰς τοὺς ἀίνους.

Καὶ ὁ Ἱερεύς. Δόξα σοι Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν.

ὁ χορ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ὁ χορ. δόξα καὶ νῦν. Κύριε ἐλ. κύριε ἐλ. εἶτα ὁ Ἱερ. λέγει μίαν τῶν κατὰ τὴν ἡμέραν ἀπολύσεων, τῶν τεθειμένων ἐν τῷ ὄρθρῳ. μεθ' ἣν λέγεται ἐν τῷ καιρῷ καὶ ἓν τῶν θεοτοκίων ἀντιφώνων, καὶ τελεῖται ὁ ἑσπερινός.

## ΔΟΞΑΙ ΤΗΣ ΕΒΔΟΜΑΔΟΣ,

Λεγόμεναι εἰς τὴν Ἑσπέραν.

Τῇ Κυριακῇ ἑσπέρας, Δόξα ἦχ. πλ. α'.

Ὅπου ἐπισκιάσει ἡ χάρις σου ἀρχάγγελε, ἐκεῖθεν τοῦ διαβόλου διώκεται ἡ δύναμις, οὐ φέρει γὰρ τῷ φωτί σου προσμένειν ὁ πεσὼν ἑωσφόρος. διὸ αἰτοῦμέν σε, τὰ πυρφόρα αὐτοῦ βέλη, τὰ καθ' ἡμῶν κινούμενα ἀπόσβεσον, τῇ μεσιτείᾳ σου λυτρούμενος ἡμᾶς ἐκ τῶν σκανδάλων αὐτοῦ, ἀξιύμνητε Μιχαὴλ ἀρχάγγελε.

Θεοτοκίον.

Φοβερὸν, καὶ παράδοξον, καὶ μέγα μυστήριον, ὁ ἀχώρητος ἐν γαστρὶ ἐχωρέθη. καὶ ἡ μήτηρ μετὰ τὸν τόκον παρθένος πάλιν διέμεινε. Θεὸν γὰρ ἐγέννησεν ἐξ αὐτῆς σαρκωθέντα, αὐτῷ βοήσωμεν, αὐτῷ τὸν ὕμνον εἴπωμεν, σὺν ἀγγέλοις ἀναμέλποντες. ἅγιος εἶ Χριστὲ ὁ Θεὸς, ὁ δι' ἡμᾶς ἐνανθρωπήσας, δόξα σοι.

Τῇ β'. ἑσπέρας, Δόξα ἦχ. πλ. δ'.

Βλέπε τὴν Ἐλισάβετ πρὸς τὴν παρθένον Μαριὰμ διαλεγομένην. τί παραγέγονας πρὸς με ἡ μήτηρ τοῦ κυρίου μου; σὺ Βασιλέα βαστάζεις, κἀγὼ στρατιώτην. σὺ τὸν νομοδότην, κἀγὼ τὸν νομοθέτην. σὺ τὸν λόγον, κἀγὼ τὴν φωνὴν, τὴν κηρύξασαν τὴν βασιλείαν τῶν οὐρανῶν.

Θεο-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Θεοτοκίον.

ΔΕ'σποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τῇ γ΄. ἑσπέρας, Δόξα καὶ νῦν, ἦχ. γ΄.

ΧΡιστὲ ὁ Θεὸς ἡμῶν, ὁ τὴν ἑκούσιόν σου σταύρωσιν, εἰς κοινὴν ἐξανάστασιν τοῦ γένους τῶν ἀνθρώπων καταδεξάμενος. καὶ τῷ καλάμῳ τοῦ σταυροῦ, βαφαῖς ἐρυθραῖς τοὺς σαυτοῦ δακτύλους αἱματώσας, τοῖς ἀφεσίμοις ἡμῶν βασιλικῶς ὑπογράψαι φιλανθρωπευσάμενος, μὴ παρίδῃς ἡμᾶς κινδυνεύοντας, καὶ πάλιν τὴν ἀπὸ σοῦ διάστασιν. ἀλλ' οἰκτείρησον μόνε μακρόθυμε τὸν ἐν περιστάσει λαόν σου, καὶ ἀνάστηθι, πολέμησον τοὺς πολεμοῦντας ἡμᾶς, ὡς παντοδύναμος.

Τῇ δ΄. ἑσπέρας, Δόξα ἦχ. πλ. δ΄.

ΤΩν ἀποστόλων τὸν χορὸν, ἀνυμνήσωμεν πάντες. ὡς δι' αὐτῶν ἐλπίζοντες, τὴν λύσιν τῶν πταισμάτων. Ἐκ τοῦ Χριστοῦ γὰρ ἔλαβον, χάριν καὶ ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων, καὶ τοῦ δεσμεῖν καὶ λύειν. δεῦτε λοιπὸν φιλέορτοι, βοῶμεν εὐχαρίστως. χαίροις Πέτρε ἀπόστολε, σὺν τῷ σεπτῷ Ἀνδρέᾳ, Ἰωάννη, Ἰάκωβε, υἱοὶ τοῦ Ζεβεδαίου. Βαρθολομαῖε, Φίλιππε, Θωμᾶ, μετὰ Ματθαίου. χαίροις Ματθία ἔνδοξε, καὶ Σίμων Κανανῖτα, καὶ Θαδδαῖε σοφώτατε, Ἰάκωβε Ἀλφαίου. χαίροις Παῦλε πανφίλτατε, λύρα τῆς Ἐκκλησίας.

χαί-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

χαίρετε ἀεισέβαστοι μαθηταὶ τοῦ Σωτῆρος. δωδεκάχορδον ὄργανον τοῦ θειοτάτου μέλους. σεπτοὶ δὲ ἑβδομήκοντα σὺν τῇ Μητρὶ τοῦ Λόγου. πρεσβεύσατε πρὸς Κύριον, ὅπως ἡμεῖς σωθῶμεν.

Θεοτοκίον.

Η Σκέπη σου θεοτόκε παρθένε ἰατρεῖον ὑπάρχει πνευματικόν. ἐν αὐτῷ γὰρ καταφεύγοντες, ψυχικῶν νοσημάτων λυτρούμεθα.

Τῇ ε'. ἑσπέρας, Δόξα καὶ νῦν. ἦχ. δ'.

Ο Συμμαχήσας Κύριε, τῷ πραοτάτῳ Δαβὶδ, ὑποτάξαι τὸν ἀλλόφυλον, τῷ πιστῷ ἡμῶν βασιλεῖ συμπολέμησον. καὶ τῷ ὅπλῳ τοῦ σταυροῦ κατάβαλλε τοὺς ἐχθροὺς ἡμῶν. δεῖξον εὔσπλαγχνε εἰς ἡμᾶς τὰ ἀρχαῖα ἐλέη σου. καὶ γνώτωσαν ἀληθῶς, ὅτι σὺ εἶ ὁ Θεὸς, καὶ ἐν σοὶ πεποιθότες νικῶμεν, πρεσβευούσης συνήθως τῆς ἀχράντου σου μητρὸς, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Τῇ ς'. ἑσπέρας, Δόξα ἦχ. πλ. β'.

ΣΥ εἶ ὁ Θεὸς ἡμῶν, ὁ ἐν σοφίᾳ τὰ πάντα δημιουργῶν, καὶ πληρῶν. Προφήτας ἐξαπέστειλας Χριστὲ, προφητεῦσαι σου τὴν παρουσίαν, καὶ Ἀποστόλους, κηρῦξαι σου τὰ μεγαλεῖα. καὶ οἱ μὲν προεφήτευσαν τὴν θείαν ἔλευσίν σου, οἱ δὲ τῷ βαπτίσματι ἐφώτισαν τὰ ἔθνη, μάρτυρες δὲ ἔτυχον ὧνπερ ἐπόθουν. Καὶ νῦν πρεσβεύει ὁ χορὸς τῶν ἀμφοτέρων σὺν τῇ Τεκούσῃ σε. ἀνάπαυσον Κύριε ψυχὰς, ἃς προσελάβου, καὶ καταξίω-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ξίωσον αὐτὰς τυχεῖν τῆς οὐρανίου βασιλείας σου, ὁ σταυρὸν ὑπομείνας, καὶ θάνατον, δι' ἐμὲ τὸν κατάκριτον, ὁ λυτρωτής μου καὶ Θεός.

Θεοτοκίον.

Πρεσβείαις τῆς Τεκούσης σε, Χριστὲ καὶ τοῦ Προδρόμου σου, Ἀποστόλων, Προφητῶν Ἱεραρχῶν, Ὁσίων καὶ Δικαίων, καὶ πάντων τῶν Ἁγίων, τοὺς κοιμηθέντας δούλους σου ἀνάπαυσον.

Δόξα ἦχ. πλ. β'. λεγομένη ἐν ὅλοις τοῖς Σαββ. τῆς ἁγ. μ'. ἑσπέρας.

Ἀπόστολοι, Προφῆται, καὶ Μάρτυρες, Ὅσιοι δυσωπήσατε, καὶ Ἱεράρχαι, Ἀσκητῶν ὁ χορὸς ἱκετεύσατε, πρὸς τὸν Σωτῆρα καὶ Θεὸν ἡμῶν, τοῦ ἁγιάσαι τὰς ψυχὰς ἡμῶν. καὶ νῦν Θεοτ.

ΔΟΞΑΙ

Μὴ εὑρισκόμεναι ἐν τοῖς τετυπωμένοις τῶν Μηνολογίων κατὰ τὴν τάξιν τοῦ ἡμετέρου Τυπικοῦ τῆς Κρυπτοφ.

λεγόμεναι ἐν τοῖς ἑσπερινοῖς μετὰ τὰ προφτα στιχηρὰ, καὶ μετὰ τὰ στιχ. τοῦ στίχου.

Τῇ κ'. τοῦ Σεπτεμβρίου μηνὸς,

μετὰ τὰ στιχηρὰ τοῦ στιχ. Δόξα καὶ νῦν, ἦχ. πλ. δ'.

Τὴν στρατοπεδαρχίαν τῆς κάτω βασιλείας ἀποβαλλόμενος, διὰ ζώου ὠφθέντος σοι ἐν εἰκόνι τοῦ Σωτῆρος ἡμῶν, νῦν χορεύεις τοῖς ἄνω, σὺν γυναικί σου καὶ τέκνοις παμμάκαρ Εὐστάθιε. διὸ δυσωποῦμέν σε, τῷ Κυρίῳ πρεσβεύειν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Τῇ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Τῇ γ'. τοῦ Ὀκτωβρίου μηνὸς, Δόξα ἦχ. β'.

Η Τῶν λειψάνων σου θήκη πανεύφημε πάτερ, πηγάζει ἰάματα, καὶ ἡ ἁγία σου ψυχὴ Ἀγγέλοις συνοῦσα, ἀξίως ἀγάλλεται. ἔχων οὖν πρὸς κύριον ὅσιε παῤῥησίαν, καὶ μετὰ τῶν Ἀσωμάτων χορεύων ἐν οὐρανοῖς, Χριστὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν. Θεοτοκίον.

Α' Διόδευτε πύλη μυστικῶς ἐσφραγισμένη, εὐλογημένη θεοτόκε παρθένε, δέξαι τὰς δεήσεις ἡμῶν, καὶ προσάγαγε τῷ σῷ υἱῷ, καὶ Θεῷ, ἵνα σώσῃ διὰ σοῦ τὰς ψυχὰς ἡμῶν.

Τῷ αὐτῷ μηνὶ ϛ'.

μετὰ τὰ στιχ. τοῦ στιχ. Δόξα ἦχ. πλα. β'.

Τῷ ἅρματι τῶν ἀρετῶν ἐποχούμενος, ὡς ὁ διφρηλάτης ὤφθης Ἠλίας, ταῖς τοῦ θείου πνεύματος αὔραις πυρπολούμενος, Θωμᾶ Ἀπόστολε. τὸν γὰρ βυθὸν τῆς αἰσθητῆς θαλάσσης ἀνιχνεύων, ἰχθύας ἐζώγρεις, μετάγων τούτους ἐκ θανάτου πρὸς ζωήν. ὅθεν καὶ τὰς τῶν πιστῶν ψυχὰς καταφαιδρύνας τῷ καλάμῳ τοῦ σταυροῦ, ἐκ θανατηφόρου ἀπάτης πρὸς τὴν ζωὴν ἀνήγαγες. διὸ σὺν Ἀσωμάτοις τῷ Χριστῷ παριστάμενος, ἐκτενῶς αὐτὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν. Θεοτοκίον.

Ο Υδεὶς προστρέχων ἐπὶ σοὶ, κατῃσχυμμένος ἀπὸ σοῦ ἐκπορεύεται, ἁγνὴ παρθένε θεοτόκε. ἀλλ' αἰτεῖται τὴν χάριν, καὶ λαμβάνει τὸ δώρημα, πρὸς τὸ συμφέρον τῆς αἰτήσεως.

Τῇ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Τῇ ζ΄ τοῦ. Ὀκτωβρίου,

εἰς τὰ στιχ. τοῦ στίχ. Δόξα ἦχ. γ΄.

Η Τι καλὸν, ἢ τι τερπνὸν ἡ αὐτάδελφος γνώμη τῶν Μαρτύρων σου κύριε. ὡς γὰρ ἡ φύσις σαρκικοὺς ἀδελφοὺς οὐκ ἐγνώρισε, τούτους ἡ πίστις ἀδελφὰ φρονεῖν μέχρις αἵματος κατηνάγκασεν. ὁ Θεὸς ταῖς εὐχαῖς αὐτῶν ἐλέησον ἡμᾶς.

Θεοτοκίον.

ΕΝ γυναιξὶν ἁγία θεοτόκε μῆτηρ ἀνύμφευτε, πρέσβευε ὃν ἔτεκες βασιλέα, καὶ θεὸν, ἵνα σώσῃ ἡμᾶς ὡς φιλάνθρωπος.

Τοῦ αὐτοῦ μηνὶ κζ΄. εἰς τὴν ἑσπέραν, μετὰ τὰ στιχ. τοῦ στίχ. τοῦ ἁγίου Νέστορος, Δόξα ἦχ. πλα. β΄.

Ο Ἀήττητος στρατιώτης Νέστωρ ἐγνωρίσθης πᾶσι τοῖς πέρασι. τῷ ὅπλῳ γὰρ τοῦ σταυροῦ καθοπλισάμενος σεαυτὸν, ἐξελήλυθας πρὸς συμπλοκὴν Λυαίου τοῦ ἀλάστορος, καὶ κατέαξας αὐτὸν, λαμπρότατα ἀριστεύσας. διὸ καὶ τὸν στέφανον τοῦ μαρτυρίου εἴληφας, ἐκ τοῦ μόνου ἀθλοθέτου, καὶ σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Θεοτοκίον.

Θ Εὸν ἐκ σοῦ σαρκωθέντα ἔγνωμεν θεοτόκε Παρθένε, αὐτὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Τῇ α΄. τοῦ Νοεμβρίου Μηνὸς,
εἰς τὰ στιχ. τῆς ἑσπ. τῶν ἁγίων πάντων, Δόξα ἦχ. δ΄.

Ἄγγελοι ἐν οὐρανῷ, καὶ ἄνθρωποι ἐπὶ τῆς γῆς, τῶν ἁγίων πάντων τὴν μνήμην συνελθόντες σήμερον εὐφημήσωμεν. τὸν γὰρ χιτῶνα τὸν ὑφαντὸν ἐκ τοῦ ἄνω σοφίας, ἀθλητικοῖς αἵμασιν, καὶ ἀγώνων ἱδρῶσιν, ὡς πορφύραν, καὶ βύσσον καρπωσάμενοι κατελάμπρυναν. ὅθεν τούτους στολισαμένη ἡ ἐκκλησία τοῦ Θεοῦ, δι᾽ αὐτῶν βοᾷ σοι, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος. Θεοτοκίον.

Χαῖρε τῶν Ἀποστόλων τὸ ἀσίγητον στόμα, χαῖρε τῶν Ἀθλοφόρων τὸ ἀνίκητον θάρσος. χαῖρε σκηνὴ τοῦ Θεοῦ καὶ Λόγου, χαῖρε ἁγία ἁγίων μείζων.

Μετὰ τὰ στιχ. τοῦ στίχ. Δόξα ἦχ. β΄.
τῶν ἁγίων ἀναργύρων Κοσμᾶ, καὶ Δαμιανοῦ.

Ἰατροὶ τῶν ἀσθενούντων, θησαυροὶ τῶν ἰαμάτων, σωτήριοι τῶν πιστῶν ἀνάργυροι πανευκλεεῖς, τοὺς ἐν ἀνάγκαις κράζοντας, καὶ ὀδυνωμένους ἰάσασθε, σὺν τῇ θεοτόκῳ ἱκετεύοντες Θεὸν τὸν ἀγαθὸν, λυτρώσασθαι ἡμᾶς τῶν παγίδων τοῦ ἐχθροῦ. Θεοτοκ.

Σὲ μεγαλύνομεν θεοτόκε βοῶντες, χαῖρε ἀδύτου φωτὸς νεφέλη, αὐτὸν βαστάσασα κόλποις τῆς δόξης τὸν κύριον.

Τῇ ια΄. τοῦ Νοεμβρ. Μηνὸς,
τοῦ ὁσ. Βαρθ. Δόξα ἦχ. β΄.

Ἡ τῶν λειψάνων σου θήκη. φύλ. 176.

Καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Καὶ ἄλλη, Δόξα ἦχ. πλα. β'.

ΣΥγχάρητε ἡμῖν ἅπασαι αἱ τῶν Πατέρων χοροστασίαι. Βαρθολομαῖος γὰρ ἡμῖν ὁ ἡμέτερος προστάτης, καὶ θεῖος ἀγγελάρχης φαιδρὸς, τὴν σήμερον ἡμέραν ἐν τῇ σεπτῇ αὐτοῦ κοιμήσει, ἀοράτως ἐπιφοιτήσας συνευωχεῖται. ὅθεν καὶ ἡμεῖς ἀνυμνοῦντες, αὐτῷ βοήσωμεν. πρέσβευε Χριστῷ τῷ Θεῷ ὑπὲρ ποίμνης τῆς σῆς, πάνσοφε, ἔνδοξε, ὁσίων τὸ καύχημα.

Θεοτοκίον. Θεοτόκε σὺ εἶ ἡ ἄμπελος.

Τοῦ αὐτοῦ κθ'. μετὰ τὰ στιχ. τοῦ ἑσπ. Δόξα ἦχ. πλ. δ'.

ΤΟ` κατ' εἰκόνα τηρήσας ἀλώβητον ὅσιε πάτερ, ὑπὲρ τῆς Χριστοῦ εἰκόνος ἀντέστης ἀνδρικώτατα, μὴ πτοηθεὶς τοῦ Κοπρωνύμου τὰς ἀπειλὰς, ἀλλὰ τῷ τοῦ πνεύματος ξίφει τοῦτον ἀποκτείνας. διὸ παρρησίαν κεκτημένος πρὸς θεὸν, περίσωζε τὴν ποίμνην σου ἐξ αἱρέσεων πασῶν Στέφανε πολύαθλε. Θεοτοκ.

ΔΕ'σποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Εἰς τὴν α'. τοῦ Ἰαννουαρίου Μηνὸς,

Δόξα καὶ νῦν ἦχ. πλα. δ'. μετὰ τὰ στιχ. τοῦ ἑσπέρ.

ΣΥγκαταβαίνων ὁ Σωτὴρ τῷ γένει τῶν ἀνθρώπων, κατεδέξατο σπαργάνων περιβολὴν, οὐκ ἐβδελύξατο σαρκὸς τὴν περιτομὴν, ὁ ὀκταήμερος κατὰ τὴν μητέρα, ὁ ἄναρχος κατὰ τὸν πατέρα. αὐτῷ πιστοὶ βοήσωμεν, σὺ εἶ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Εἰς τὴν τοῦ αὐτοῦ Μηνὸς ια'.

Δόξα ἦχ. πλα. α'. μετὰ τὰ στιχ. τοῦ στίχ.

ΟΣιε πάτερ θεοφόρε Θεοδόσιε, μεγάλως ἠγωνίσω ἐν τῇ προσκαίρῳ ζωῇ, ἐν ὕμνοις καὶ νηστείαις καὶ προσευχαῖς, τύπος γενόμενος τῶν σῶν φοιτητῶν. Νῦν οὐρανοῦ συγχορεύεις μετὰ τῶν Ἀσωμάτων, Χριστὸν ἀπαύστως δοξολογῶν τὸν ἐκ Θεοῦ Θεὸν Λόγον καὶ λυτρωτὴν, τὸν ὑποκλίναντα τὴν κάραν τῷ Προδρόμῳ, καὶ ἁγιάσαντα τὴν φύσιν τῶν ὑδάτων. αὐτὸν ἱκέτευε, αὐτὸν δυσώπει ὅσιε, δωρηθῆναι τῇ οἰκουμένῃ ὁμόνοιαν, εἰρήνην, καὶ μέγα ἔλεος. Θεοτοκίον.

ΜΑκαρίζομέν σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἄρραγη προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Εἰς τὴν τοῦ αὐτοῦ Μηνὸς κδ'. Δόξα ἦχ. πλ. δ'.

ΣΕ τὸν ὡραῖον ἐν κάλλει παρὰ βροτοὺς ἑώρα ἡ θεοπάρθενος κόρη ποθοῦσα, ὡς Ξένη ἐβόα. νυμφίε κάλλος θεῖον, ποῦ νῦν ποιμαίνεις, εἰπέ μοι, οὐρανοὺς μὲν νῦν σκόπει. ἐκεῖ ἐγὼ γὰρ ποιμαίνω τοὺς εἰς ἐμὲ πεποιθότας.

Θεοτοκίον. Δέσποινα πρὸς δέξαι.

Τῇ β'. τοῦ Φευρουαρίου Μηνός.

Δόξα μετὰ τὰ στιχ. τῆς ἑσπέρας, ἦχ. βαρύς.

ΦΩς εἰς ἀποκάλυψιν ἐθνῶν, ἦλθες ἐπὶ γῆς ἐξ οὐρανοῦ Σωτὴρ ἡμῶν. καὶ προελθὼν ἐκ τῆς Παρθένου

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

θένε ἐπανεπαύσω ἐν ἀγκάλαις τοῦ δικαίου Συμεὼν. ἔδει γὰρ σε ζωοδότα τῶν ἁπάντων, ὑπὸ τοῦ πρεσβύτου γνωρισθῆναι, ὅτι παρεγένου ἀπολῦσαι αὐτὸν κατὰ τὸ ῥῆμά σου, ὁ ἔχων τὸ μέγα ἔλεος.

Τῇ κγ΄. τοῦ Απριλ. Δόξα ἦχ. πλ. β΄.

Δεῦτε πάντα τῆς γῆς τὰ πέρατα, πνευματικὴν χρείαν ἐπιτελέσωμεν, τῶν ᾀσμάτων τὴν σάλπιγγα φωνὴν ἀναλαβόντες, καὶ εὐχαρίστοις ὕμνοις προσοίσωμεν λέγοντες. χαίροις τοῦ Χριστοῦ στρατιῶτα μάρτυς Γεώργιε, τῷ πόθῳ γὰρ τούτου συνήθλησας στεῤῥότατα. χαίροις ὁ τὸ σῶμα ἐκδώσας ἐν αἰκισμοῖς χαλεποῖς, διὰ τὴν αἰώνιον, καὶ μακαρίαν ὄντως ζωήν. χαίροις ὁ ἀκορέστως ψυχῇ ἐναπολαύων ἀπαύστως, ὡς κοινωνὸς Χριστοῦ τοῦ Θεοῦ. τοὺς ἐκτελοῦντας τὴν ἔνδοξον μνήμην σου, πρέσβευε λυτρωθῆναι πάσης ὀργῆς καὶ φθορᾶς καὶ κολάσεως. Θεοτοκίον.

Θεὸν ἐκ σοῦ σαρκωθέντα ἔγνωμεν θεοτόκε παρθένε. αὐτὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

## ΔΟΞΑΙ ΤΩΝ ΑΓΙΩΝ

Κοιναὶ λεγόμεναι εἰς τοὺς αἴνους, καὶ ἐν τῇ ἑσπέρ.

Δόξα εἰς ἕνα Προφήτην, ἦχ. πλα. β΄.

Προφῆτα κῆρυξ Χριστοῦ τοῦ θεοῦ τῆς μεγαλωσύνης οὐδέποτε χωρίζῃ, καὶ ἑκάστῳ ἀθανάτῳ παρίστασαι. ἐν τοῖς ὑψίστοις λειτουργῶν, τὴν οἰκουμένην εὐλογεῖς, πανταχοῦ δοξαζόμενος. αἴτησαι ἱλασμὸν ταῖς ψυχαῖς ἡμῶν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Θεοτοκίον.

Θεοτόκε σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς, σὲ ἱκετεύομεν, πρέσβευε δέσποινα, μετὰ τοῦ σοῦ Προφήτου, καὶ πάντων τῶν ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς Προφήτας, δόξα ἦχ. πλα. δ'.

Τοὺς πρὶν προκαταγγείλαντας τὴν παρουσίαν τοῦ Λόγου Προφήτας εὐφημήσωμεν. οὗτοι γὰρ τῆς Τριάδος τῷ φωτὶ ἐμπνευσθέντες, τοῖς πᾶσιν ἀνεκήρυξαν Χριστὸν σαρκὶ τικτόμενον Θεὸν Ἐμμανουήλ, ἐκ Παρθένου κόρης ἐν πόλει Δαβίδ. ὧν τὰς ἐκβάσεις θεώμενοι, συμφώνως αὐτοὺς μακαρίσωμεν, ὡς πρεσβεύοντας ὑπὲρ ψυχῶν ἡμῶν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Δόξα εἰς ἕνα Ἀπόστολον ἦχ. πλα. δ'.

Ἀπόστολε τοῦ Σωτῆρος Ν. πανεύφημε, τὸ δοχεῖον τῆς πίστεως, υἱὲ παρακλήσεως, ἡ γαλήνη τῶν χειμαζομένων. ἀπαύστως ἐν τῇ μνήμῃ σου, παῤῥησίαν ἔχων ἱκέτευε, ἐν εἰρήνῃ φυλαχθῆναι τὰς ψυχὰς ἡμῶν.

καὶ νῦν θεοτοκίον, ὡς ἄνω.

Δόξα εἰς ἕνα Ἀπόστολον καὶ Ἱεράρχην, ἦχ. πλα. δ'.

Μαθητὰ τοῦ Σωτῆρος, Ἀρχιεράρχα ἔνδοξε, κλέος Μαρτύρων Ν. φωστὴρ φαεινότατε, ἡμῶν δὲ πολιοῦχε. ἐκτενῶς ἱκέτευε, ῥυσθῆναι τὴν ποίμνην σου ἐκ κινδύνων, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

καὶ νῦν θεοτοκίον, ὡς ἄνω. Ἐπί-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἑτέρα δόξα εἰς ἕνα Ἀπόστολον ἦχ. δ΄.

ΤΗ͂Ν τοῦ θείου πνεύματος σαφῶς χάριν δεξάμενος, τῆς ἱερωτάτης χρείας τῶν Ἀποστόλων συναρίθμιος Ν. γέγονας. ὅθεν οὐρανόθεν τὴν φερομένην ποτὲ πνοὴν βιαίαν πυρίνη γλώσση ἐμπνευσθεὶς, τὴν τῶν ἐθνῶν ἀκανθώδη ἔφλεξας ἀθεότητα. Χριστὸν τὸν Θεὸν θεοκήρυξ ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν θεοτοκίον.

Ἡ Μόνη ἁγνὴ καὶ ἄχραντος παρθένος, ἡ Θεὸν ἀπόρως κυήσασα, πρέσβευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα εἰς Ἀποστόλους, ἦχ. πλα. δ΄.

ΗΝ διήλθετε κτίσιν φωτίσαντες, οἱ τοῦ Σωτῆρος μαθηταὶ, τὴν πλάνην τῶν εἰδώλων, ὡς ὕλην καταφλέξαντες, τοῖς διδάγμασιν ὑμῶν, τὰ ἔθνη ἐξ ἀγνωσίας βυθοῦ, πρὸς τὴν θείαν γνῶσιν σαγηνεύσαντες, ἐσώσατε. καὶ νῦν πρεσβεύσατε Χριστῷ, ὅπως ἵλεως γενήσεται ἡμῖν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

Καὶ νῦν θεοτοκίον.

ΤΑ οὐράνια ὑμνεῖ σε κεχαριτωμένη μῆτερ ἀνύμφευτε καὶ ἡμεῖς δοξολογοῦμεν τὴν ἀνεξιχνίαστόν σου γέννησιν. θεοτόκε πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα ἐν ἕνα Μάρτυρα. ἦχ. δ΄.

ΠΡὸ τοῦ τιμίου σταυροῦ σου, φοβερὸς ὁ θάνατος τοῖς ἀνθρώποις. μετὰ τὸ ἔνδοξον πάθος, φοβερὸς ὁ ἄνθρωπος τῷ θανάτῳ. οὕτως ἐνίσχυσεν ὁ Ἀθλοφόρος,



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ὅπω κατήργησε πᾶσαν τοῦ ἐχθροῦ τὴν δύναμιν. αὐτοῦ ταῖς πρεσβείαις Χριστὲ σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν Θεοτοκίον.

Ἔχοντές σε Θεοτόκε ἐλπίδα, καὶ προστασίαν, ἐχθρῶν ἐπιβουλὰς οὐ πτοούμεθα, ὅτι σώζεις τὰς ψυχὰς ἡμῶν.

Δόξα εἰς ἕνα Μεγαλομάρτ. ἦχ. πλα. β'.

Ἐξέλαμψε σήμερον ἡ ἔνδοξος μνήμη σου Ν. πολυάθλε, συγκαλοῦσα ἡμᾶς τοὺς φιλεόρτους, πρὸς εὐφημίαν, καὶ δόξαν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. ὅθεν καὶ προστρέχοντες ἐν τῇ σορῷ τῶν λειψάνων σου, ἰαμάτων χαρίσματα λαμβάνομεν, καὶ τὸν στεφανώσαντα Σωτῆρα Χριστὸν ὑμνοῦμεν εἰς αἰῶνας, ἀκαταπαύστως δοξάζοντες. Καὶ νῦν Θεοτοκίον.

Θεοτόκε σὺ εἶ ἡ ἄμπελος.

Δόξα εἰς Μάρτυρας, ἦχ. γ'.

Γενναῖοι Μάρτυρες τῆς ἀληθείας, ὑμᾶς οὐ βία τυραννική, οὐ θωπεία ἀπατηλή, οὐ μελῶν ἐκκοπαί, οὐ δὲ θανάτου ἀπειλαί, τῆς πρὸς τὸ θεῖον ἀγάπης, χωρίσαι δεδύνηνται. διὸ παρρησίαν ἔχοντες πρὸς Χριστὸν τὸν ἐπὶ πάντων Θεόν, ταύτην ἀμοιβὴν τῶν ἀλγεινῶν βασάνων, αἰτήσασθε παρὰ Χριστοῦ λαβεῖν εὐχαῖς ὑμῶν καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν, Θεοτοκίον.

Ἀσπόρως συνέλαβες ἐκ πνεύματος ἁγίου, καὶ δοξολογοῦντες ἀνυμνοῦμέν σε, χαῖρε παναγία παρθένε.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Δόξα εἰς Μάρτυρας, ἦχ. δ'.

ΤΗν πεξαπέρατον ἑορτὴν τῶν ἁγίων Μαρτύρων, ἐν ψαλμοῖς, καὶ ὕμνοις, καὶ ᾠδαῖς πνευματικαῖς εὐφημήσωμεν. τὸν στεφάρχην γὰρ Χριστὸν ἔχοντες ἐν καιρῷ τῶν ἀγώνων, τὸν ἀντίπαλον ἐχθρὸν ἐξοπλώσαντο. ὅθεν τῆς νίκης καὶ ἀθλήσεως τὰ βραβεῖα παρ' αὐτοῦ ἐκομήσαντο, καὶ πρεσβεύουσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Θεοτοκίον.

ΕΚ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε, εὐλογημένη Θεοτόκε. ἵνα σὲ δοξάζωμεν τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Δόξα εἰς ἕνα Ἱερομάρτ. ἦχ. πλ. δ'.

ΕΝ ἱερεῦσι, καὶ Μάρτυσι διαπρέψας ὅσιε, πιστὸς ἀνεδείχθης ποιμήν, καὶ Χριστοῦ πιὼν τὸ ποτήριον. διὸ ἐν ἑκατέροις εὐαρεστήσας αὐτῷ τῷ Χριστῷ, πρέσβευε ὑπὲρ πάντων ἡμῶν σὺν τοῖς ἄνω λειτουργοῖς, ἐν φωτὶ νῦν αὐλιζόμενος.

Θεοτοκίον.

ΤΟῦ Ἀρχαγγέλου Γαβριὴλ τὴν φωνὴν ἀναλαβόντες εἴπωμεν, χαῖρε Μήτηρ Κυρίου, ἡ τὸν ποιητὴν τοῦ κόσμου κυήσασα.

Ἄλλη Δόξα εἰς ἕνα Ἱερομάρτ. ἦχ. πλα. β'.

ΕἸς τὸν ἄδυτον γνόφον τοῦ ἀφράστου φωτὸς, εἰσδύσας νοητῶς, ὁ μάρτυς, καὶ ποιμὴν ἐμυήθη τὰ ἀπόρρητα τῶν μυστηρίων Θεοῦ. ὡς μάρτυς μὲν φωτιζόμενος, ὡς ποιμὴν δὲ μυσταγωγούμενος. διὸ διπλοῦς καὶ

τοὺς

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

τοὺς στεφάνους ἐκ τῆς ἄνω δόξης ἀνεδήσατο, πρεσβεύων πάντοτε Χριστῷ ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Θεοτοκίον.

Εἰς σὲ πᾶσαν ἐλπίδα μου, παρθένε ἀνατίθημι, μὴ παρίδῃς, ἀλλὰ σπεῦσον ἀγαθὴ, ῥυσθῆναί με ἐν τάχει, παθῶν τῶν ἐνοχλούντων, καὶ καθεκάστην πολεμούντων με.

Δόξα εἰς Ἱερομάρτυρας, ἦχ. πλα. β'.

Ἱερεῖς ἐνομώτατοι μέχρι τέλους ἐσχηματίσατε παμμακάριστοι. ἱερουργοῦντες γὰρ τὰ θεῖα, καὶ ἄρρητα μυστήρια, τὸ αἷμα ἐξεχέατε ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ, καὶ θύματα εὐπρόσδεκτα αὐτῷ προσήχθητε. διὸ παῤῥησίαν ἔχοντες, αὐτὸν ἐκτενῶς πρεσβεύετε, ὑπὲρ τῶν πίστει ἐκτελούντων ἡμῶν τὴν θείαν μνήμην, καὶ τοὺς αὐτὴν γεραίροντας, ῥυσθῆναι πειρασμῶν, καὶ παντοίων κινδύνων καὶ περιστάσεων. Θεοτοκίον.

Ἱκέτευσον φιλάγαθε, τὸν σὸν υἱὸν τοῦ δοῦναί μοι, τῶν πολλῶν μου ἐγκλημάτων ἱλασμὸν, καὶ τῆς ἐξ εὐωνύμων, ἁγνὴ, μερίδος ῥύσασθαι, καὶ βασιλείας ἀξιῶσαί με.

Δόξα εἰς ἕνα Ἱεράρχ. ἦχ. πλα. β'.

Εὖ δοῦλε ἀγαθὲ, καὶ πιστὲ εὐεργέτα τοῦ ἀμπελῶνος Χριστοῦ, σὺ καὶ τὸ δοθέν σοι τάλαντον ἐπηύξησας, καὶ τοῖς μετὰ σὲ ἐλθοῦσιν οὐκ ἐφθόνησας. διὸ πύλη σοι οὐρανῶν ἠνέῳκται. εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου, καὶ πρέσβευε ὑπὲρ ἡμῶν ἅγιε Ν. Θεοτοκίον, ὡς ἄνω.

Δόξα

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Δόξα εἰς ἕνα Ἱεράρχην ἦχ. πλα. β'.

Ἐξεχύθη ἡ χάρις ἐν χείλεσί σου ὅσιε πάτερ, καὶ γέγονας ποιμὴν τῆς τοῦ Χριστοῦ ἐκκλησίας, διδάσκων τὰ λογικὰ πρόβατα, πιστεύειν εἰς Τριάδα ὁμοούσιον ἐν μιᾷ θεότητι. Θεοτοκίον, ὡς ὅπλον.

Γ κέτευσον φιλάγαθε, τόν σὸν υἱὸν τοῦ.

Δόξα τῶν ἁγίων Πατέρων τῆς ἐν Χαλκηδόνι δ΄. Συνόδου. ἦχ. πλα. β'.

ΤΑ`ς μυστικὰς σήμερον τοῦ πνεύματος σάλπιγγας. τοὺς θεοφόρους Πατέρας ἀνευφημήσωμεν, τοὺς μελῳδήσαντας ἐν μέσῳ τῆς ἐκκλησίας μέλος ἐναρμόνιον θεολογίας, Τριάδα μίαν, ἀπαράλλακτον οὐσίαν τε καὶ θεότητα, τοὺς καθαιρέτας Ἀρείου, καὶ ὀρθοδόξων προμάχους, τοὺς πρεσβεύοντας πάντοτε Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἕτερα δόξα τῶν ἁγίων Πατέρων τῆς ἐν Χαλκηδόνι δ΄. Συνόδου. ἦχ. γ'.

Ἀ Ποστολικῶν παραδόσεων, ἀκριβεῖς φύλακες γεγόνατε ἅγιοι Πατέρες. τῆς γὰρ ἁγίας Τριάδος τὸ ὁμοούσιον ὀρθοδόξως δογματίσαντες, Ἀρείου τὸ βλάσφημον συνοδικῶς κατεβάλετε, μεθ' ὃν καὶ Μακεδόνιον πνευματομάχον ἀπελέγξαντες, κατεκρίνατε Νεστόριον, Εὐτυχέα, καὶ Διόσκορον, Σαβέλλιόν τε, καὶ Σεβῆρον τὸν ἀκέφαλον. ὧν τῆς πλάνης αἰτήσασθε ῥυσθῆναι ἡμᾶς, καὶ ἀκηλίδωτον ἡμῶν τὸν βίον ἐν τῇ πίστει φυλάττεσθαι δεόμεθα.

Καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Καὶ νῦν Θεοτοκίον.

Ἀσπόρως συνέλαβες ἐκ Πνεύματος ἁγίου, καὶ δοξολογοῦντες ἀνυμνοῦμέν σε, χαῖρε παναγία παρθένε. Δόξα εἰς Ἱεράρχας, ἦχ. πλ. β'.

Ἄνθρωποι τοῦ Θεοῦ, καὶ πιστοὶ θεράποντες, λειτουργοὶ Κυρίου ἄνδρες ἐπιθυμιῶν, σκεύη ἐκλογῆς, στῦλοι καὶ στηρίγματα τῆς ἐκκλησίας, βασιλείας κληρονόμοι, μὴ παρασιωπήσητε τοῦ βοᾶν ὑπὲρ ἡμῶν πρὸς Κύριον. Θεοτοκίον.

Θεοτόκε σὺ εἶ ἡ ἄμπελος. ὡς ὄπισθεν.

Δόξα εἰς ὁσίους Πατέρας, ἦχ. πλ. δ'.

Ὅσιοι Πατέρες, μελετήσαντες ἡμέρας καὶ νυκτὸς ἐν νόμῳ Κυρίου, ἠξιώθητε τοῦ ξύλου τῆς ζωῆς σύμφυτοι γενέσθαι. παρρησίαν ἔχοντες πρὸς τὸν ἀγωνοθέτην Θεὸν, καὶ ἡμῖν αἰτήσασθε ἱλασμὸν, καὶ τὸ μέγα ἔλεος.

Δόξα εἰς Ὁσιομάρτυρας, ἦχ. πλα δ'.

Μακάριοι ἐστὲ, ὅσιοι, καὶ μάρτυρες Χριστοῦ τοῦ Θεοῦ. ὅσιοι μὲν, ὅτι δικαιοσύνης χάριν ἐδιώχθητε. μάρτυρες δὲ ὅτι μάχαιρα ὑμᾶς οὐκ ἐχώρισε τῆς ἀγάπης τοῦ Κυρίου. καὶ διὰ τοῦτο χαίρετε, ὅτι πολὺς ὁ μισθὸς ὑμῶν ἐν τοῖς οὐρανοῖς.

Καὶ νῦν Θεοτοκίον.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Δόξα

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Δόξα εἰς ἕνα Ὅσιον, ἦχ. πλα. β'.

Ὅσιε Πάτερ εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν κατορθωμάτων σου, διὸ ἐν τοῖς οὐρανοῖς εὗρες μισθὸν τῶν καμάτων σου. τῶν δαιμόνων ὀλέσας τὰς φάλαγγας, τῶν ἀγγέλων ἔφθασας τὰ τάγματα, ὧν τὸν βίον ἀμέμπτως ἐζήλωσας. παῤῥησίαν ἔχων πρὸς Κύριον, εἰρήνην αἴτησαι ταῖς ψυχαῖς ἡμῶν.

Καὶ νῦν Θεοτοκίον.

Θεὸν ἐκ σοῦ σαρκωθέντα ἔγνωμεν Θεοτόκε παρθένε. αὐτὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα εἰς ἕνα Ὅσιον, ἦχ. πλα. α'.

Ὅσιε Πάτερ οὐκ ἔδωκας ὕπνον σοῖς ὀφθαλμοῖς, οὐδὲ τοῖς βλεφάροις σου νυσταγμὸν, ἕως οὗ τὴν ψυχὴν, καὶ τὸ σῶμα τῶν παθῶν ἠλευθέρωσας, καὶ σεαυτὸν ἡτοίμασας τοῦ Πνεύματος καταγώγιον. ἐλθὼν γὰρ ὁ Χριστὸς σὺν τῷ Πατρὶ μονὴν παρὰ σοὶ ἐποιήσατο. καὶ τῆς ὁμοουσίου Τριάδος θεράπων γενόμενος, μεγαλοκήρυξ Ν. πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα εἰς Ὅσιον Στυλίτην, ἦχ. πλα. α'.

Ὅσιε Πάτερ καλὴν εὗρες κλίμακα, δι' ἧς ἀνῆλθες ἐν τῷ ὕψει ἣν εὗρεν Ἠλίας ἅρμα πυρός. ἀλλ' ἐκεῖνος μὲν τὴν ἄνοδον ἄλλοις οὐκ ἔλιπε, σὺ δὲ καὶ μετὰ θάνατον ἔχεις τὸν στῦλον σου. οὐράνιε ἄνθρωπε, ἐπίγειε ἄγγελε, φωστὴρ ἀκοίμητε τῆς οἰκουμένης, Ν. ὅσιε, πρέσβευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Θεοτοκίον. Μακαρίζομέν σε Θεοτόκε. φύλ. 180.

Δόξα

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Δόξα εἰς Ὁσίους, ἦχ. β΄.

ΩΧυρωμένοι τὸν νοῦν γνώσει θείᾳ πατέρες ἅγιοι, τὰ παρερχόμενα παρήλθετε, μηδὲν θαυμάσαντες τῶν φθειρομένων. ἐν μὲν θλίψεσι μεγαλόφρονες, καὶ γενναιότατοι, ἐν δὲ ἀσκήσει καὶ εὐθυμίᾳ ταπεινοὶ καὶ μέτριοι, καὶ τοῦ παρόντος βίου τὸ ἄστατον πέλαγος σαφῶς διαπεράσαντες, εἰς εὔδιον λιμένα ἐφθάσατε. Χριστὸν ἱλεοῦσθε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Θεοτοκίον.

ΤΗὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι μήτηρ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Δόξα εἰς Ὁσίους, ἦχ. πλ. β΄.

ΟΣιοι πατέρες, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν κατορθωμάτων ὑμῶν, διὸ ἐν τοῖς οὐρανοῖς εὕρατε μισθὸν τῶν καμάτων ὑμῶν. τῶν δαιμόνων ὀλέσαντες τὰς φάλαγγας, τῶν ἀγγέλων ἐφθάσατε τὰ τάγματα, ὧν τὸν βίον ἀμέμπτως ἐζηλώσατε. παῤῥησίαν ἔχοντες πρὸς Κύριον, εἰρήνην αἰτήσασθε ταῖς ψυχαῖς ἡμῶν.

Θεοτοκίον.

ΘΕὸν ἐκ σοῦ σαρκωθέντα ἔγνωμεν Θεοτόκε παρθένε. αὐτὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα εἰς Ἱεράρχην, καὶ Διδάσκ. ἢ Ὁμολογ. ἦχ. βαρὺς.

ΕΝέκυψας εἰς τὰ βάθη τοῦ πνεύματος, ὡς ἐπὶ γῆς ἀσάρκως βιώσας. κἀκεῖθεν ἀντλήσας τὸν πλοῦτον



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

τῆς θείας γνώσεως, ὀρθοδοξίαν ἀνθρώποις ἐπήγασας διδασκαλίαις σου ὅσιε Πάτερ.

Καὶ νῦν θεοτοκίον.

ΤΕκοῦσα τὸν δεσπότην μου κατὰ σάρκα, ἐξουσίας με καὶ δουλείας τῆς ἀλλοτρείου, λύτρωσαι δέσποινα.

Δόξα εἰς ἁγίαν Μάρτ. Γυναῖκα, ἦχ. πλ. β'.

ΕʼΚ δεξιῶν τοῦ Σωτῆρος παρέστη ἡ παρθένος, καὶ ἀθλοφόρος, καὶ μάρτυς, περιβεβλημένη ταῖς ἀρεταῖς τὸ ἀπάντητον, καὶ πεποικιλμένη ἐλαίῳ τῆς ἁγνείας, καὶ τῷ αἵματι τῆς ἀθλήσεως, καὶ βοῶσα πρὸς αὐτόν, ἐν ἀγαλλιάσει τὴν λαμπάδα κατέχουσα. εἰς ὀσμὴν μύρου σου ἔδραμον Κύριε ὁ Θεός, ὅτι τέτρωμαι τῆς σῆς ἀγάπης ἐγώ, μὴ χωρίσῃς με νυμφίε ἐπουράνιε. αὐτῆς ταῖς ἱκεσίαις κατάπεμψον ἡμῖν παντοδύναμε Σωτὴρ τὰ ἐλέη σου.

Θεοτοκίον. Θεὸν ἐκ σοῦ. ὡς ἄνω.

Δόξα εἰς ἁγίαν Παρθένον γυναῖκα, ἦχ. β'.

ΕʼΝ πόλει τοῦ Θεοῦ ἡμῶν, ἐν ὄρει ἁγίῳ αὐτοῦ, ἐκεῖ κατεσκήνωσεν ἡ ἁγία, τὴν λαμπάδα ἄσβεστον τηρήσασα. ὁ κόσμος τῆς παρθένου ἐγκώμιον. ὦ παρθενία ναὸς Θεοῦ, ὦ παρθενία Μαρτύρων δόξα, ὦ παρθενία τῶν ἀγγέλων συμμέτοχε.

Καὶ νῦν θεοτοκίον.

ΩʼΣεὶ ἐλαία κατάκαρπος, ἡ παρθένος ἐβλάστησε, σὲ τὸν καρπὸν τῆς ζωῆς καρποφορεῖ τῷ κόσμῳ τὸ πλούσιον ἔλεός σου Κύριε.

Δόξα

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δόξα εἰς ἁγίας μάρτ. Γυναῖκας, ἦχ. πλ. β'.

ΕΚ δεξιῶν τοῦ Σωτῆρος παρέστησαν αἱ παρθένοι, καὶ ἀθλοφόροι, καὶ μάρτυρες, περιβεβλημέναι ταῖς ἀρεταῖς τὸ ἀήττητον, καὶ πεποικιλμέναι ἐλαίῳ τῆς ἁγνείας, καὶ τῷ αἵματι τῆς ἀθλήσεως, καὶ βοῶσαι πρὸς αὐτὸν, ἐν ἀγαλλιάσει τὰς λαμπάδας κατέχουσαι. εἰς ὀσμὴν μύρου σου ἐδράμομεν Κύριε ὁ Θεὸς, ὅτι τετρώμεθα τῆς σῆς ἀγάπης ἡμεῖς, μὴ χωρίσῃς ἡμᾶς νυμφίε ἐπουράνιε. αὐτῶν ταῖς ἱκεσίαις κατάπεμψον ἡμῖν παντοδύναμε Σωτὴρ τὰ ἐλέη σου.

Θεοτοκίον. Θεὸν ἐκ σοῦ. ὡς ἄνωθεν.

Δόξα εἰς ἁγίας Παρθένους Γυναῖκας, ἦχ. β'.

ΕΝ πόλει τοῦ Θεοῦ ἡμῶν, ἐν ὄρει ἁγίῳ αὐτοῦ, ἐκεῖ κατεσκήνωσαν αἱ ἅγιαι, τὰς λαμπάδας ἀσβέστους τηρήσασαι. ἀκούσωμεν τῶν παρθένων ἐγκώμιον. ὦ παρθενία ναὸς Θεοῦ, ὦ παρθενία Μαρτύρων δόξα, ὦ παρθενία ἀγγέλων συμμέτοχε.

Καὶ νῦν Θεοτοκίον.

Ὡς εἰ ἐλαία. ὡς ἄνω. φύλ. 191.

Δόξα εἰς ὁσίαν γυναῖκα, ἦχ. β'.

ΤΑ τῆς ψυχῆς θηριώματα, καὶ τὰ πάθη τῆς σαρκὸς, τῷ ξίφει τῆς ἐγκρατείας ἔτεμες, τὰ τῆς ἐννοίας ἐγκλήματα, τῇ σιγῇ τῆς ἀσκήσεως ἀπέπνιξας, καὶ ῥείθροις τῶν δακρύων σου, τὴν ἔρημον κατήρδευσας, καὶ ἐβλάστησας ἡμῖν τῆς μετανοίας καρποὺς. διό σου τὴν μνήμην ὁσία ἑορτάζομεν.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Δόξα εἰς ὁσίας γυναῖκας, ἦχ. β'.

ΤΑ' τῆς ψυχῆς θηρεύματα, καὶ τὰ πάθη τῆς σαρκὸς, τῷ ξίφει τῆς ἐγκρατείας τετμήκατε. τὰ τῆς ἐννοίας ἐγκλήματα, τῇ σιγῇ τῆς ἀσκήσεως ἀπεπνίξατε, καὶ ῥείθροις τῶν δακρύων ὑμῶν, τὴν ἔρημον κατηρδεύσατε, καὶ ἐβλαστήσατε ἡμῖν τῆς μετανοίας καρποὺς, διὸ τὴν μνήμην ὑμῶν ὁσίαι ἑορτάζομεν. Θεοτοκίον.

Η Μόνη ἁγνὴ καὶ ἄχραντος παρθένος, ἡ Θεὸν ἀπόρρως κυήσασα, πρέσβευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα εἰς Ὁσιομάρτυρα γυναῖκα, ἦχ. πλα. β'.

ΠΑρθενομάρτυς ἀθλοφόρε Ν. πανένδοξε, σὺ τὴν ἄθλησιν τὴν σὴν ἀξίως ἐκτελοῦντας, αἴτησαι ῥυσθῆναι πειρασμῶν καὶ θλίψεων, ταῖς πρὸς Θεὸν πρεσβείαις σου, καὶ τῆς μελλούσης κρίσεως, μάρτυς πανναοίδιμε. Καὶ νῦν θεοτοκίον.

ΟΥ'δεὶς προστρέχων ἐπὶ σοὶ, κατῃσχυμμένος ἀπὸ σοῦ ἐκπορεύεται, ἁγνὴ παρθένε θεοτόκε. ἀλλ' αἰτεῖται τὴν χάριν, καὶ λαμβάνει τὸ δώρημα, πρὸς τὸ συμφέρον τῆς αἰτήσεως.

Εἰς Ὁσιομάρτυρας γυναῖκας, ἦχ. πλ. β'.

ΠΑρθενομάρτυρες ἀθλοφόροι, πανένδοξοι, τοὺς τὴν ὑμῶν ἄθλησιν ἀξίως ἐκτελοῦντας, αἰτήσασθε ῥυσθῆναι πειρασμῶν καὶ θλίψεων, ταῖς πρεσβείαις ὑμῶν πρὸς Θεὸν, καὶ τῆς μελλούσης κρίσεως, μάρτυρες πανναοίδιμοι.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

# ΕΙΣ ΤΗΝ ΑΚΟΛΟΥΘΙΑΝ

## ΤΟΥ ΜΙΚΡΟΥ ΑΠΟΔΕΙΠΝΟΥ,

Ο῾ Ἱερεὺς λέγει.

ΕΥ᾽λογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο῾ χορὸς ἀποκρίνεται. Α᾽μήν.

Καὶ ἀμέσως λέγει τὸ Τρισάγιον, Δόξα καὶ νῦν, Παναγία Τριὰς, Κύριε ἐλέησον, Κύριε εὐλόγησον, Πάτερ ἡμῶν.

Καὶ ὁ ἱερ. Ο῞τι σοῦ ἐστὶν ἡ βασιλ. ὁ χορ. Α᾽μήν.

Δεῦτε προσκυνήσωμεν, ὡς ἔθος, καὶ ἀκολουθεῖ τὸ στιχολογ. τῶν Ψαλμῶν, ὧν πρῶτος ὑπάρχει ὁ κϛ΄.

ΚΥ᾽ριος φωτισμός μου, καὶ σωτήρ μου, * τίνα φοβηθήσομαι.

Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου, * ἀπὸ τίνος δειλιάσω.

Ε᾽ν τῷ ἐγγίζειν ἐπ᾽ ἐμὲ κακοῦντας, τοῦ φαγεῖν τὰς σάρκας μου, * οἱ θλίβοντές με, καὶ οἱ ἐχθροί μου αὐτοὶ ἠσθένησαν, καὶ ἔπεσαν.

Ε᾽ὰν παρατάξηται ἐπ᾽ ἐμὲ παρεμβολὴ, οὐ φοβηθήσεται ἡ καρδία μου, * ἐὰν ἐπαναστῇ ἐπ᾽ ἐμὲ πόλεμος, ἐν ταύτῃ ἐγὼ ἐλπίζω.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Μίαν ᾐτησάμην παρὰ κυρίου, ταύτην ζητήσω, * τοῦ κατοικεῖν με ἐν οἴκῳ κυρίου πάσας τὰς ἡμέρας τῆς ζωῆς μου.

Τοῦ θεωρεῖν με τὴν τερπνότητα κυρίου, * καὶ ἐπισκέπτεσθαι τὸν ναὸν τὸν ἅγιον αὐτοῦ.

Ὅτι ἔκρυψέ με ἐν σκηνῇ αὐτοῦ ἐν ἡμέρᾳ κακῶν μου, * ἐσκέπασέ με ἐν ἀποκρύφῳ τῆς σκηνῆς αὐτοῦ, ἐν πέτρᾳ ὕψωσέ με.

Καὶ νῦν ἰδοὺ ὕψωσε κεφαλήν μου ἐπ' ἐχθρούς μου, * ἐκύκλωσα, καὶ ἔθυσα ἐν τῇ σκηνῇ αὐτοῦ θυσίαν αἰνέσεως, καὶ ἀλαλαγμοῦ.

Ἄσω καὶ ψαλῶ τῷ κυρίῳ, εἰσάκουσον Κύριε τῆς φωνῆς μου ἧς ἐκέκραξα * ἐλέησόν με, καὶ εἰσάκουσόν μου.

Σοὶ εἶπεν ἡ καρδία μου, κύριον ζητήσω, * ἐξεζήτησέ σε τὸ πρόσωπόν μου, τὸ πρόσωπόν σου κύριε ζητήσω.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, * καὶ μὴ ἐκκλίνῃς ἐν ὀργῇ ἀπὸ τοῦ δούλου σου.

Βοηθός μου γενοῦ, μὴ ἀποσκορακίσῃς με, * καὶ μὴ ἐγκαταλίπῃς με ὁ Θεὸς ὁ Σωτήρ μου.

Ὅτι ὁ πατήρ μου, καὶ ἡ μήτηρ μου ἐγκατέλιπόν με, * ὁ δὲ κύριος προσελάβετό με.

Νομοθέτησόν με κύριε ἐν τῇ ὁδῷ σου, * καὶ ὁδήγησόν με ἐν τρίβῳ εὐθείᾳ.

Ἕνεκεν τῶν ἐχθρῶν μου, * μὴ παραδῷς με εἰς ψυχὰς θλιβόντων με.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ο'τι ἐπανέστησάν μοι μάρτυρες ἄδικοι, * καὶ ἐψεύσατο ἡ ἀδικία ἑαυτῇ.

Πιστεύω τοῦ ἰδεῖν τὰ ἀγαθὰ κυρίου ἐν γῇ ζώντων, * ὑπόμεινον τὸν κύριον.

Α'νδρίζου, καὶ κραταιούσθω ἡ καρδία σου, * καὶ ὑπόμεινον τὸν κύριον. Ψαλ. ξθ'.

Ο' Θεὸς εἰς τὴν βοήθειάν μου πρόσχες, * κύριε εἰς τὸ βοηθῆσαί μοι σπεῦσον.

Α'ισχυνθήτωσαν, καὶ ἐντραπήτωσαν * οἱ ζητοῦντες τὴν ψυχήν μου.

Α'ποστραφήτωσαν εἰς τὰ ὀπίσω, * καὶ καταισχυνθήτωσαν οἱ βουλόμενοί μοι κακά.

Α'ποστραφήτωσαν παραυτίκα αἰσχυνόμενοι * οἱ λέγοντές μοι, εὖγε, εὖγε.

Α'γαλλιάσθωσαν, καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες * οἱ ζητοῦντες σε ὁ Θεός.

Καὶ λεγέτωσαν διαπαντὸς, μεγαλυνθήτω ὁ κύριος, * οἱ ἀγαπῶντες τὸ σωτήριόν σου.

Ε'γὼ δὲ πτωχὸς εἰμὶ, καὶ πένης, * ὁ Θεὸς βοήθησόν μοι.

Βοηθός μου, καὶ ῥύστης μου εἶ σὺ, * κύριε μὴ χρονίσῃς.

Καὶ τὸν Ψαλ. Ν'.

Ε'λέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα. ζήτ. εἰς τὴν γ'. ὥραν. καὶ μετὰ τοῦτο, Δόξα καὶ νῦν. καὶ τὸν κανόνα τῆς Παρακλητ. ἢ τοῦ ἁγίου κατὰ τὴν τάξιν τοῦ Τυπικοῦ, ἢ τὸν παρόντα τῆς Θεοτόκου.

ᾠδὴ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ᾠδὴ α΄. ἦχ. δ΄.

Τρισάτας κραταιοὺς ὁ τεχθεὶς ἐκ παρθένου, ἀπαθείας ἐν βυθῷ, ψυχῆς τὸ τριμερὲς καταπόντισον δέομαι. ὅπως σοι ὡς ἐν τυμπάνῳ τῇ νεκρώσει τοῦ σώματος, ἐπινίκιον ᾄσω μελώδημα.

Δόξα.

Ἐσείσθησαν λαοὶ, ἐταράχθησαν ἔθνη, βασιλεῖαι κραταιαὶ δὲ ἔκλιναν ἁγνὴ ἐκ τοῦ φόβου τοῦ τόκου σου. ἦλθε γὰρ ὁ βασιλεύς μου, καὶ καθεῖλε τὸν τύραννον, καὶ τὸν κόσμον φθορᾶς ἐλυτρώσατο.

Καὶ νῦν.

Τὸ σκήνωμα αὐτοῦ, ὁ οἰκῶν ἐν ὑψίστοις, τοῖς βροτοῖς συγκαταβὰς, ἡγίασε Χριστὸς καὶ ἀσάλευτον ἔδειξε. μόνη γὰρ μετὰ τὸν τόκον παρθενίας κειμήλιον, ἡ τὸν κτίστην τεκοῦσα διέμεινεν.

ᾠδὴ γ΄.

Ἀφ᾽ ὕψους κατῆλθες βουλήσει ἐπὶ γῆς, ὁ ὑπεράνω πάσης ἀρχῆς, καὶ ταπεινὴν ἀνύψωσας ἐξ ᾅδου κατωτάτου φύσιν βροτείαν. οὐ γάρ ἐστιν ἅγιος, πλὴν σου φιλάνθρωπε.

Δόξα.

Ῥύπτεται βροτῶν ἡ οὐσία διὰ σοῦ ὁμιλήσαντα, ἀστέκτῳ θείῳ πυρὶ, ὡς ἐγκρυφίας πάναγνε παρθένε ἐν σοὶ, ἄρτος ἐξοπτηθεῖσα, τῷ καὶ σὲ ἀλώβητον διαφυλάξαντι.

Καὶ νῦν.

Τίς αὕτη, ἡ ὄντως πλησίον τοῦ Θεοῦ; ὡς ὑπερβᾶσα ἅπαντα τὰ τῶν ἀγγέλων τάγματα; ἡ μόνη ἐν



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

τῷ κάλλει τῆς παρθενίας, οἷα μήτηρ λάμπουσα τοῦ παντοκράτορος; ᾠδὴ δ΄.

Ο Καθήμενος ἐν δόξῃ, ἐπὶ θρόνου θεότητος, ἐν νεφέλῃ κούφῃ, ἦλθεν Ἰησοῦς ὁ ὑπέρθεος, τῇ ἀκηράτῳ παρθένῳ καὶ διέσωσε, τοὺς κραυγάζοντας, δόξα Χριστὲ τῇ δυνάμει σου.

Συνανεστράφη ἀνθρώποις, ὁραθεὶς ὁ ἀόρατος, ἐν μορφῇ ὑπάρχων, τῆς ἀκαταλήπτου θεότητος, καὶ μορφωθεὶς ἐκ σοῦ κόρη τὸ ἀλλότριον, τοὺς εἰδότας σε, σώζει ἁγνὴ θεομήτορα.

Δόξα.

Υπεδέξατο ἐν ὕλῃ, ἡ παρθένος τὸν ἄϋλον, ἐν μεθέξει ὕλης, βρέφος ἐξ αὐτῆς χρηματίσαντα, ὅθεν ἐν δύο οὐσίαις εἷς γνωρίζεται, σαρκοφόρος Θεὸς, καὶ βροτὸς ἀθρέσιος. Καὶ νῦν.

Μετὰ τόκον σε παρθένον, ὁ παρθένον οἰκήσας σε, καὶ τεχθεὶς ἀπόῤῥως, Λόγος καὶ Θεὸς διεσώσατο, καὶ ἐν τῷ τίκτειν παρθένον διεφύλαξεν, ὡς δεσπότης, καὶ δημιουργὸς πάσης κτίσεως.

ᾠδ. ε΄.

Νῦν ἀναστήσομαι προφητικῶς ἔφη ὁ Θεὸς, νῦν δοξασθήσομαι, τὸν πεσόντα προσλαβὼν ἐκ τῆς παρθένου, καὶ πρὸς φῶς τὸ θαυμαστὸν ἀνυψῶν τῆς ἐμῆς θεότητος.

Οἶκον τῆς δόξης σε, ὄρος Θεοῦ ἅγιον ἁγνὴ, νύμφην, παστάδα, ναὸν ἁγιάσματος, ὁ Υἱὸς ὁ τοῦ Θεοῦ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Θεῦ ἐν σοὶ οἰκήσας, καὶ παράδεισον τρυφῆς ἀΐδιον ἡμῖν εἰργάσατο. Δόξα.

ΣΑ΄ρκα ἐξ αἵματος παρθενικοῦ εἴληφας Χριστὲ, ἄσπορον ἄχραντον, καὶ ἐνυπόστατον λογικὴν, καὶ νοερὰν ἐμψυχωμένην, ἐνεργῆ θελητικὴν, αὐτοδέσποτον, καὶ αὐτεξούσιον. Καὶ νῦν.

ΤΥ΄ραννον φρόνημα, παρθενικὴ ᾔσχυνε γαστήρ. βρέφος ἀσπίδων γὰρ τρώγλην ψυχόλεθρον ἐξηρεύνησε χειρὶ, καὶ ἀποστάτην ἀλαζόνα καθελὼν, τῶν πιστῶν τοῖς ποσὶν ὑπέταξεν.

ᾠδ. ς΄.

ΗΛθον εἰς τὰ βάθη τῆς θαλάσσης, καὶ κατεπόντισέ με, καταιγὶς πολλῶν ἁμαρτημάτων. ἀλλ᾽ ὁ Θεὸς ἐκ φθορᾶς ἀνάγαγε, τὴν ζωήν μου ὡς φιλάνθρωπος. Δόξα.

ΠΑ΄λαι μὲν ἠπάτησεν ὁ ὄφις, καὶ ἐθανάτωσέ με, διὰ τῆς προμήτορός μου Εὔας. νῦν δὲ ἁγνὴ διὰ σοῦ ὁ πλάσας με, ἐκ φθορᾶς ἀνεκαλέσατο.

Καὶ νῦν.

ΑΒυσσός σε ἄβυσσον ἀρρήτως, τῆς εὐσπλαγχνίας κόρη, ἐκλεκτὴν ἀνέδειξε θαυμάτων. καὶ γὰρ ἐκ σοῦ ἀστραπῇ θεότητος, μαργαρίτης Χριστὸς ἔλαμψε.

Καὶ εὐθὺς τὸ Πάτερ ἡμῶν. λέγεται, Ὅτι σοῦ.

καὶ τὸ Κάθισμα, ἦχ. δ΄.

Η Μόνη κυήσασα τὸν ποιητὴν τοῦ παντὸς, ἡ μόνη κοσμήσασα τὴν ἀνθρωπότητα, τῷ τόκῳ σου



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

πάναγνε, ῥῦσαί με τῶν παγίδων τοῦ δολίου βελίαρ, στῆσόν με ἐπὶ πέτραν τῶν Χριστοῦ θελημάτων, αὐτὸν ἐκδυσωποῦσα ἐκτενῶς, ῥῦσαι ἡμᾶς τοῦ αἰωνίου πυρός.

Καὶ εἶτα τὸ συναξάριον λέγεται, εἰ λέγειν δεῖ καὶ μετὰ τοῦτο ᾠδ. ζ΄.

ΝΕ'οι τρεῖς ἐν Βαβυλῶνι, πρόσταγμα τυραννικὸν εἰς φλήναφον θέμενοι, ἐν μέσῳ δὲ φλογὸς ἀνεβόων, εὐλογητὸς εἶ κύριε ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

ΕἾλκει με πρὸς ὑμνῳδίαν, πόθος τοῦ παρθενικοῦ τὸ πῦρ τὸ ἐγκάρδιον, βοᾶν τῇ Μητρὶ καὶ παρθένῳ, εὐλογημένη, κύριος μετὰ σοῦ τῶν δυνάμεων. Δόξα.

ΥἹπερτέρα τῶν κτισμάτων ὤφθης, ὡς τὸν ποιητὴν τεκοῦσα καὶ κύριον. διόσοι βοῶ θεοτόκε, εὐλογημένη, κύριος μετὰ σοῦ τῶν δυνάμεων.

Καὶ νῦν.

ΚΥριότητά σε μίαν σέβω, ἐν ἁγιασμοῖς τρισὶν ἀδιαίρετον, ὑμνῶ τρισυπόστατε φύσις, εὐλογημένη κράζων σοι, ἡ τὸ πᾶν διϊθύνουσα.

ᾠδ. η΄.

ΑΥ'τόπτα τοῦ παντὸς παντοδύναμε, τοὺς ἐν μέσῳ φλογὸς εὐσεβήσαντας. συγκαταβὰς ἐδρόσισας, καὶ ἐδίδαξας μέλπειν, πάντα τὰ ἔργα εὐλογεῖτε, ὑμνεῖτε τὸν κύριον.

ΕἘΚ πλευρᾶς τοῦ Ἀδὰμ πλαστουργήσας σε, ἐκ τῆς σῆς παρθενίας σεσάρκωται, ὁ τῶν ἁπάντων

κυ-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

κύριος, ὃν ὑμνοῦντες βοῶμεν, πάντα τὰ ἔργα εὐλογεῖτε, ὑμνεῖτε τὸν κύριον.

Εὐλογοῦμεν Πατέρα, Υἱὸν, καὶ Ἅγιον Πνεῦμα τὸν κύριον.

ΕΝ σκηνῇ Ἀβραὰμ ἐθεάσατο, τὸ ἐν σοὶ θεοτόκε μυστήριον. τὸν γὰρ υἱόν σου ἄσαρκον, ὑπεδέξατο μέλπων, πάντα τὰ ἔργα εὐλογεῖτε, ὑμνεῖτε τὸν κύριον.

Καὶ νῦν.

ΙΣαρίθμους Τριάδος διέσωσε, τὸ τῆς σῆς παρθενίας προχάραγμα. ἐν γὰρ παρθένοις σώμασι, κατεπάτησαν φλόγα, παῖδες βοῶντες εὐλογεῖτε, ὑμνεῖτε τὸν κύριον.

Αἰνοῦμεν, εὐλογοῦμεν, προσκυνοῦμεν τὸν κύριον.

Λ υξωτὰ τοῦ παντὸς παντοδυνάμε.

Εἶτα ὁ Ἱερ. λέγει.

ΣΕ τὴν Θεοτόκον τὴν μητέρα τοῦ φωτὸς ἐν ὕμνοις μεγαλύνομεν.

Ὁ χορὸς λέγει τὴν ᾠδὴν τῆς Θεοτόκου.

ΜΕγαλύνει ἡ ψυχή μου. ὡς ἐν τῷ ὄρθρῳ. φύλ. 72.

καὶ μετὰ τὸ δόξα καὶ νῦν, λέγεται.

ᾠδὴ θ'.

ΚΡυπτὸν θεῖον ἄχραντον, ἐν σοὶ τελεῖται ἐμφανῶς, μυστήριον παρθένε ἄχραντε. καὶ γὰρ Θεὸς ἐκ σοῦ σεσωμάτωται δι' εὐσπλαγχνίαν, διό σε ὡς θεοτόκον μεγαλύνομεν.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου -
Μουσείο Τυπάλδων Ιακωβάτων

Ὁρῶμέν ὡς κρίνον σε, τῇ ἀλουργίδι βεβαμμένην ἄχραντε τοῦ θείου πνεύματος, τῶν ἀκανθῶν ἐν μέσῳ ἐκλάμπουσαν, καὶ εὐωδίας πληροῦσαν, τοὺς σὲ γνησίως μεγαλύνοντας. Δόξα.

Ξένην προσλαβόμενος βελτείαν φύσιν, ἐκ τῆς σῆς πανάμωμε γαστρὸς ὁ ἄφθαρτος, ἐν ἑαυτῷ ἀνέδειξεν ἄρρευστον δι' εὐσπλαγχνίαν, διό σε ὡς θεοτόκον μεγαλύνομεν. Καὶ νῦν.

Ἡ πάντων δεσπόζουσα τῶν ποιημάτων, τῷ λαῷ σου δώρησαι τὰ τῆς νίκης τρόπαια, ἣ εὐμενῶς πεισθεῖσα ὑπέρμαχον τῇ ἐκκλησίᾳ, ἵνα σε ὡς θεοτόκον μεγαλύνωμεν.

Εἶτα λέγ. τὸν ψαλμὸν ξς'.

Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς, καὶ εὐλογήσαι ἡμᾶς, * ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐλεήσαι ἡμᾶς.

Τοῦ γνῶναι, ἐν τῇ γῇ τὴν ὁδόν σου, * ἐν πᾶσι τοῖς ἔθνεσι τὸ σωτήριόν σου.

Ἐξομολογησάσθωσάν σοι λαοὶ ὁ Θεὸς, * ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες.

Εὐφρανθήτωσαν, καὶ ἀγαλλιάσθωσαν ἔθνη, * ὅτι κρινεῖς λαοὺς ἐν εὐθύτητι, καὶ ἔθνη ἐν τῇ γῇ ὁδηγήσεις.

Ἐξομολογησάσθωσάν σοι λαοὶ ὁ Θεὸς, * ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες, γῆ ἔδωκε τὸν καρπὸν αὐτῆς.

Εὐ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Εὐλογήσαι ἡμᾶς ὁ Θεὸς ὁ Θεὸς ἡμῶν, εὐλογήσαι ἡμᾶς ὁ Θεὸς, * καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς.

Ἔπειτα τὸ τρισάγιον, Παναγία τριάς, Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν. καὶ.

Τεῖχος ἀκαταμάχητον ἡμῶν τῶν χριστιανῶν σὺ ὑπάρχεις θεοτόκε παρθένε. Πρὸς σὲ γὰρ καταφεύγοντες, ἄτρωτοι διαμένομεν, καὶ πάλιν ἁμαρτάνοντες, ἔχομέν σε πρεσβεύουσαν. διὸ εὐχαριστοῦντες βοῶμέν σοι, χαῖρε κεχαριτωμένη, ὁ κύριος μετὰ σοῦ.

Δόξα καὶ νῦν.

Ἡ Κυρίως καὶ ἀληθῶς θεοτόκος, ἡ μεσιτεύουσα ὡς μήτηρ ἐν παῤῥησίᾳ τῷ υἱῷ σου καὶ Θεῷ ἡμῶν, διαφύλαξον τὴν ποίμνην σου, ἐξαιρέτως τῇ σκέπῃ σου προστρέχουσαν, ἐν σοὶ τὸ κράτος ἔχουσαν, καὶ πρὸς σὲ καταφεύγουσαν, τὸν λιμένα, τὸ τεῖχος, τὴν μόνην προστασίαν τοῦ γένους τῶν χριστιανῶν.

Ἔπειτα ἡ Εὐχὴ λεγομένη παρὰ τοῦ Ἱερ.

Τοῦ κυρίου δεηθῶμεν. Κύριε ἐλέησον.

Παντοκράτορ δέσποτα, ὁ τὸ μέτρον τῆς ἡμέρας συμπληρώσας, καὶ τὸ σκότος θέμενος ἐπὶ συστάσει τῆς νυκτὸς, ἐν ᾗ τὴν τῆς σαρκὸς ἡμῶν ἐδωρήσω ἀνάπαυσιν, πάριδε, καὶ συγχώρησον ἡμῖν τὰ πλημμελήματα ἡμῶν, τὰ ἑκούσιά τε, καὶ τὰ ἀκούσια, κατά τε νοῦν, καὶ λόγον, καὶ πρᾶξιν. Καὶ μνήσθητι κύριε πάντων τῶν ἀδελφῶν ἡμῶν, εὐχαῖς τῶν ἁγίων πατέ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

πατέρων ἡμῶν, χαριζόμενος ἡμῖν τὸν ὕπνον φαντασιῶν πονηρῶν ἐλεύθερον, ἐννοιῶν ἀγαθῶν πεπληρωμένον, καὶ πεφωτισμένον τῇ θείᾳ σου χάριτι. Ἵνα ὑπνώσαντες ἐν εἰρήνῃ, καὶ διαναστάντες ἐν ἀγαλλιάσει, τὴν ὀφειλομένην σοι εὐχαριστίαν, καὶ προσκύνησιν ἀναπέμπωμεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς.

ὁ χορ. Ἀμήν.

Τὴν τιμιωτέραν. Ἔνδοξε θεοτόκε ἀειπάρθενε.
Δέσποτα θεὲ Πάτερ. καὶ ὁ Ἱερ. Δόξα σοι Ἰησοῦ Χριστέ.
Δόξα Πατρί.

Ἀπόλυσις.

Ἐ'Υπερένδοξον, καὶ ἀκαταίσχυντον ποιήσῃ κύριος ὁ Θεὸς ἡμῶν τὴν προσευχὴν τοῦ ἀποδείπνου ἡμῶν τῶν ἁμαρτωλῶν, καὶ εὐχαῖς τῶν ἁγίων Πατέρων ἡμῶν ἐν ἀφέσει ἁμαρτιῶν σώσῃ, ἐλεήσῃ, καὶ διαφυλάξῃ πάντας ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

ὁ χορός. Ἀμήν.

Καὶ λέγεται τὸ τυχὸν ἀντίφωνον τῆς θεοτόκου, καὶ τελεῖται ὡς ἔθος, ἤγουν σὺν τῷ Αἰνεῖτε τὸν κύριον.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

# ΑΠΟΔΕΙΠΝΟΝ

## ΤΗΣ ΠΑΡΑΚΛΗΣΕΩΣ ΤΗΣ ΘΕΟΤΟΚΟΥ,

Ὃ λέγεται ἐν ἐκείναις ταῖς παρασκευαῖς ἑσπέρας πρὸ πάντων τῶν σαββάτων, ἐν οἷς οὐχ ὑπάρχει ψαλμὸς τοῦ ἁγίου.

Ὁ Ἱερεύς.

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. Κύριε ἐλέησον.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας.

Καὶ λέγει τὰ εἰρηνικὰ ὡς ἐν τῷ ὄρθρῳ. Εὐλογίαν δέ.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, τῷ Πατρί, καὶ τῷ.

Εἰρήνη πᾶσι. ὁ χορός. Καὶ τῷ Πνεύματί σου.

Θεοτοκία, ἦχ. β'.

Εὐσπλαγχνίας ὑπάρχουσα πηγή, συμπαθείας ἀξίωσον ἡμᾶς θεοτόκε, βλέψον εἰς λαὸν τὸν ἁμαρτήσαντα, δεῖξον ὡς ἀεὶ τὴν δυναστείαν σου. εἰς σὲ γὰρ ἐλπίζοντες, τὸ χαῖρε βοῶμέν σοι, ὥς ποτε ὁ Γαβριὴλ ὁ τῶν ἀσωμάτων ἀρχιστράτηγος.

Δόξα, καὶ νῦν.

Θείας γεγόναμεν κοινωνοὶ φύσεως διὰ σοῦ θεοτόκε ἀειπάρθενε. Θεὸν γὰρ ἡμῖν σεσαρκωμένον ἔτεκες,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

νες, διό σε καταχρέως πάντες εὐσεβῶς μεγαλύνομεν.
Ἔτι καὶ ἔτι ἐν. Ἀντιλαβοῦ, σῶσον. Τῆς παναγίας.
Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστὶν ἡ βασιλεία.
Εἰρήνη πᾶσι. Καὶ τῷ Πνεύματί σου.
ἦχ. πλα. β'.
ΕΝ τῷ ναῷ ἑστῶτες τῆς δόξης σου, ἐν οὐρανῷ ἑστάναι νομίζομεν θεοτόκε, πύλη ἐπουράνιε, ἄνοιξον ἡμῖν τὴν θύραν τοῦ ἐλέους σου. Δόξα καὶ νῦν.
ἘΛπὶς τοῦ κόσμου ἀγαθὴ θεοτόκε παρθένε, τὴν σὴν καὶ μόνην φοβερὰν προστασίαν αἰτοῦμεν, σπλαγχνίσθητι εἰς ἀπερίστατον λαὸν, δυσώπησον τὸν ἐλεήμονα Θεὸν, ῥυσθῆναι τὰς ψυχὰς ἡμῶν ἐκ πάσης ἀπειλῆς μόνη εὐλογημένη.
Ἔτι καὶ ἔτι. Ἀντιλαβοῦ, σῶσον. Τῆς παναγίας.
Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ.
Εἰρήνη πᾶσι. Καὶ τῷ Πνεύματί σου. ἦχ. πλ. δ'.
ΠΡοστασία φοβερὰ καὶ ἀκαταίσχυντε, μὴ παρίδῃς ἀγαθὴ τὰς ἱκεσίας ἡμῶν πανύμνητε θεοτόκε. στήριξον ὀρθοδόξων πολιτείαν, σῶζε, οὓς ἐκέλευσας βασιλεύειν, καὶ χορήγει αὐτοῖς οὐρανόθεν τὴν νίκην, διότι ἔτεκες τὸν Θεὸν μόνη εὐλογημένη.
Δόξα, καὶ νῦν.
Η Νοητὴ πύλη τῆς ζωῆς, ἄχραντε θεοτόκε, τοὺς προστρέχοντάς σοι πιστῶς λύτρωσαι ἐκ τῶν κινδύνων,
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

δειών, ἵνα δοξάζωμεν τὸν πανάγιον τόκον σου, τὴν σωτηρίαν τῶν ψυχῶν ἡμῶν. καὶ εὐθέως ψάλλεται.

Κύριε εἰσάκουσον τῆς προσευχῆς μου. οὐ ψαλλομένου, ὁ Ἱερεὺς λέγει εἰς ἦχ. δ'.

Θεὸς κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου. ὡς ἐν τῷ ὄρθρῳ, καὶ ἔπειτα τροπ. ἦχ. δ'.

Τεῖχος ἀκαταμάχητον ἡμῶν τῶν χριστιανῶν σὺ ὑπάρχεις θεοτόκε παρθένε. πρὸς σὲ γὰρ καταφεύγοντες ἄτρωτοι διαμένομεν, καὶ πάλιν ἁμαρτάνοντες ἔχομέν σε πρεσβεύουσαν. διὸ εὐχαριστοῦντες βοῶμέν σοι, χαῖρε κεχαριτωμένη, ὁ κύριος μετὰ σοῦ.

Δόξα, καὶ νῦν.

Η Κυρίως, καὶ ἀληθῶς θεοτόκος, ἡ μεσιτεύουσα ὡς μήτηρ ἐν παῤῥησίᾳ τῷ Υἱῷ σου καὶ Θεῷ ἡμῶν, διαφύλαξον τὴν ποίμνην σου, ἐξαιρέτως τῇ σκέπῃ σου προστρέχουσαν, ἐν σοὶ τὸ κράτος ἔχουσαν, καὶ πρὸς σὲ καταφεύγουσαν, τὸν λιμένα, τὸ τεῖχος, τὴν μόνην προστασίαν τοῦ γένους τῶν χριστιανῶν.

Ὁ Κανὼν τῆς θεοτόκου, ἦχ. δ'. ᾠδ. α'.

Τῷ ὁδηγήσαντι πάλαι τὸν Ἰσραὴλ φεύγοντα, ἐκ τῆς δουλείας φαραὼ, καὶ ἐν θαλάσσῃ σώσαντι, καὶ ἐν ἐρήμῳ θρέψαντι, ᾄσωμεν τῷ λυτρωτῇ ἡμῶν Θεῷ, ὅτι δεδόξασται.

ΣΕ τὸν πανάγαθον Λόγον ἐκδυσωπῶ κύριε, ὡς ποιητήν μου καὶ Θεὸν, τῇ σῇ με σκέπασον χάριτι,

καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

καὶ ἐξ ἐχθρῶν ὡρμημένων με λύτρωσαι, καὶ ἀοράτων τῆς αὐτῶν βλάβης ἐξάρπασον.

ΚΑταφυγὴ θλιβομένων Μήτηρ Θεοῦ πάναγνε, ὑπὸ τὴν σκέπην σου πιστῶς, ὁ σὸς οἰκέτης κατέφυγον, παντὸς κακοῦ με συντήρησον ἄτρωτον, ἐκδυσωποῦσα τὸν Χριστὸν, ὃν ἀπεκύησας. Δόξα.

ΑΠὸ ἀνθρώπων ἀδίκων καὶ πονηρῶν ῥῦσαι με, καὶ ἀπὸ γλώσσης δολίας ὁ ἐπιστάμενος κύριε τὴν ἀνθρωπίνην ἀσθένειαν, ὅπως σε ὡς εὐεργέτην ἀνυμνῶ, ἀεί με σκέπασον. Καὶ νῦν.

ΟἹ ἐπιχαίροντες μάτην Μήτηρ Θεοῦ πάναγνε, τοῖς ἐμοῖς πάντοτε κακοῖς, φθόνῳ δεινῷ συντηκόμενοι, καταισχυνθείησαν ἄχρι τε, βλέποντες τῇ σῇ με σκέπῃ κραταιᾷ περιφρουρούμενον.

ᾠδ. γ΄.

Ὁ στερεῶν βροντὴν καὶ κτίζων Πνεῦμα, στερέωσόν με κύριε, ἵνα ὑμνῶ σε εἰλικρινῶς, καὶ ποιῶ τὸ θέλημά σου, ὅτι οὐκ ἔστιν ἅγιος ὡς ὁ Θεὸς ἡμῶν.

Ὁ Δανιὴλ ἐκ στόματος λεόντων, ῥυσάμενος ἀπήμονα, κἀμὲ τὸν δοῦλον σου ἀγαθὲ ῥῦσαι ἐκ στόματος ἀδίκου, καὶ ἀπὸ γλώσσης κύριε δολίας ὡς εὔσπλαγχνος.

ἘΝ τῷ πρὸς σὲ παρθένε κεκραγέναι, εἰσάκουσον τοῦ δούλου σου, καὶ ἐν βίῳ πάντων κακῶν περιφρούρησόν με σῶον, ἐκδυσωποῦσα κύριον τὸν μόνον φιλάνθρωπον.

Δόξα.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Δόξα.

ΤΑ ἐν κρυφῇ Χριστέ μου πεπραγμένα, μὴ φανερώσῃς πταίσματα, τοὺς ἐνεδρεύοντας κατ' ἐμοῦ, καὶ τὴν πτῶσιν μου ζητοῦντας ὡς ἀγαθὸς ματαίωσον, καὶ σῶσόν με τὸν δοῦλόν σου.

Καὶ νῦν.

Η θαυμαστὴν λοχείαν κεκτημένη, νῦν ἐπ' ἐμοὶ θαυμάστωσον, τὰ σὰ ἐλέη καὶ οἰκτιρμοὺς τοὺς πλουσίους σου Παρθένε, καὶ ἐκ παντοίων ῥῦσαί με παγίδων τοῦ ὄφεως.

Ὁ Ἱερ. λέγει.

Ἔτι καὶ ἔτι. Ἀντιλαβοῦ. Τῆς παναγίας ἀχράντου. Ὅτι ηὐλόγηται, καὶ δεδόξασται τὸ πάντιμον, καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρός. Εἰρήνη πᾶσι. ὁ χορός. Καὶ τῷ Πνεύματί σου.

Κάθισμα, ἦχ. δ'.

Τῇ Θεοτόκῳ ἐκτενῶς νῦν προσπέσωμεν, ἐν μετανοίᾳ κράζοντες ἐκ βάθους ψυχῆς. Δέσποινα, βοήθησον ἐφ' ἡμῖν σπλαγχνισθεῖσα, σπεῦσον ἀπολλύμεθα ὑπὸ πλήθους πταισμάτων. μὴ ἀποστρέψῃς σοὺς δούλους κενούς, σὲ γὰρ καὶ μόνην ἐλπίδα κεκτήμεθα.

ᾨδ. δ'.

ΑΚήκοεν ὁ προφήτης τὴν ἔλευσίν σου Κύριε καὶ ἐφοβήθη, κατενόησε τὰ ἔργα σου καὶ ἐξέστη, δόξα τῇ δυνάμει σου, δόξα Χριστὲ τῇ συγκαταβάσει σου.

ΤΑ ῥήματά μου Κύριε ἐνώτισαι, καὶ πρόσδεξαι τὸν στεναγμόν μου, καὶ τῇ σκέπῃ σου με σκέπασον τῇ



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ἁγία, ὅπως ἀκυρεύοντος τοῖς ἐχθροῖς φθονεροῖς δέσποτα γνωρίσωμαι.

Η Βασιλὶς καὶ κυρία τὸν βασιλέα κύριον ἀεὶ δυσώπει, ἀκυρῶσαι πᾶσαν βούλησιν ἐναντίαν, κατ' ἐμοῦ τοῦ δούλου σου, καὶ σώζεσθαί με ἀβλαβῆ ἀκίνδυνον. Δόξα.

Πρὸς σέ μου τὸν νοῦν ἀνάγω, πρὸς σέ μου καὶ τὰ ὄμματα καὶ τὴν καρδίαν, ἀνατείνω παντοδύναμε ὡς στερεόν, ῥῦσαι ἐκ παγίδων με, παντὸς θηρεύοντος, καὶ τοῦ ἐνεδρεύοντος. Καὶ νῦν.

Τὸν δυνατὸν ἐν ἰσχύει κυήσασα παμάμωμε τὸ ἀσθενές μου, ἱκετεύω σε δυνάμωσον, καὶ δολίας ῥῦσαι δυναστείας με, ἀνθρώπων δεινῶν, καὶ δαιμόνων ἄχραντε. ᾠδὴ ε'.

Ἀνάτειλόν μοι κύριε τὸ φῶς τῶν προσταγμάτων σου, ὅτι πρὸς σὲ Χριστὲ τὸ Πνεῦμά μου ὀρθρίζει καὶ ὑμνεῖ σε, σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν, καὶ πρὸς σὲ καταφεύγομεν τῆς εἰρήνης βασιλεῦ.

Ἐκ θλίψεως βοήθειαν παράσχου μοι φιλάνθρωπε, καὶ φθονεροὺς τοὺς ἐπεμβαίνοντας, καὶ θλίβοντάς με μάτην, ἀσθενεῖς ἀπόδειξον, καὶ τῆς τούτων ῥῦσαί με προσδοκίας ἀγαθέ.

Κυβέρνησόν με δέσποινα πελάγει θαλαττεύοντα, καὶ κοσμικῶν σκανδάλων ἄχραντε, καὶ ῥῦσαί με δαιμόνων ἐπηρείας δέομαι, πονηρῶν ἀνθρώπων τε καὶ κινδύνων καὶ φθορᾶς.

Δόξα.

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Δόξα.

ΜΑταίωσον τοὺς μάτην με πειράζειν δοκιμάζοντας, καὶ μὴ ποιήσῃς με ἐπίχαρμα ἀνθρώπων, τῶν φθονούντων τὴν εὐημερίαν μου, ὁ εἰδώς μου Κύριε Ἰησοῦ τὸ ἀσθενές. Καὶ νῦν.

ΝΥκτὶ, καὶ ἐν ἡμέρᾳ σε παρθένε εἰς βοήθειαν ἐπικαλοῦμαι ὁ οἰκέτης, μὴ ἐξουδενώσῃς, μὴ δὲ καταισχύνῃς με ἐκ τῆς προσδοκίας μου, ἥνπερ κέκτημαι εἰς σέ. ᾠδὴ ϛ'.

ΖΑ'λη με λογισμῶν καταλαβοῦσα, εἰς βυθὸν ἀπέρριψεν ἀμέτρων ἁμαρτημάτων, ἀλλὰ σὺ κυβερνῆτα ἀγαθὲ προφθάσας διάσωσον, ὡς τὸν προφήτην, καὶ σῶσον με.

ΖΑ'λης με, καὶ κινδύνων, καὶ σκανδάλων τοῦ βίου διάσωσον, σκέπασόν με τῇ χειρὶ ἀοράτων ἐχθρῶν, καὶ ὁρατῶν ἀδίκου ἐπηρείας, ἵνα ὑμνῶ σε φιλάνθρωπε.

ΨΥχῆς μου θεοτόκε τὰς ὀδύνας, καὶ πάθη τοῦ σώματος ἰάτρευσον δυσωπῶ σε, καὶ τῇ σῇ μεσιτείᾳ πρὸς Θεὸν, παντὸς ἐπερχομένου πειρασμοῦ, κινδύνων σῶον συντήρησον.

Δόξα.

ΚΥ'ριε ὁ τοὺς παῖδας ἐν καμίνῳ ἀβλαβεῖς ῥυσάμενος, κἀμὲ τὸν δοῦλον σου ῥῦσαι ἀβλαβῆ ἀπὸ πάσης πονηρᾶς βουλῆς, καὶ ἐπηρείας τῶν φθονερῶς ἐχθραινόντων μοι.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Καὶ νῦν.

ΤΕ'τοκας ὑπὲρ φύσιν τὸν προόντα, τοῦτον οὖν ἱκέτευε θεογεννήτωρ παρθένε, τὴν ψυχήν μου φυλάξαι ἀβλαβῆ, κινδύνων ἀοράτων ἐπερχομένων ἑκάστοτε.

Ὁ Ἱερεὺς λέγει.

Ἔτι καὶ ἔτι. Ἀντιλαβοῦ. Τῆς παναγίας ἀχράντου. Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπ. Εἰρήνη πᾶσι. ὁ χορός. Καὶ τῷ Πνεύματί σου. Κοντάκιον.

ΠΡοστασία ἄμαχε τῶν θλιβομένων, καὶ θερμὴ ἀντίληψις τῶν προστρεχόντων ἐπὶ σοὶ, ἐκ τῶν κινδύνων με λύτρωσαι, μή με παρίδῃς ἡ πάντων βοήθεια.

Ὁ οἶκος.

ΔΕ'ξαι τὴν δέησιν ἡμῶν εὐπρέπεια τοῦ κόσμου, ὡς δάκρυα τῆς πόρνης, καὶ πίστιν χαναναίας, καὶ τοῦ τελώνου στεναγμὸν, μετάνοιάν τε Πέτρου, καὶ τῆς χήρας τὰ λεπτὰ ὁ σὸς Υἱὸς ἐδέξατο, ὡσαύτως παναγία θεόνυμφε δέξαι δυσωποῦντας, μὴ παρίδῃς, μὴ ἀπώσῃ πανύμνητε σοὺς πιστοὺς οἰκέτας, τὸν κείμενον κἀμὲ βορβόρῳ τῶν ἔργων μου, καὶ τοῖς χρῄζουσι τῆς σῆς νῦν βοηθείας ὄρεξον ἁγνὴ τὴν χεῖρα σου τῆς σωτηρίας, μή με παρίδῃς ἡ πάντων βοήθεια.

ᾠδὴ ζ'.

ΤῊ εἰκόνι τῇ χρυσῇ μὴ προσκυνήσαντες παῖδες ἀβραμιαῖοι, ἐδοκιμάζοντο ὥσπερ χρυσὸς ἐν χωνευτηρίῳ, ἐν καμίνῳ δὲ φλογὸς, ὡς ἐν θαλάμῳ φωτεινῷ ἐχόρευον βοῶντες, εὐλογητὸς ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ἐν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἐν βουλαῖς ὁ φοβερὸς τὰ διαβούλια πάντα τὰ τῆς ψυχῆς μου πρὸς σὲ κατεύθυνον, τοὺς κατ' ἐμοῦ βουλευομένους, μὴ ἐάσῃς ἀγαθὲ κακοποιῆσαί με ποτὲ, ἀλλ' ὅλον με λύτρωσαι τῆς προσδοκίας αὐτῶν βοῶντα, εὐλογητὸς ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Τὴν ψυχήν μου τὴν πολλαῖς ἐσκοτισμένην ἀπάταις, ἁγνὴ τοῦ βίου φώτισον δέομαι, ἡ φῶς τὸ θεῖον ἀποτεκοῦσα, τοὺς πειράσαι φθονερῶς δοκιμάζοντας ἐχθροὺς, ἀπράκτους ἀπέργασαι, καὶ σῶσόν με ἀγαθὴ τὸν πεποιθότα εἰς σέ. Δόξα.

Τὰς ὁδούς σου ὁ Θεὸς ὡς ἀγαθὸς γνώρισόν μοι, καὶ δίδαξόν με Χριστὲ τὰς τρίβους σου, καὶ μὴ ἐάσῃς με πειρασθῆναι ὑπὸ ἀνθρώπων, ἐκ δαιμόνων δυσμενῶν, ἀλλὰ τῇ σῇ σκέπε με κραταιοτάτῃ χειρὶ ἐκδυσωπῶ σε ἀεί. Καὶ νῦν.

Ἐπὶ σὲ τὴν καθαρὰν, χεῖρας ἐκτείνω ῥυπώσας, εἰδώς σου κόρη σαφῶς τὸ εὔσπλαγχνον, μὴ παρίδῃς τὴν δέησίν μου, ἀλλὰ τεῖχος ὀχυρὸν ἀπὸ προσώπου δυσμενῶν, γενοῦ μοι σὺ ἄχραντε, τῆς προσδοκίας αὐτῶν ἀπολυτροῦσα με. ᾠδ. ή.

Ἐν πυρὶ φλογὸς παρίστανται, χερουβὶμ, σεραφὶμ κύκλῳ, καὶ πᾶσα κτίσις ὕμνον ᾄδει σοι τερπνὸν, ὑμνεῖτε εὐλογεῖτε, λαοὶ φυλαὶ καὶ γλῶσσαι, τὸν ὄντως ὄντα Θεὸν, εἰς πάντας τοὺς αἰῶνας.

Ὡς διέσωσας φιλάνθρωπε, τὸν πιστόν σου Δαβὶδ πάντοτε, πειρατηρίων ἐρχομένων ἐπ' αὐτὸν,



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

καὶ μὲ τὸν σὸν οἰκέτην, τῶν ἐπισυμβαινόντων, ἐξάρπασον παγίδων ἀεὶ, ὅπως ὑμνολογῶ σε.

Τῆς κακίας ἀπεκύησας, ἀναιρέτην ἁγνὴ κύριον, ὅνπερ δυσώπει, ὡς Υἱόν σου καὶ Θεὸν, κακίας με ἀνθρώπων, καὶ βλάβης τῶν δαιμόνων, λυτρώσασθαι τὴν σὴν κραταιὰν, δοξολογοῦντα σκέπην.

Εὐλογοῦμεν Πατέρα, Υἱὸν, καὶ ἅγιον Πνεῦμα τὸν κύριον.

Μαναασῆν ποτὲ ὡς ἔσωσας, εὐεργέτα Χριστὲ δέσμιον, κατειλημμένον, καὶ βοήσαντα θερμῶς, κἀμὲ τῆς προσδοκίας, τῶν ἐχθραινόντων σῶσον, καὶ δεῖξον με τῆς τούτων ὁρμῆς, ὑπέρτερον βοῶσοι.

Καὶ νῦν.

Ἡ ψυχή μου τεξαυμάτισται, βλαβεραῖς ἡδοναῖς δέσποινα, οἱ θλίβοντές με, ἐπληθύνθησαν ἐχθροὶ, βοήθησόν μοι, ἀεὶ ἐκδυσωποῦσα.

Αἰνοῦμεν, εὐλογοῦμεν.

Ἐν πυρὶ φλογερὸς παρίστανται, χερουβὶμ, σεραφίμ.

Ὁ Ἱερεὺς λέγει.

Σὲ τὴν θεοτόκον τὴν Μητέρα τοῦ φωτὸς ἐν ὕμνοις μεγαλύνομεν.

Καὶ ὁ χορὸς ψάλλει τὸ Μεγαλύνει. καὶ ἔπειτα.

ᾠδ. θ'.

Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατὸς, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν, καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.

Ὅτι

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὅτι Θεὸς ἐλέους, καὶ οἰκτιρμῶν ὑπάρχεις Χριστὲ, οἰκτείρησόν με μόνε ἀγαθὲ, καὶ παντοίων πειρασμῶν ἐπερχομένων φθονερῶς ῥῦσαι καὶ σῶσον με.

Πολλοὶ οἱ πολεμοῦντες ἀπὸ ὕψους με δυσμενεῖς, πολλοὶ δὲ καὶ ἐν γῇ οἱ φθονερῶς ἐπεμβαίνοντες ἀεὶ τῇ ἀσθενείᾳ μου, ἐξ ὧν παρθένε καὶ σῶσον με.

Δόξα.

Ἐλέησόν με μόνε ἐλεήμων πταίσαντά σοι, καὶ δίδου μοι χρεῶν ἀποκοπὴν, καὶ ἀνθρώπων βλαβερῶν νῦν ἐξελοῦ, κακοποιεῖν ἐπιζητούντων με.

Καὶ νῦν.

Ὑμνῶ σε θεοτόκε, διὰ σοῦ γὰρ σώζομαι παντὸς ἐπερχομένου πειρασμοῦ, καὶ βοῶ σοι ἐκτενῶς, τῇ ἀσθενείᾳ μου γενοῦ διὰ παντὸς βοηθός.

Μετὰ ταῦτα γουναζόμενοι πάντες λέγουσι τοὺς ὕμνους τῆς θεοτόκου, ἦχ. πλα. δ'.

Τὸν πολεμοῦντά με ἐχθρὸν πολέμησον Λόγε, ὁ ἀφορίσας με ἐκ κοιλίας μητρός μου Θεῷ τῷ πανοικτίρμονι.

Ἆσμα μελῳδοῦντα με δέξαι, προέχες τῇ ἐμῇ ταπεινώσει, καὶ στερέωσον τῇ πίστει τῇ ἁγίᾳ, ὅπως ἐκ νυκτὸς ὀρθρίσας βοήσω πρὸς τὸν κύριον.

Ὁ τῶν Πατέρων καὶ ἡμῶν Θεὸς εὐλογητὸς εἶ, δι' οὗ τὰ ποιήματα εὐλογεῖται, καὶ ὑπερυψοῦται, καὶ ἡμεῖς τὴν θεομήτορα μεγαλύνομεν.

Μεγαλύνομεν πάντες τὴν φιλανθρωπίαν σου κύριε



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

σωτὴρ ἡμῶν, εἰς δόξαν τῶν δούλων σου, καὶ στεφάνους τῶν πιστῶν, ὁ μεγαλύνας τὴν Μητέρα τὴν τεκοῦσάν σε.

Χαῖρε ἡ πύλη τοῦ Θεοῦ, χαῖρε πανάχραντε παρθένε ἁγνή, χαῖρε δέσποινα καὶ προστασία τοῦ κόσμου, χαῖρε τεῖχος καὶ καταφυγή, καὶ σκέπη τοῦ γένους ἡμῶν.

Ὑπὸ τὴν σὴν εὐσπλαγχνίαν καταφεύγομεν θεοτόκε, τὰς ἡμῶν ἱκεσίας μὴ παρίδῃς ἐν περιστάσει, ἀλλ᾽ ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, μόνη ἁγνὴ μόνη εὐλογημένη.

Ἡ ἐλπὶς τῶν ἀπηλπισμένων, ἡ ζωὴ τῶν ἀπεγνωσμένων, ἡ ἀντίληψις πάντων εἰς σὲ προστρεχόντων, ἁγία δέσποινα θεοτόκε τὴν βοήθειάν σου κατάπεμψον ἡμῖν.

Σὲ δυσωποῦμεν ὡς Θεοῦ Μητέρα, εὐλογημένη πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τὸ Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, Ὅτι σοῦ.

καὶ τὸ τροπάριον.

Θεοτόκε ὁ κόσμος εἰς σὲ ἐλπίζει, καὶ πρὸς σὲ καταφεύγει ἐν ταῖς ἀνάγκαις ἡμῶν.

Λιμένα σε ἀχείμαστον, καὶ τεῖχος ἀπροσμάχητον κεκτημένοι, τοὺς ἐν ζάλῃ γὰρ σώζεις, σὺ ἐν ἀνάγκαις λύτρωσαι, καὶ τοῖς ἐν θλίψεσι γενοῦ παραμυθία, δεόμεθα. Θεοτόκε ὁ κόσμος εἰς σὲ ἐλπίζει. ὡς ἄνω.

Εἶτα ὁ Ἱερεύς.

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον, καὶ ἐλέησον.

ὁ χορὸς. Κύριε ἐλέησον, Κύριε ἐλέησον.

Ὑπὲρ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὑπὲρ τοῦ ἵλεων, εὐμενῆ, καὶ εὐδιάλλακτον γενέσθαι τὸν ἀγαθὸν, καὶ φιλάνθρωπον Θεὸν ἡμῶν ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, καὶ ἐλεῆσαι ἡμᾶς. Κύριε ἐλέησον, Κύριε ἐλ.

Ὑπὲρ τῶν προκοπιασάντων, καὶ ἀφιερωσάντων, τῶν διακονούντων, καὶ ἐντειλαμένων ἡμῖν εὔχεσθαι ὑπὲρ αὐτῶν, δεηθῶμεν. Κύριε ἐλ. Κύριε ἐλ.

Ὑπὲρ μνήμης, κοιμήσεως, καὶ μακαρίας ἀναπαύσεως πάντων τῶν κεκοιμημένων χριστιανῶν, πατέρων, καὶ ἀδελφῶν ἡμῶν τῶν ἐνθάδε, καὶ πανταχοῦ κειμένων, κοιμήσεως, ἀνέσεως, καὶ μακαρίας ἀναπαύσεως αὐτῶν, δεηθῶμεν. Κύριε ἐλ. Κύριε ἐλ.

Ἐπάκουσον ἡμῶν ὁ Θεὸς ὁ σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς, καὶ τῶν ἐν θαλάσσῃ μακρᾷ, καὶ ῥῦσαι κύριε ὁ Θεὸς ἡμῶν τὴν μονὴν ἡμῶν ταύτην, καὶ πᾶσαν πόλιν, καὶ χώραν χριστιανῶν ἀπὸ ὀργῆς, λοιμοῦ, λιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρὸς, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων, καὶ ἐμφυλίου πολέμου, καὶ ἐπάκουσον ἡμῶν, καὶ ἐλέησον.

ὁ χορός. Κύριε ἐλ. ιβʹ.

Καὶ ὁ Ἱερεύς.

Ὅτι ἐλεήμων, καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν.

Δόξα σοι Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἡ ἐλπὶς πάντων ἡμῶν δόξα σοι.

ὁ χο:

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ὁ χορὸς. Δόξα, καὶ νῦν, Κύριε ἐλέησον, Κύριε εὐλόγησον.

ὁ Ἱερεὺς.

Ο Εὔσπλαγχνος καὶ ἐλεήμων Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ Μητρὸς δεσποίνης ἡμῶν θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, καὶ πάντων τῶν ἁγίων, προσδέξοιτο τὴν προσευχὴν τῆς παρακλήσεως ἡμῶν τῶν ἁμαρτωλῶν, καὶ εὐχαῖς τῶν ἁγίων πατέρων ἡμῶν ἐν ἀφέσει ἁμαρτιῶν σώσῃ, ἐλεήσῃ, καὶ διαφυλάξῃ πάντας ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. ὁ χορὸς. Ἀμήν.

⁂ ⁂ ⁂ ⁂ ⁂ ⁂

# ΕΙΣ ΤΟ ΜΕΣΟΝΥΚΤΙΟΝ

## ΛΕΓΕΙ Ο ΙΕΡΕΥΣ.

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν. Ἀμήν. Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι. Βασιλεῦ οὐράνιε.

Καὶ τὸ τρισάγιον, Παναγία τριὰς, Πάτερ ἡμῶν καὶ Ὅτι σοῦ ἐστὶν.

Δεῦτε προσκυνήσωμεν τῷ βασιλ. ὡς ἔθος.

Καὶ λέγεται τὸ Ἐλέησόν με ὁ Θεὸς, εἰ μὴ ἐστὶ κανὼν τοῦ ἁγίου. εἰδ᾽ οὐκ ἔστι κανὼν, μετὰ τὸ Δεῦτε προσκυνήσωμεν, λέγεται εὐθὺς τὸ Μακάριοι οἱ ἄμωμοι.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Καὶ εἰς τὸ τέλος τὸ τρισάγιον, Παναγία τριὰς, Πάτερ ἡμῶν, καὶ τὰ παρόντα τροπάρια.

ΕΛέησον ἡμᾶς κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην σοι τὴν ἱκεσίαν ὡς δεσπότῃ, οἱ ἁμαρτωλοὶ προσφέρομεν, ἐλέησον ἡμᾶς.

ΕΛέησον ἡμᾶς κύριε, ἐλέησον ἡμᾶς, ἐπὶ σοὶ γὰρ πεποίθαμεν. μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μὴ δὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν, ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος, καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. σὺ γὰρ εἶ Θεὸς ἡμῶν, καὶ ἡμεῖς λαός σου, πάντες ἔργα χειρῶν σου, καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

ΤΗ͂ς εὐσπλαγχνίας τὴν πύλην, ἄνοιξον ἡμῖν εὐλογημένη θεοτόκε. ἐλπίζοντες εἰς σὲ, μὴ ἀστοχήσωμεν, ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων. σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν χριστιανῶν.

ΠΟλλὰ τὰ πλήθη τῶν ἐμῶν θεοτόκε πταισμάτων, πρὸς σὲ κατέφυγον ἁγνὴ, σωτηρίας δεόμενος. ἐπίσκεψαι τὴν ἀσθενοῦσαν μου ψυχὴν, καὶ πρέσβευε τῷ υἱῷ σου καὶ Θεῷ ἡμῶν, δοθῆναί μοι τὴν ἄφεσιν, ὧν ἔπραξα δεινῶν, μόνη εὐλογημένη.

ΠΑναγία θεοτόκε τὸν χρόνον τῆς ζωῆς μου, μὴ ἐγκαταλίπῃς με, ἀνθρωπίνῃ προστασίᾳ μὴ καταπιστεύσῃς με, ἀλλ' αὐτὴ ἀντιλαβοῦ, καὶ ἐλέησόν με.

ΗΕλπὶς τῶν ἀπηλπισμένων, ἡ ζωὴ τῶν ἀπεγνωσμένων, ἡ ἀντίληψις τῶν εἰς σὲ προστρεχόντων, ἁγία

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ἁγία δέσποινα θεοτόκε, τὴν βοήθειάν σου κατάπεμψον ἡμῖν.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μήτηρ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Ὁ Ἱερεύς.

Τοῦ κυρίου δεηθῶμεν. Κύριε ἐλέησον.

Εὐχή.

Ὁ Ἐν παντὶ καιρῷ, καὶ πάσῃ ὥρᾳ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς προσκυνούμενος, καὶ δοξαζόμενος Χριστὸς ὁ Θεὸς, ὁ μακρόθυμος, ὁ πολυέλεος, ὁ πολυεύσπλαγχνος, ὁ τοὺς δικαίους ἀγαπῶν, καὶ τοὺς ἁμαρτωλοὺς ἐλεῶν, ὁ πάντας καλῶν πρὸς σωτηρίαν, διὰ τῆς ἐπαγγελίας τῶν μελλόντων ἀγαθῶν. αὐτὸς κύριε πρόσδεξαι καὶ ἡμῶν ἐν τῇ ὥρᾳ ταύτῃ τὰς ἐντεύξεις, καὶ ἴθυνον τὴν ζωὴν ἡμῶν πρὸς τὰς ἐντολάς σου. Τὰς ψυχὰς ἡμῶν ἁγίασον, τὰ σώματα ἅγνισον, τοὺς λογισμοὺς διόρθωσον, τὰς ἐννοίας κάθαρον, καὶ ῥῦσαι ἡμᾶς ἀπὸ πάσης θλίψεως, κακῶν, καὶ ὀδύνης. Τείχισον ἡμᾶς ἁγίοις σου ἀγγέλοις, ἵνα τῇ παρεμβολῇ αὐτῶν φρουρούμενοι, καὶ ὁδηγούμενοι, καταντήσωμεν εἰς τὴν ἑνότητα τῆς πίστεως, καὶ εἰς τὴν ἐπίγνωσιν τῆς ἀπροσίτου σου δόξης. ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τὴν τιμιωτέραν. Ἔνδοξε θεοτόκε ἀειπάρθενε.

Δέσποτα Θεὲ, Πάτερ. Δόξα σοι Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν.

Δόξα.

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Δόξα, καὶ νῦν, καὶ ἀπόλυσις.

Ε'Υπρόσδεκτον, καὶ ἀκαταίσχυντον ποιήσῃ κύριος ὁ Θεὸς ἡμῶν τὴν προσευχὴν τῆς μεσονυκτίου ἡμῶν τῶν ἁμαρτωλῶν, καὶ εὐχαῖς τῶν ἁγίων Πατέρων ἡμῶν ἐν ἀφέσει ἁμαρτιῶν σώσῃ, ἐλεήσῃ, καὶ διαφυλάξῃ πάντας ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. Αμήν.

# ΕΙΣ ΤΗΝ ΑΚΟΛΟΥΘΙΑΝ

## ΤΟΥ ΜΕΓΑΛΟΥ ΑΠΟΔΕΙΠΝΟΥ

Λεγομένου ἐν τῇ μεγάλῃ μ'. μέχρι τῆς μεγάλης δ'. τῆς ἁγίας ἑβδομάδ. χωρὶς τῶν Παρασκευῶν, Σαββάτων, καὶ Κυρ. ἑσπέρας, καὶ τῶν ἑορτῶν τῶν ἁγίων μ'. μαρτύρων, καὶ τοῦ Εὐαγγελισμοῦ.

Ὁ Ἱερεὺς λέγει.

Ε'Υλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν.

ὁ χορ. Αμήν.

Τὸ τρισάγιον, Παναγία τριάς, Πάτερ ἡμῶν, καὶ Ὅτι σοῦ ἐστίν. Δεῦτε προσκυνήσωμεν. ὡς ἔθος.

Ψαλ. δ'.

Ε'Ν τῷ [2] ἐπικαλεῖσθαί με εἰσήκουσέ μου * ὁ Θεὸς τῆς δικαιοσύνης μου.

Ἐν

Ἐν θλίψει ἐπλάτυνάς με, οἰκτείρησόν με, * καὶ εἰσάκουσον τῆς προσευχῆς μου.

Υἱοὶ ἀνθρώπων ἕως πότε βαρυκάρδιοι; * ἵνα τί ἀγαπᾶτε ματαιότητα, καὶ ζητεῖτε ψεῦδος;

Καὶ γνῶτε [1] ὅτι ἐθαυμάστωσε κύριος τὸν ὅσιον αὐτοῦ, * κύριος εἰσακούσεταί μου ἐν τῷ κεκραγέναι με πρὸς αὐτόν.

Ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε, * ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε.

Θύσατε θυσίαν δικαιοσύνης, * καὶ ἐλπίσατε ἐπὶ κύριον.

Πολλοὶ λέγουσι, τίς δείξει ἡμῖν τὰ ἀγαθά; * ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου κύριε. ***

Ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου, * ἀπὸ καρποῦ σίτου, οἴνου, καὶ ἐλαίου αὐτῶν ἐπληθύνθησαν.

Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι, καὶ ὑπνώσω, * ὅτι σὺ κύριε καταμόνας ἐπ' ἐλπίδι κατῴκισάς με.

Ψαλ. ϛʹ.

Κύριε [1] μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, * μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.

Ἐλέησόν [2] με κύριε, ὅτι ἀσθενής εἰμι. ἴασαί με κύριε, * ὅτι ἐταράχθη τὰ ὀστᾶ μου, καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα, καὶ σὺ κύριε ἕως πότε;

Ἐπίστρεψον κύριε, ῥῦσαι τὴν ψυχήν μου, * σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου.

Ὅτι

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου, * ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι.

Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου, λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, * ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω.

Ἐταράχθη ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου, * ἐπαλαιώθην ἐν πᾶσι τοῖς ἐχθροῖς μου.

Ἀπόστητε ἀπ' ἐμοῦ πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, * ὅτι εἰσήκουσε κύριος τῆς φωνῆς τοῦ κλαυθμοῦ μου.

Ἤκουσε κύριος τῆς δεήσεώς μου, * κύριος τὴν προσευχήν μου προσεδέξατο.

Αἰσχυνθείησαν, καὶ ταραχθείησαν πάντες οἱ ἐχθροί μου, * ἀποστραφείησαν, καὶ καταισχυνθείησαν σφόδρα διὰ τάχους.

Ψαλ. ιβ'.

Ἕως πότε κύριε ἐπιλήσῃ μου εἰς τέλος; * ἕως † πότε ἀποστρέψεις τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ;

Ἕως τίνος θήσομαι βουλὰς ἐν ψυχῇ μου; * ὀδύνας ἐν καρδίᾳ μου ἡμέρας καὶ νυκτός.

Ἕως πότε ὑψωθήσεται ὁ ἐχθρός μου ἐπ' ἐμέ; * †

Ἐπίβλεψον, εἰσάκουσόν μου κύριε ὁ Θεός μου.

Φώτισον τοὺς ὀφθαλμούς μου, * μήποτε ὑπνώσω εἰς θάνατον.

Μήποτε εἴπῃ ὁ ἐχθρός μου, ἴσχυσα πρὸς αὐτόν. * οἱ θλίβοντές με ἀγαλλιάσονται ἐὰν σαλευθῶ.

Ἐγὼ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἐγὼ δὲ ἐπὶ τῷ ἐλέει σου ἤλπισα, * ἀγαλλιάσεται ἡ καρδία μου ἐπὶ τῷ σωτηρίῳ σου.

Ἄσω τῷ κυρίῳ τῷ εὐεργετήσαντί με, * καὶ ψαλῶ τῷ ὀνόματι κυρίου τοῦ ὑψίστου.

Δόξα, καὶ νῦν, ἀλλ. γ΄. Δόξα σοι ὁ Θεός, ὡς ἔθος.

Ψαλμὸς κδ΄.

Πρὸς σὲ κύριε ἦρα τὴν ψυχήν μου, ζήτει εἰς τὴν γ΄. ὥραν.

Ψαλ. λ΄.

Ἐπὶ σοὶ [1] κύριε ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν † αἰῶνα, * [2] ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με, καὶ † ἐξελοῦ με.

Κλῖνον πρός με τὸ οὖς σου, τάχυνον τοῦ ἐξελέσθαι με, * γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστήν, καὶ εἰς οἶκον καταφυγῆς τοῦ σῶσαί με.

Ὅτι κραταίωμά μου, καὶ καταφυγή μου εἶ σύ, * καὶ ἕνεκεν τοῦ ὀνόματός σου ὁδηγήσεις με, καὶ διαθρέψεις με. *

Ἐξάξεις με ἐκ παγίδος ταύτης, ἧς ἔκρυψάν μοι, ὅτι σὺ εἶ ὁ ὑπερασπιστής μου. *

Κύριε εἰς χεῖράς σου παραθήσομαι τὸ Πνεῦμά μου, ἐλυτρώσω με κύριε ὁ Θεὸς τῆς ἀληθείας.

Ἐμίσησας τοὺς διαφυλάσσοντας * ματαιότητας διακενῆς.

Ἐγὼ δὲ ἐπὶ τῷ κυρίῳ ἤλπισα, * ἀγαλλιάσομαι, καὶ εὐφρανθήσομαι ἐπὶ τῷ ἐλέει σου.

Ὅτι ἐπεῖδες ἐπὶ τὴν ταπείνωσίν μου, ἔσωσας ἐκ τῶν ἀναγ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ἀναγκῶν τὴν ψυχήν μου, * καὶ συνέκλεισάς με εἰς χεῖρας ἐχθρῶν.

Ἔστησας ἐν εὐρυχώρῳ τοὺς πόδας μου, * ἐλέησόν με κύριε ὅτι θλίβομαι.

Ἐταράχθη ἐν θυμῷ ὁ ὀφθαλμός μου, * ἡ ψυχή μου, καὶ ἡ γαστήρ μου.

Ὅτι ἐξέλιπεν ἐν ὀδύνῃ ἡ ζωή μου, * καὶ τὰ ἔτη μου ἐν στεναγμοῖς.

Ἠσθένησεν ἐν πτωχείᾳ ἡ ἰσχύς μου, * καὶ τὰ ὀστᾶ μου ἐταράχθησαν.

Παρὰ πάντας τοὺς ἐχθρούς μου ἐγενήθην ὄνειδος, * καὶ τοῖς γείτοσί μου σφόδρα, καὶ φόβος τοῖς γνωστοῖς μου.

Οἱ θεωροῦντές με ἔξω ἔφυγον ἀπ' ἐμοῦ, * ἐπελήσθην ὡσεὶ νεκρὸς ἀπὸ καρδίας, ἐγενήθην ὡσεὶ σκεῦος ἀπολωλός.

Ὅτι ἤκουσα ψόγον πολλῶν παροικούντων κυκλόθεν, * ἐν τῷ ἐπισυναχθῆναι αὐτοὺς ἅμα ἐπ' ἐμὲ, τοῦ λαβεῖν τὴν ψυχήν μου ἐβουλεύσαντο.

Ἐγὼ δὲ ἐπὶ σοὶ κύριε ἤλπισα, * εἶπα σὺ εἶ ὁ Θεός μου, ἐν ταῖς χερσί σου οἱ κλῆροι μου.

Ῥῦσαί με ἐκ χειρὸς ἐχθρῶν μου, καὶ ἐκ τῶν καταδιωκόντων με, * ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸν δοῦλόν σου, σῶσόν με ἐν τῷ ἐλέει σου.

Κύριε μὴ καταισχυνθείην, ὅτι ἐπεκαλεσάμην σε, * αἰσχυνθείησαν ἀσεβεῖς, καὶ καταχθείησαν εἰς ᾅδου.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἄλαλα γενηθήτω τὰ χείλη τὰ δόλια * τὰ λαλοῦντα κατὰ τοῦ δικαίου ἀνομίαν, ἐν ὑπερηφανίᾳ, καὶ ἐξουδενώσει.

Ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου κύριε, ἧς ἔκρυψας τοῖς φοβουμένοις σε, * ἐξειργάσω τοῖς ἐλπίζουσιν ἐπὶ σὲ, ἐναντίον τῶν υἱῶν τῶν ἀνθρώπων.

Κατακρύψεις αὐτοὺς ἐν ἀποκρύφῳ τοῦ προσώπου σου ἀπὸ ταραχῆς ἀνθρώπων, * σκεπάσεις αὐτοὺς ἐν σκηνῇ σου ἀπὸ ἀντιλογίας γλωσσῶν.

Εὐλογητὸς κύριος, ὅτι ἐθαυμάστωσε * τὸ ἔλεος αὐτοῦ ἐν πόλει περιοχῆς.

Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου, * ἀπέῤῥιμμαι ἀπὸ προσώπου τῶν ὀφθαλμῶν σου.

Διὰ τοῦτο εἰσήκουσας τῆς φωνῆς τῆς δεήσεώς μου, * ἐν τῷ κεκραγέναι με πρὸς σέ.

Ἀγαπήσατε τὸν κύριον πάντες οἱ ὅσιοι αὐτοῦ, * ὅτι ἀληθείας ἐκζητεῖ κύριος, καὶ ἀνταποδίδωσι τοῖς περισσῶς ποιοῦσιν ὑπερηφανίαν.

Ἀνδρίζεσθε, καὶ κραταιούσθω ἡ καρδία ὑμῶν, * πάντες οἱ ἐλπίζοντες ἐπὶ κύριον.

Ψαλ. ϙ.

Ὁ κατοικῶν ἐν βοηθείᾳ. ζήτει εἰς τὴν ϛ΄. ὥραν.

Καὶ μετὰ τὸ Δόξα καὶ νῦν, ἀλλ. ἐκ γ΄. καὶ Δόξα σοι ὁ Θεὸς, λέγονται ταῦτα Ἡσαΐου.

Μεθ' ἡμῶν ὁ Θεὸς, γνῶτε ἔθνη, καὶ ἡττᾶσθε. Ὅτι μεθ' ἡμῶν ὁ Θεὸς, ἐκ β΄.

Ἐπα-

Ἐπακούσατε ἕως ἐσχάτου τῆς γῆς. ὅτι μεθ᾽.

Ἰσχυκότες ἡττᾶσθε. ὅτι μεθ᾽.

Ἐὰν γὰρ πάλιν ἰσχύσητε, καὶ πάλιν ἡττηθήσεσθε. ὅτι μεθ᾽.

Καὶ ἣν ἂν βουλὴν βουλεύσησθε, διασκεδάσει κύριος. ὅτι μεθ᾽.

Καὶ λόγον, ὃν ἐὰν λαλήσητε, οὐ μὴ ἐμμείνῃ ἐν ὑμῖν. ὅτι μεθ᾽.

Τὸν δὲ φόβον ἡμῶν οὐ μὴ φοβηθῶμεν, οὐδὲ μὴ ταραχθῶμεν. ὅτι μεθ᾽.

Κύριον δὲ τὸν Θεὸν ἡμῶν ἁγιάσωμεν, καὶ αὐτὸς ἔσται ἡμῖν φόβος. ὅτι μεθ᾽.

Καὶ ἐὰν ἐπ᾽ αὐτῷ πεποιθὼς ὦ, ἔσται μοι εἰς ἁγιασμόν. ὅτι μεθ᾽.

Καὶ πεποιθὼς ἔσομαι ἐπ᾽ αὐτῷ, καὶ σωθήσομαι δι᾽ αὐτοῦ. ὅτι μεθ᾽.

Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅμοι ἔδωκεν ὁ Θεός. ὅτι μεθ᾽.

Ὁ λαὸς ὁ πορευόμενος ἐν σκότει εἶδε φῶς μέγα. ὅτι μεθ᾽.

Οἱ κατοικοῦντες ἐν χώρᾳ καὶ σκιᾷ θανάτου, φῶς λάμψει ἐφ᾽ ἡμᾶς. ὅτι μεθ᾽.

Ὅτι παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν. ὅτι μεθ᾽.

Οὗ ἡ ἀρχὴ ἐγεννήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ. ὅτι μεθ᾽.

Καὶ τῆς εἰρήνης αὐτοῦ οὐκ ἔστιν ὅριον. ὅτι μεθ᾽.

Καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος. ὅτι μεθ᾽.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Θαυμαστὸς σύμβουλος. ὅτι μεθ'.

Θεὸς ἰσχυρὸς, ἐξουσιαστὴς, ἄρχων εἰρήνης. ὅτι μεθ'.

Πατὴρ τοῦ μέλλοντος αἰῶνος, ἀμήν. ὅτι μεθ'.

Μεθ' ἡμῶν ὁ Θεὸς, γνῶτε ἔθνη, καὶ ἡττᾶσθε. ὅτι μεθ' ἡμῶν ὁ Θεός. ἐκ γ'.

Καὶ εὐθὺς τὰ παρόντα τρία τροπάρ.

ΤΗν ἡμέραν διελθὼν, εὐχαριστῶ σοι κύριε, τὴν ἑσπέραν αἰτοῦμαι σὺν τῇ νυκτὶ ἀναμάρτητον, παράσχου μοι σωτὴρ, καὶ σῶσόν με. Δόξα.

Τὴν ἡμέραν παρελθὼν, δοξολογῶ σε δέσποτα, τὴν ἑσπέραν αἰτοῦμαι σὺν τῇ νυκτὶ ἀσκανδάλιστον, παράσχου μοι σωτὴρ, καὶ σῶσόν με. Καὶ νῦν.

Τὴν ἡμέραν διαβὰς, ὑμνολογῶ σε ἅγιε, τὴν ἑσπέραν αἰτοῦμαι σὺν τῇ νυκτὶ ἀνεπίβουλον, παράσχου μοι σωτὴρ, καὶ σῶσόν με.

Καὶ ἀμέσως.

Ἡ Ἀσώματος φύσις τὰ χερουβὶμ, ἀσιγήτοις σε ὕμνοις δοξολογεῖ.

Ἑξαπτέρυγα ζῶα τὰ σεραφὶμ, ταῖς ἀπαύστοις φωναῖς σε ὑπερυψοῖ.

Τῶν ἀγγέλων τε πᾶσα ἡ στρατιὰ, τρισαγίοις σε ἄσμασιν εὐφημεῖ.

Πρὸ γὰρ πάντων ὑπάρχεις ὁ ὢν Πατὴρ, καὶ συνάναρχον ἔχεις τὸν σὸν Υἱόν.

Καὶ ἰσότιμον φέρων Πνεῦμα ζωῆς, τῆς Τριάδος δεικνύεις τὸ ἀμερές.

Πανα-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Παναγία Παρθένε Μήτηρ Θεοῦ, οἱ τοῦ Λόγου αὐτόπται, καὶ ὑπουργοί.

Προφητῶν καὶ Μαρτύρων πάντες χοροί, ὡς ἀθάνατον ἔχοντες τὴν ζωήν.

Ὑπὲρ πάντων πρεσβεύσατε ἐκτενῶς, ὅτι πάντες ὑπάρχομεν ἐν δεινοῖς.

Ἵνα πλάνης ῥυσθέντες τοῦ πονηροῦ, τῶν Ἀγγέλων βοήσωμεν τὴν ᾠδήν.

Ἅγιε, Ἅγιε, Ἅγιε, τρισάγιε κύριε, ἐλέησον, καὶ σῶσον ἡμᾶς.

Πιστεύω εἰς ἕνα Θεόν. ἕως εἰς τὸ τέλος τῆς θ'. ὥρας. μετὰ δὲ τὸ Πιστεύω λέγονται εὐθύς.

Αἱ λιτανεῖαι τῶν ἁγίων.

Παναγία δέσποινα θεοτόκε, Πρέσβευε ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν, ἐκ β'.

Πᾶσαι αἱ οὐράνιαι δυνάμεις, πρεσβεύσατε ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν.

Ἅγιε Μιχαὴλ ἀρχιστράτηγε, πρέσβ.

Ἅγιε Γαβριὴλ ἀρχάγγελε, πρέσβ.

Οἱ χοροὶ τῶν ἁγίων ἀγγέλων καὶ ἀρχαγγέλων, πρεσβεύσατε ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν.

Ἅγιε Ἰωάννη προφῆτα, καὶ πρόδρομε, πρέσβευε ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν.

Οἱ χοροὶ τῶν ἁγίων προφητῶν, πρεσβεύσατε.

Ἅγιε Πέτρε Ἀπόστολε, πρέσβ.

Ἅγιε Παῦλε Ἀπόστολε, πρέσβ.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἅγιε Ἰωάννη Ἀπόστολε, πρέσβ.

Ὁ χορὸς τῶν ἁγίων Ἀποστόλων καὶ Εὐαγγελιστῶν, πρεσβεύσατε ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν.

Ἅγιε Στέφανε πρωτομάρτυς καὶ πρωτοδιάκονε, πρέσβευε ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν.

Ἅγιοι Τεσσαράκοντα μάρτυρες, πρεσβεύσατε.

Ἅγιοι Παντελεήμων καὶ Ἑρμόλαε, πρεσβεύσατε ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν.

Ἅγιοι Σεβαστιανὲ σὺν τοῖς ἀθληταῖς σου, πρέσβ.

Ἅγιε Ἀδριανέ, πρέσβ.

Ἅγιε Προκόπιε, πρέσβ.

Ὁ χορὸς τῶν ἁγίων Ἱερομαρτύρων καὶ μεγαλομαρτύρων, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ἅγιε Νικόλαε Ἀρχιεράρχα, πρέσβευε.

Ἅγιε πατὴρ ἡμῶν Βασίλειε οὐρανοφάντωρ, πρέσβ.

Ἅγιε Ἰωάννη Χρυσόστομε, πρέσβ.

Ὁ χορὸς τῶν ἁγίων Ἱεραρχῶν, πρεσβεύσατε.

Ὅσιε πατὴρ ἡμῶν Σάββα, πρέσβευε.

Ὅσιε πατὴρ ἡμῶν Βενέδικτε, πρέσβ.

Ὅσιε πατὴρ ἡμῶν Ὀνούφριε, πρέσβ.

Ὅσιε πατὴρ ἡμῶν Νεῖλε, πρέσβ.

Ὅσιε πατὴρ ἡμῶν Βαρθολομαῖε, πρέσβ.

Ὁ χορὸς τῶν ὁσίων καὶ ἀσκητῶν, πρεσβεύσατε.

Ἁγία Θέκλα παρθενομάρτυς, πρέσβευε.

Ἁγία Μαρῖνα μεγαλομάρτυς, πρέσβ.

Ὁ χορὸς τῶν ἁγίων παρθενομαρτύρων γυναικῶν τοῦ Χριστοῦ. πρεσβεύσατε.

Ἁγία

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἁγία Μακρίνα, πρέσβευε.
Ἁγία Μαρία Μαγδαληνὴ, πρέσβευε.
Ἁγία Ναταλία, πρέσβ.
Ὁ χορὸς τῶν ἁγίων Γυναικῶν, πρεσβεύσατε.
Καὶ πάντες οἱ Ἅγιοι, πρεσβεύσατε.
Ἡ ἀήττητος, καὶ ἀκατάληπτος, καὶ θεία δύναμις τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἁμαρτωλούς. ἐκ β'.
Ὁ Θεὸς ἱλάσθητι ἡμῖν τοῖς ἁμαρτωλοῖς. ιβ'.
Ὁ Θεὸς ἱλάσθητι ἡμῖν τοῖς ἁμαρτωλοῖς, καὶ ἐλέησον ἡμᾶς.

Εἶτα τὸ τρισάγιον, Δόξα καὶ νῦν, Παναγία τριάς, Πάτερ ἡμῶν, καὶ Ὅτι σοῦ ἐστὶν, καὶ ἀμέσως λέγονται ταῦτα τὰ τροπ. ἦχ. πλ. δ'.

Τῶν ἀοράτων ἐχθρῶν μου τὸ ἄϋπνον ἐπίστασαι κύριε, καὶ τῆς ἀθλίας σαρκός μου τὸ ἄτονον ἔγνως ὁ πλάσας με. Διὸ εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου, σκέπασόν με πτέρυξι τῆς σῆς ἀγαθότητος, ἵνα μὴ ὑπνώσω εἰς θάνατον. Καὶ τοὺς νοεροὺς ὀφθαλμούς μου φώτισον ἐν τῇ τρυφῇ τῶν θείων λόγων σου, καὶ διέγειρόν με ἐν καιρῷ εὐθέτῳ πρὸς σὴν δοξολογίαν, ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

Δόξα.

Ὡς φοβερὰ ἡ κρίσις σου κύριε, τῶν ἀγγέλων παρισταμένων, τῶν ἀνθρώπων εἰσαγομένων, τῶν βίβλων ἀνεῳγμένων, τῶν ἔργων ἐρευνωμένων, τῶν λο-



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

χισμῶν ἐξεταζομένων. Ποία κρίσις ἔσαι ἐν ἐμοὶ τῷ συλληφθέντι ἐν ἁμαρτίαις; τίς μου τὴν φλόγα κατασβέσει; τίς μου τὸ σκότος, καταλάμψει; εἰ μὴ σὺ κύριε ἐλεήσεις με ὡς φιλάνθρωπος.

Καὶ νῦν.

Τὴν ἀκαταίσχυντον θεοτόκε ἐλπίδα σου ἔχων σωθήσομαι, τὴν προστασίαν σου κεκτημένος πανάχραντε οὐ φοβηθήσομαι. Καταδιώξω τοὺς ἐχθρούς μου, καὶ τροπώσομαι αὐτοὺς, μόνην ἀμπεχόμενος, ὡς θώρακα τὴν σκέπην σου, καὶ τὴν παντοδύναμον βοήθειάν σου. Καθικετεύων βοῶ σοι, δέσποινα σῶσόν με ταῖς πρεσβείαις σου, καὶ ἀνάστησόν με ἐκ ζοφώδους ὕπνου πρὸς σὴν δοξολογίαν, δυνάμει τοῦ ἐκ σοῦ σαρκωθέντος υἱοῦ τοῦ Θεοῦ.

Εἶτα Κύριε ἐλέησον ν'. καὶ εἰς τὸ τέλος ὁ Ἱερεὺς λέγει, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν ἐλέησον ἡμᾶς. καὶ τὸν ψαλμὸν, Ἐλέησόν με ὁ Θεὸς. καὶ τὸν κανόνα τῆς Παρακλητ. καὶ τελεῖται ὥσπερ ἐν τῷ μικρῷ ἀποδείπνῳ σὺν τοῖς κδ'. Κύριε ἐλέησον. Ἀντὶ δὲ τοῦ σίχ. Τὴν τιμιωτέραν, λέγεται Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς. ἐκ γ'. εἶτα Δόξα σοι Ἰησοῦ Χριστὲ, καὶ ἡ ἀπόλυσις.

Εὐπρόσδεκτον καὶ ἀκαταίσχυντον ποιήσῃ κύριος ὁ Θεὸς ἡμῶν τὴν προσευχὴν τοῦ μεγάλου ἀποδείπνου ἡμῶν τῶν ἁμαρτωλῶν, καὶ εὐχαῖς τῶν ἁγίων πατέρων ἡμῶν ἐν ἀφέσει ἁμαρτιῶν σώσῃ, ἐλεήσῃ, καὶ διαφυλάξῃ πάντας ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

# ΑΝΤΙΦΩΝΑ

## ΤΗΣ ΘΕΟΤΟΚΟΥ ΕΞΕΛΛΗΝΙΣΘΕΝΤΑ,

Λεγόμενα εἰς τὸ τέλος τοῦ ὄρθρου, τοῦ ἑσπερινοῦ, καὶ τοῦ ἀποδείπνου, ἢ τοῦ μεσονυκτίου καθ' ἑκάστην ἡμέραν, κατὰ τὴν τάξιν αὐτῶν.

Ἀντίφωνον λεγόμενον ἀπὸ τῆς ἑσπέρας τοῦ σαββ. πρὸ τῆς Κυρ. α'. τῆς μ'. τῶν Χριστουγεννῶν, μέχρι τῆς Ὑπαπαντῆς τοῦ κυρίου, καταλελειπμένως.

ΣΕμνὴ Σωτῆρος γενέτειρα, διέξοδος ἔσσα
Οὐλύμποιο πύλη, ἁλὸς ἄστρον, σῶζε πεσόντα
Δῆμον, ἀνίστασθ' ἱέμενον, τὸν σὸν γενετῆρα,
Θαμβούσης φύσεως, ἅγιον τετοκυῖα. μένουσα
Παρθένος, ὡς πρὶν, ὄπισθ' αὖθις, Γαβριὴλ ἀπὸ γλώσσης
Κεῖνο λαβοῦσα τὸ χαῖρε, ἁμαρτωλοὺς ἐλεήσαις.

στίχ. Ἄγγελος Κυρίου εὐηγγελίσατο τῇ Μαρίᾳ.
ἀπόκρ. Καὶ συνέλαβεν ἐκ Πνεύματος ἁγίου.

Εὐξώμεθα.

ΤΗὴν χάριν σου δεόμεθα κύριε, ταῖς ἡμῶν διανοίαις ἔγχευσον, ὅπως οἱ, τοῦ ἀγγέλου εὐαγγελίζοντος, Χριστοῦ τοῦ Υἱοῦ σου τὴν ἐνσάρκωσιν ἐγνω-

κότες,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

κότες, διὰ τοῦ πάθους, καὶ τοῦ σαυροῦ αὐτοῦ πρὸς τὴν τῆς ἀναστάσεως δόξαν ἀναχθῶμεν, διὰ τοῦ αὐτοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν. ἀπόκρισις. Ἀμήν.

Ἀπὸ δὲ τῆς α΄. ἑσπέρας τῆς τοῦ Χριστοῦ γεννήσεως λέγονται οἱ παρόντες στίχ. μετὰ τῆς εὐχῆς.

στίχ. Μετὰ τόκον, παρθένε, ἀμόλυντος διέμεινας.
ἀπόκρ. Θεογεννήτρια πρέσβευε ὑπὲρ ἡμῶν.

Εὐξώμεθα.

Ο Θεὸς, ὁ τῆς αἰωνίου σωτηρίας τῇ τῆς μακαρίας Μαρίας εὐφόρῳ παρθενίᾳ τῷ ἀνθρωπείῳ γένει γέρα πορισάμενος, παράσχου, δεόμεθα, ὅπως αὐτὴν ὑπὲρ ἡμῶν μεσιτεύειν νοήσωμεν, δι᾽ ἧς ἠξιώθημεν, τὸν τῆς ζωῆς αὐτουργὸν ὑποδέξασθαι, τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν υἱόν σου. Ἀμήν.

Μετὰ τὴν Ὑπαπαντὴν, ἤγουν ἐν τῷ τέλει τοῦ ἀποδείπνου τῆς ἡμέρας ἐκείνης, μέχρι τῆς δ΄. τῆς μεγάλης ἑβδομάδος, Ἀντίφωνον.

Ο Ὑρανῶν ἄνασσα χαῖρε,
Δέσποινα ἀγγέλων γῆθει.
Χαῖρε ῥίζα, χαῖρε πύλη,
Ἐξ ἧς τέταλκε φῶς κόσμῳ.
Χαῖρε ἔνδοξε Παρθένε,
Ἐν ἁπάσαις εὐειδής.
Οὖλε ὦ πάνυ καλλίστη,
Δι᾽ ἡμᾶς τε Χριστὸν ἐκδυσώπει.

στίχ. Ἀξίωσόν με ἐπαινεῖν σε Παρθένε ἱερά.

ἀπό-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ἀπόκρ. Δός μοι δύναμιν κατὰ τῶν ἐχθρῶν σου.

Εὐξώμεθα.

ΠΑράσχου ἐλεήμων Θεὲ τῇ ἡμετέρᾳ σαθρότητι προστασίαν, ἵνα τὴν τῆς ἁγίας θεοτόκου μνήμην τελοῦντες, τῇ τῆς αὐτῆς ἐντεύξεως βοηθείᾳ ἀπὸ τῶν ἡμετέρων ἀνομημάτων ἐξαναστῶμεν, διὰ τοῦ αὐτοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν. Ἀμήν.

Ἀπὸ τοῦ ἀποδείπνου τοῦ μεγάλου σαββάτου μέχρι τῆς ὥρας τοῦ σαββάτου μετὰ τὴν Πεντηκοστὴν, λέγεται τὸ παρὸν Ἀντίφωνον.

ΑΝασσα τῶν οὐρανῶν εὐφραίνου. ἀλληλούϊα.
Ὅτι ὃν ἠξίωσαι βαστάζειν, ἀλληλούϊα.
Ἐξανέστη, καθὼς εἶπεν, ἀλληλούϊα.
Εὔχου ὑπὲρ ἡμῶν τῷ Θεῷ. ἀλληλούϊα.
στίχ. Χαῖρε, καὶ εὐφραίνου παρθένε Μαρία. ἀλλ.
ἀπόκρ. Ὅτι ἐξανέστη ὁ Κύριος ἀληθῶς, ἀλληλούϊα.

Εὐξώμεθα.

Ο Θεὸς, ὁ διὰ τῆς ἀναστάσεως τοῦ υἱοῦ σου τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τὸν κόσμον εὐφρᾶναι εὐδοκήσας, παράσχου, δεόμεθα, διὰ τῆς αὐτοῦ γενετείρας παρθένου Μαρίας τὰς τοῦ αἰωνίου λαβεῖν χαρὰς βίου, διὰ τοῦ αὐτοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν. Ἀμήν.

Ἀπὸ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἀπὸ τῆς δευτέρας τῆς ἑσπέρας τῆς ἑορτῆς τῶν ἁγίων πάντων, μέχρι τῆς ἑωθινῆς τοῦ σαββάτου τῆς τεσσαρακοστῆς τῆς τοῦ Χριστοῦ γεννήσεως, τὸ παρὸν λέγεται Ἀντίφωνον.

ΧΑῖρε δέσποινα, μῆτερ ἐλέους, ζωὴ, γλυκύτης, καὶ ἐλπὶς ἡμῶν χαῖρε, πρὸς σὲ βοῶμεν οἱ τῆς Εὔας ἐξόριστοι παῖδες. Πρὸς σὲ ἀτενίζομεν, στενάζοντες, καὶ θρηνοῦντες ἐν τῇ δε τῇ τοῦ κλαυθμῶνος κοιλάδι. Ἄγε δὴ συνήγορε ἡμῶν, τοὺς εὐσπλάγχνους σου ὀφθαλμοὺς ἐφ᾽ ἡμᾶς ἐπίστρεψον, καὶ Ἰησοῦν τὸν εὐλογημένον καρπὸν τῆς κοιλίας σου, μετὰ τὴν ὑπερορίαν ταύτην ἡμῖν ἀνάδειξον. ὦ ἐπιεικὴς, ὦ εὔσπλαγχνε, ὦ ἡδεῖα Παρθένε Μαρία.

στίχ. Εὔχου ὑπὲρ ἡμῶν ἁγία Θεογεννήτρια.

ἀπόκρ. Ὅπως ἀξιωθῶμεν τῆς ἐπαγγελίας τοῦ Χριστοῦ.

Εὐξώμεθα.

ΠΑντοκράτορ ἀΐδιε Θεὲ, ὁ τῆς ἐνδόξου παρθενομήτορος Μαρίας σῶματι καὶ ψυχὴν, ὡς ἐπάξιον τοῦ Υἱοῦ σου κατασκήνωμα γενέσθαι, συνεργείᾳ τοῦ ἁγίου Πνεύματος προετοιμάσας, παράσχου, ἵνα ἧς τῇ μνήμῃ χαίρομεν, ταύτης τῇ εὐσπλάγχνῳ μεσιτείᾳ ἀπὸ τῶν ἐπικειμένων δεινῶν, καὶ τοῦ αἰωνίου θανάτου ῥυσθῶμεν, διὰ τοῦ αὐτοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν. Ἀμήν.

Εἰς τὸ τέλος τοῦ Ἀντιφώνου λέγεται ἀεί.

στίχ. Αἰνεῖτε τὸν κύριον πάντα τὰ ἔθνη, ἐπαινέσατε αὐτὸν πάντες οἱ λαοί.

ἀπο-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

ἀπόκρισ. Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἡ ἀλήθεια τοῦ κυρίου μένει εἰς τὸν αἰῶνα.

Δόξα Πατρὶ, καὶ νῦν.

Τῇ παναγίᾳ καὶ ἀδιαιρέτῳ Τριάδι, τῇ τοῦ σαρκωθέντος κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἀνθρωπότητι, τῇ εὐγόνῳ τῆς παμμακαρίστου, ἐνδοξοτάτης, καὶ ἀειπαρθένου Μαρίας ἀδιαφθαρσίᾳ, τῇ τε ἁπάσῃ τῶν ἁγίων ὁμηγύρει, εἴη παρὰ πάσης τῆς κτίσεως αἶνος ἀΐδιος, τιμὴ, κράτος, δόξα. Ἡμῖν τε ἄφεσις πάντων τῶν πλημμελημάτων εἰς ἀπείρους αἰῶνας τῶν αἰώνων. Ἀμήν.

στίχ. Μακάρια τὰ σπλάγχνα τῆς παρθένου Μαρίας, τὰ βαστάσαντα τὸν Υἱὸν τοῦ αἰωνίου πατρός.

ἀπόκρ. Καὶ μακάριοι οἱ μασοὶ οἱ θηλάσαντες Χριστὸν τὸν κύριον.

Τέλος τῆς τοῦ Ὡρολογίου Ἀκολουθίας, κατὰ τὰ παλαιὰν Ὑποτύπωσιν.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Εἰς τὸν ἐν ἁγίοις Πατέρα ἡμῶν

# ΜΕΓΑΝ ΒΑΣΙΛΕΙΟΝ

λεγόμενοι τῇ δ΄. καὶ τῇ Κυρ. μετὰ τὸ ἀπόδειπνον.

Ἄδεται ὁ Ψαλμὸς σὺν τῷ ἀλλ. καθ᾽ ἕκαστον στίχον.

Ἀλληλούϊα.

ΜΑκάριος ἀνὴρ ὁ φοβούμενος τὸν κύριον, * ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα. Ἀλλ.

Δυνατὸν ἐν τῇ γῇ ἔσαι τὸ σπέρμα αὐτοῦ, * γενεὰ εὐθέων εὐλογηθήσεται. Ἀλληλ.

Δόξα καὶ πλοῦτος ἐν τῷ οἴκῳ αὐτοῦ, * ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ἀλληλ.

Ἐξανέτειλεν ἐν σκότει φῶς τοῖς εὐθέσιν, ἐλεήμων, καὶ οἰκτίρμων, καὶ δίκαιος. * χρηστὸς ἀνὴρ ὁ οἰκτείρων, καὶ κιχρῶν. Ἀλλ.

Οἰκονομήσει τοὺς λόγους αὐτοῦ ἐν κρίσει, * ὅτι εἰς τὸν αἰῶνα οὐ σαλευθήσεται. Ἀλλ.

Εἰς μνημόσυνον αἰώνιον ἔσαι δίκαιος, * ἀπὸ ἀκοῆς πονηρᾶς οὐ φοβηθήσεται. *** ἐκ γ΄.

Ἑτοίμη ἡ καρδία αὐτοῦ ἐλπίζειν ἐπὶ κύριον, ἐστήρικται ἡ καρδία αὐτοῦ, * οὐ μὴ φοβηθῇ ἕως οὗ ἐπίδῃ ἐπὶ τοὺς ἐχθροὺς αὐτοῦ. Ἀλλ.

Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν, * ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ἀλληλ.

Τὸ κέρας αὐτοῦ ὑψωθήσεται ἐν δόξῃ, * ἁμαρτωλὸς ὄψεται, καὶ ὀργισθήσεται. Ἀλλ.

Τοὺς ὀδόντας αὐτοῦ βρύξει καὶ τακήσεται, * ἐπιθυμία ἁμαρ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ἁμαρτωλῶν ἀπολεῖται. Ἀλλ. Δόξα Πατρὶ, καὶ Υἱῷ. Νῦν καὶ ἀεί.

Στίχ. Εὔχου ὑπὲρ ἡμῶν ὅσιε Πατὴρ ἡμῶν Βασίλειε.

Ἀποκρ. Ὅπως ἀξιωθῶμεν τῶν ἐπαγγελιῶν τοῦ Χριστοῦ.

Εὐξώμεθα.

Ὁ Θεὸς ὁ μέγας ἐν μεγάλοις, καὶ τὸν σὸν ὁμολογητὴν, καὶ Ἱεράρχην Βασίλειον ἐν ἄκρῳ ἁγιωσύνης, καὶ κορυφῇ σοφίας καθιδρύσας, παράσχου, δεόμεθα, ἵνα ταῖς τούτου Πατρὸς διδασκαλίαις, καὶ δόγμασι παρακολουθοῦντες, τῇ σῇ μεγαλωσύνῃ λόγοις, καὶ ἔργοις εὐαρεστήσωμεν, διὰ Χριστοῦ τοῦ κυρίου ἡμῶν. Ἀμήν. καὶ εὐθύς.

Τὸν οὐρανοφάντορα τοῦ Χριστοῦ, μύστην τοῦ δεσπότου, τὸν φωστῆρα τὸν φαεινὸν, τὸν ἐκ Καισαρείας, καὶ Καππαδόκων χώρας, Βασίλειον τὸν μέγαν, πάντες ὑμνήσωμεν.

Ῥήτωρ ἐπιγνώσεως θεϊκῆς, θείων μυστηρίων, ἀποκάλυψις ἐναργὴς, σοφίας τὸ ὕψος, νομοδότης θεογνωσίας, πυρσεύεις διδαχαῖς σου, πάτερ Βασίλειε.

Χαίροις Καισαρέων καθηγητὰ, χαίροις Καππαδόκων, ὁ διδάσκαλος καὶ ποιμὴν, χαίροις ἐκκλησίας, ἑδραίωμα καὶ στύλος, Βασίλειε τρισμάκαρ, οὐρανοφάντορ Χριστοῦ.

Στίχ. Ἠγάπησεν αὐτὸν ὁ κύριος, καὶ ἐκόσμησεν αὐτόν.

Ἀποκρ. Στολὴν δόξης ἐνέδυσεν αὐτόν.

Εὐξώ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Εὐξώμεθα.

Εἰσάκουσον δεόμεθα κύριε τῶν δεήσεων ἡμῶν, ἃς ἐν τῇ μνήμῃ τοῦ σοῦ ὁμολογητοῦ, οὐρανοφάντορος, καὶ Ἱεράρχου Πατρὸς ἡμῶν Βασιλείου προσφέρομεν, ὅστις εἰκότως ὑπηρετεῖν σοι κατηξιώθη. Καὶ τῶν αὐτοῦ κατορθωμάτων πρεσβευόντων, ἀπὸ πάσης ἁμαρτίας ἡμᾶς λύτρωσαι, διὰ τοῦ αὐτοῦ Χριστοῦ τοῦ. Ἀμήν.

Μνημόσυνον τῶν κεκοιμημένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, ποιούμενον ἐπὶ τοῦ τάφου αὐτῶν μετὰ τὸ ἀπόδειπνον, καὶ τοὺς αἴνους τοῦ μεγάλου Βασιλείου τῇ δευτ. τῆς ἑβδομ. Ἐκ βαθέων ἐκέκ. ψαλ. ρκθ'. φύλ. 164.

Ο Βυθῷ σοφίας φιλανθρώπως τὰ πάντα οἰκονομῶν, καὶ τὸ συμφέρον πᾶσιν ἀπονέμων μόνε δημιουργέ, ἀνάπαυσον κύριε τὰς ψυχὰς τῶν δούλων σου. ἐν σοὶ γὰρ τὴν ἐλπίδα ἀνέθεντο τῷ ποιητῇ, καὶ πλάστῃ, καὶ Θεῷ ἡμῶν. Δόξα, καὶ νῦν.

Σὲ καὶ τεῖχος καὶ λιμένα ἔχομεν, καὶ πρέσβιν εὐπρόσδεκτον πρὸς ὃν ἔτεκες Θεόν, Θεοτόκε ἀνύμφευτε, τῶν πιστῶν ἡ σωτηρία. Δόξα σοι. Δόξα καὶ νῦν.

Ο Τῶν πιστῶν πάντων κτίσης, καὶ λυτρωτὴς Θεός, ταῖς τῶν σῶν θεραπόντων, καὶ θεραπαινίδων ψυχαῖς ἄφεσιν ἁπασῶν τῶν ἁμαρτιῶν παράσχου, ὅπως τῆς σῆς εὐσπλαγχνίας, ἣν διὰ παντὸς ἐπεθύμησαν, εὐπροσδέκτοις ἱκεσίαις ἐπιτύχωσι, ὃς ζῇς καὶ βασιλεύεις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

# ΨΑΛΤΗΡΙΟΝ

## ΤΟΥ ΒΑΣΙΛΕΩΣ, ΚΑΙ ΠΡΟΦΗΤΟΥ

# ΔΑΒΙΔ

Σὺν τοῖς Εὐαγγελίοις ἕνδεκα τοῖς Ἑωθινοῖς, Συνήθως ἐν ταῖς Κυριακαῖς ἀναγινωσκομένοις τοῦ ἐνιαυτοῦ.

Q

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

# ΔΙΗΓΗΣΙΣ

## Περὶ ἁπάσης τῆς τοῦ παρόντος Ψαλτηρίου στιχολογίας, καὶ διανομῆς.

Ἐπειδὴ τῇ νέᾳ διατάξει τοῦ παναγιωτάτου πατρὸς ἡμῶν Βενεδίκτου, τεσσαρεσκαιδεκάτου ἄκρου ἀρχιερέως Πάπα Ῥώμης, συμπληροῦσθαι δεῖ ὅλον καὶ τέλειον τὸ Ψαλτήριον, ἔσω μὲν τῆς μεγάλης Τεσσαρακοστῆς εἰς ἑκάστην ἑβδομάδα, ἔξω δὲ τῆς αὐτῆς Τεσσαρακοστῆς ἐν δυσὶ ταῖς ἑβδομάσι, ἔδοξεν εὐθετῶς, τοὺς ἑκατὸν πεντήκοντα Ψαλμοὺς διανέμειν, ὡς ἐνθάδε τάξεται.

Καταλελειμμένων ὡς πρὶν καὶ πάλαι τῶν Ψαλμῶν τῶν καθημερινῶν Ὡρῶν, ἐκ τῶν ὑπολοίπων Ψαλμῶν γίνεσθαι δεῖ καθίσματα δώδεκα, καὶ μικρὰς στιχολογίας δέκα, ἤτοι μικρὰ δέκα καθίσματα, τελούμενα εἰς τὸ ἐν Δόξα καὶ νῦν, ἵνα ἐπιτήδειος, καὶ ῥᾳδία γένηται ἡ τοῦ Ψαλτηρίου ἐκπλήρωσις. Τὸ πρῶτον οὖν κάθισμα, δὶς δὲ κατέχον τὸ Δόξα καὶ νῦν, ὡς ἔθος, ἀναγινώσκεται ἢ ὅλον, ἢ εἰς τὸ Δόξα ἕν, κατὰ τὸ Τυπικόν, ὀψὲ ἑσπέρας τοῦ Σαββάτου. Τὸ δωδέκατον, ὅ ἐστι τὸ Μακάριοι οἱ ἄμωμοι, (ἐν μέσῳ τυχὸν τῶν μικρῶν Στιχολογιῶν), οἰκεῖον ἐστὶ τῆς συνήθους ἑωθινῆς λιτῆς τοῦ σαββάτου. Τὰ λοιπὰ Καθίσματα, καὶ μικρὰς Στιχολογίας συνάπτεσθαι χρὴ ταῖς λι-

ταῖς

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ταῖς τῶν πέντε ἡμερῶν τῆς ἑβδομάδος, ἀπὸ τῆς β'. ἕως τῆς Παρασκευῆς καταληκτικῶς, τῇ τοιαύτῃ διανομῇ. Ἔστω μὲν τῆς μεγάλης Τεσσαρακοστῆς, ἐν ταῖς ῥηθείσαις πέντε λιταῖς, καθ' ἑκάστην ἡμέραν ἀναγινώσκονται εἰς τὸν ὄρθρον καθίσματα δύο, καὶ δύο Στιχολογίαι μικραὶ εἰς τὴν ὥραν τρίτην, καὶ τὸ Μακάριοι οἱ ἄμωμοι ἐν τῷ σαββάτῳ. Καὶ σὺν τοῖς Ψαλμοῖς τῶν καθημερινῶν Ὡρῶν, τελείως εἰς μίαν ἑβδομάδα ἐκπληροῦται τὸ προσταχθὲν Ψαλτήριον.

Ἔξω δὲ τῆς αὐτῆς μεγ. μ'. καὶ χωρὶς τοῦ καιροῦ ἀπὸ τοῦ Πάσχα ἕως τῆς Πεντηκοστῆς, (ὅπου διάφορος ἐστὶν ἡ ἀκολουθία) διανέμονται εἰς ἑβδομάδας δύο, τὰ τοῦ Ψαλτηρίου τῆς μιᾶς ἑβδομάδος τῆς μεγ. μ'. Καὶ καθ' ἑκάστην ἐνιαύσιον λιτὴν, γίνεται, εἰς τὸν ὄρθρον κάθισμα ἓν, ἐν ἰδίᾳ τῇ ἡμέρᾳ τεθειμένον, καὶ ὁμοίως, στιχολογία μικρὰ μία εἰς τὴν ὥραν τρίτην, καὶ τὸ Μακάριοι οἱ ἄμωμοι ἐν τῷ σαββάτῳ. Καὶ οὕτω σὺν τοῖς καθημερινοῖς τῶν ὡρῶν Ψαλμοῖς, τὸ Ψαλτήριον ἐκτελεῖται ὅλον ἐν δυσὶ ταῖς ἑβδομάσιν.

Τεθειμένα δὲ εἰσὶν καθίσματα δύο, καὶ δύο Στιχολογίαι μικραὶ καθ' ἑκάστην ἡμέραν τῶν ῥητῶν πέντε λιτῶν. Ἔξω μὲν τῆς μεγ. μ'. ἀναγινώσκειν δεῖ τὸ πρῶτον, ἢ δεύτερον κάθισμα, ὥς τε τὴν πρώτην ἢ δευτέραν Στιχολογίαν μικρὰν τῆς γ'. ὥρας, καθὼς ἂν ἐντυγχάνεται ὁ ἦχος τῆς ἑβδομάδος, καὶ τὸ Ψαλτή-



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ριον δηλοῖ καθ' ἑκάστην αὐτῶν ἀρχήν. Καὶ ταύτην τὴν τάξιν κατ' ἦχον, τηροῦμεν ὁμοίως περὶ τοῦ πρώτου, ἢ δευτέρου Δόξα καὶ νῦν ἐν τῷ καθίσματι ὀψὲ ἑσπέρας τοῦ σαββάτου, ὅταν ὅλον οὐ λεκτέον, ἐν τισὶ τοῖς τοῦ ἐνιαυτοῦ καιροῖς κατὰ τὸ Τυπικόν.

Κἂν δὲ οὐκ ἀναγινώσκωμεν ἐν τοῖς καθίσμασι τοὺς πρὶν τεθειμένους, καὶ λεγομένους Ψαλμοὺς ἐν ἑκάστῃ τῇ ὥρᾳ, ὅμως στίζομεν αὐτοὺς εἰς τὸ ὕφος τῶν Ψαλμῶν, ἵνα τέλειον γένηται τὸ Ψαλτήριον, καὶ εὐκαίρως εὑρέσθαι δυνήσωνται οἱ Ψαλμοὶ, κατὰ τὴν θέλησιν, καὶ ἀνάγκην.

Προσέτι, ἐν τοῖς Ψαλμοῖς σημειοῦνται τινὲς στίχοι, ποτὲ μὲν τῷ σταυρῷ, ποτὲ δὲ τοῖς ἐν τῷ τέλει ἀστερίσκοις, εἰς χρείαν τῶν ψαλλόντων. Τὸ τοῦ σταυροῦ σημεῖον, τοὺς στίχους δηλοῖ, τοὺς λεγομένους ἐν τοῖς τῆς μεγ. μ'. ἀναγνώσμασιν. Τὸ ἔσχατον δὲ σημεῖον τῶν ἀστερίσκων δεικνύει τοὺς ἄλλους στίχους, ἢ στίχον, οὓς ᾄδειν ἐκφώνως δεῖ, ἐν ταῖς τυχούσαις τῶν ἑορτῶν ἀκολουθίαις ὅλου τοῦ ἐνιαυτοῦ.

ΚΑ-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

# ΚΑΘΙΣΜΑ ΠΡΩΤΟΝ

## ΛΕΓΟΜΕΝΟΝ ΟΨΕ ΤΟΥ ΣΑΒΒΑΤΟΥ ΕΣΠΕΡΑΣ.

Ὅταν δὲ, κατὰ καιρὸν, οὐ τάξεται ὅλον τὸ Κάθισμα, στιχολογήσονται ἀκολουθοῦντες Ψαλμοὶ ἕως τοῦ Δόξα καὶ νῦν, ἐν τοῖς ἤχοις,

Α΄. Γ΄. ΠΛ.Α΄. ΒΑΡ΄.

### Ψαλ. α΄. 1.

Μακάριος ἀνὴρ [2], ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν, * καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη, καὶ ἐπὶ καθέδρᾳ λοιμῶν οὐκ ἐκάθισεν.

Ἀλλ᾽ ἢ ἐν τῷ νόμῳ Κυρίου τὸ θέλημα αὐτοῦ, * καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας, καὶ νυκτός.

Καὶ ἔσται ὡς τὸ ξύλον τὸ πεφυτευμένον, παρὰ τὰς διεξόδους τῶν ὑδάτων, * ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ.

Καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀποῤῥυήσεται, * καὶ πάντα ὅσα ἂν ποιῇ, κατευοδωθήσεται.

Οὐχ οὕτως οἱ ἀσεβεῖς, οὐχ οὕτως, * ἀλλ᾽ ἢ ὡσεὶ χνοῦς, ὃν ἐκρίπτει ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς.

Διὰ τοῦτο οὐκ ἀναστήσονται ἀσεβεῖς ἐν κρίσει, * οὐδὲ ἁμαρτωλοὶ ἐν βουλῇ δικαίων.

Ὅτι [1] γινώσκει Κύριος ὁδὸν δικαίων, * καὶ ὁδὸς τῶν ἀσεβῶν ἀπολεῖται.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ψαλ. β'. 2.

Ἵνα τί [2] ἐφρύαξαν ἔθνη, * καὶ λαοὶ ἐμελέτησαν ✝ κενά;

Παρέστησαν οἱ Βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ, * κατὰ τοῦ Κυρίου, καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ. ***

Διαῤῥήξωμεν τοὺς δεσμοὺς αὐτῶν, * καὶ ἀποῤῥίψωμεν ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτῶν.

Ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτοὺς, * καὶ ὁ Κύριος ἐκμυκτηριεῖ αὐτούς.

Τότε λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ, * καὶ ἐν τῷ θυμῷ αὐτοῦ ταράξει αὐτούς.

Ἐγὼ δὲ κατεστάθην Βασιλεὺς ὑπ' αὐτοῦ ἐπὶ Σιὼν, ὄρος τὸ ἅγιον αὐτοῦ, * διαγγέλλων τὸ πρόσταγμα Κυρίου.

Κύριος εἶπε πρός με, * υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε. ***

Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, * καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς.

Ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ, * ὡς σκεύη κεραμέως συντρίψεις αὐτούς.

Καὶ νῦν βασιλεῖς συνιέτε, * παιδεύθητε πάντες οἱ κρίνοντες τὴν γῆν.

Δουλεύσατε [1] τῷ Κυρίῳ ἐν φόβῳ, * καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ. ✝

Δράξασθε παιδείας, μήποτε ὀργισθῇ Κύριος, * καὶ ἀπολεῖσθε ἐξ ὁδοῦ δικαίας.

Ὅταν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὅταν ἐκκαυθῇ ἐν τάχει ὁ θυμὸς αὐτοῦ, * μακάριοι πάντες οἱ πεποιθότες ἐπ᾽ αὐτῷ.

Ψαλ. γ΄. 3.

ΚΥ'ριε, τί ἐπληθύνθησαν. λέλεκται εἰς τὸν ὄρθ. φυλ. 2. Ψαλ. δ΄. 4.

ΕΝ τῷ ἐπικαλεῖσθαί με. λέλεκται εἰς τὸ μεγ. ἀπόδειπν. φύλ. 221. ἔξω δὲ τῆ μεγ. μ΄. λέγεται ἐνθάδε. Δόξα καὶ νῦν. Ἀλλ. ἀλλ. ἀλλ. Δόξα σοὶ ὁ Θεὸς γ΄. Ψαλ. ε΄. 5.

ΤΑ ῥήματά μου ἐνώτισαι Κύριε. λέλεκτ. τῇ α΄. ὥρ. φύλ. 119.

Ὅταν οὐ λέγ. ὅλον τὸ κάθισμα, ἀκολουθοῦντες οἱ ψαλμοὶ ἕως τοῦ Δόξα καὶ νῦν στιχολογήσονται ἐν τοῖς ἤχοις.

Β΄. Δ΄. ΠΛ. Β΄. ΠΛ. Δ.

Ψαλ. ϛ΄. 6.

ΚΥ'ριε, μὴ τῷ θυμῷ σου. λέλεκτ. εἰς τὸ μεγ. ἀπόδ. φύλ. 222. ἔξω δὲ τῆς μεγ. μ΄. λέγεται ἐνθάδε. Ψαλ. ζ΄. 7.

ΚΥ'ριε [1] ὁ Θεός μου ἐπὶ σοὶ ἤλπισα, * [2] σῶσόν ✝ με ἐκ πάντων τῶν διωκόντων με, καὶ ῥῦσαί με. ✝

Μήποτε ἁρπάσῃ ὡς λέων τὴν ψυχήν μου, * μὴ ὄντος λυτρουμένου, μηδὲ σώζοντος.

Κύριε ὁ Θεός μου εἰ ἐποίησα τοῦτο, * εἰ ἔστιν ἀδικία ἐν χερσί μου.

Εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά, * ἀποπέσοιμι ἄρα ἀπὸ τῶν ἐχθρῶν μου κενός.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Καταδιώξαι ἄρα ὁ ἐχθρὸς τὴν ψυχήν μου, καὶ καταλάβοι, καὶ καταπατήσαι εἰς γῆν τὴν ζωήν μου, * καὶ τὴν δόξαν μου εἰς χοῦν κατασκηνώσαι.

Ἀνάστηθι Κύριε ἐν ὀργῇ σου, * ὑψώθητι ἐν τοῖς πέρασι τῶν ἐχθρῶν σου.

Καὶ ἐξεγέρθητι Κύριε ὁ Θεός μου ἐν προστάγματι, ᾧ ἐνετείλω, * καὶ συναγωγὴ λαῶν κυκλώσει σε.

Καὶ ὑπὲρ ταύτης εἰς ὕψος ἐπίστρεψον, * Κύριος κρινεῖ λαούς.

Κρῖνόν μοι Κύριε κατὰ τὴν δικαιοσύνην μου, * καὶ κατὰ τὴν ἀκακίαν μου ἐπ' ἐμοί.

Συντελεσθήτω δὴ πονηρία ἁμαρτωλῶν, καὶ κατευθυνεῖς δίκαιον, * ἐτάζων καρδίας, καὶ νεφροὺς ὁ Θεὸς δικαίως.

Ἡ βοήθειά μου παρὰ τοῦ Θεοῦ, * τοῦ σώζοντος τοὺς εὐθεῖς τῇ καρδίᾳ.

Ὁ Θεὸς κριτὴς δίκαιος, καὶ ἰσχυρὸς, καὶ μακρόθυμος, * καὶ μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν.

Ἐὰν μὴ ἐπιστραφῆτε, τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει, * τὸ τόξον αὐτοῦ ἐνέτεινε, καὶ ἡτοίμασεν αὐτό.

Καὶ ἐν αὐτῷ ἡτοίμασε σκεύη θανάτου, * τὰ βέλη αὐτοῦ τοῖς καιομένοις ἐξειργάσατο.

Ἰδοὺ ὠδίνησεν ἀδικίαν, συνέλαβε πόνον, * καὶ ἔτεκεν ἀνομίαν.

Λάκκον ὤρυξε, καὶ ἀνέσκαψεν αὐτὸν, * καὶ ἐμπεσεῖται εἰς βόθρον, ὃν εἰργάσατο.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἐπιστρέψει ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ, * καὶ ἐπὶ κορυφὴν αὐτοῦ ἡ ἀδικία αὐτοῦ καταβήσεται.
Ἐξομολογήσομαι τῷ Κυρίῳ κατὰ τὴν δικαιοσύνην αὐτοῦ, * καὶ ψαλῶ τῷ ὀνόματι Κυρίου τοῦ ὑψίστου.

Ψαλμ. η΄. 8.

Κύριε [1] ὁ Κύριος ἡμῶν, * ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ.
Ὅτι [2] ἐπήρθη ἡ μεγαλοπρέπειά σου * ὑπεράνω τῶν οὐρανῶν.
Ἐκ στόματος νηπίων, καὶ θηλαζόντων κατηρτίσω αἶνον * ἕνεκα τῶν ἐχθρῶν σου, τοῦ καταλῦσαι ἐχθρὸν, καὶ ἐκδικητήν. ***
Ὅτι ὄψομαι τοὺς οὐρανοὺς ἔργα τῶν δακτύλων σου, * σελήνην, καὶ ἀστέρας, ἃ σὺ ἐθεμελίωσας.
Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ; * ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν;
Ἠλάττωσας αὐτὸν βραχύ τι παρ᾽ ἀγγέλους, δόξῃ, καὶ τιμῇ ἐστεφάνωσας αὐτὸν, * καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου.
Πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ, * πρόβατα, καὶ βόας ἁπάσας, ἔτι δὲ, καὶ τὰ κτήνη τοῦ πεδίου.
Τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ τοὺς ἰχθύας τῆς θαλάσσης, * τὰ διαπορευόμενα τρίβους θαλασσῶν.
Κύριε ὁ Κύριος ἡμῶν, * ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ. Δόξα. καὶ νῦν. ἀλληλ. γ΄.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

# ΚΑΘΙΣΜΑ ΔΕΥΤΕΡΟΝ.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

# ΤΗΣ Β'. ΤΗΣ ΕΒΔΟΜΑΔΟΣ.

## ΠΡΩΤΟΝ ΜΕΝ

Ἐν τῇ μεγάλη μ'. ὅπου γίνονται καθίσματα δύο,
Ἔξω δὲ τῆς μεγ. μ'. κάθισμα ἓν μόνως,
λεγόμενον ἐν τοῖς ἤχοις
Α'. Γ'. ΠΛ.Α'. ΒΑΡ'.

Ψαλ. θ'. 9.

Ἐξομολογήσομαί σοι¹ Κύριε ἐν ὅλῃ καρδίᾳ † μου, * διηγήσομαι πάντα τὰ θαυμάσιά σου.

Εὐφρανθήσομαι, ² καὶ ἀγαλλιάσομαι ἐν σοί, * † ψαλῶ τῷ ὀνόματί σου, Ὕψιστε.

Ἐν τῷ ἀποστραφῆναι τὸν ἐχθρόν μου εἰς τὰ ὀπίσω, * ἀσθενήσουσι, καὶ ἀπολοῦνται ἀπὸ προσώπου σου.

Ὅτι ἐποίησας τὴν κρίσιν μου, καὶ τὴν δίκην μου, * ἐκάθισας ἐπὶ θρόνου ὁ κρίνων τὴν δικαιοσύνην.

Ἐπετίμησας ἔθνεσι, καὶ ἀπώλετο ὁ ἀσεβής, * τὸ ὄνομα αὐτοῦ ἐξήλειψας εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Τοῦ ἐχθροῦ ἐξέλιπον αἱ ῥομφαῖαι εἰς τέλος, * καὶ πόλεις καθεῖλες.

Ἀπώ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου -
Μουσείο Τυπάλδων Ιακωβάτων

Ἀπώλετο τὸ μνημόσυνον αὐτῶν μεθ᾽ ἤχου, * καὶ ὁ Κύριος εἰς τὸν αἰῶνα μένει.

Ἡτοίμασεν ἐν κρίσει τὸν θρόνον αὐτοῦ, * καὶ αὐτὸς κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, κρινεῖ λαοὺς ἐν εὐθύτητι.

Καὶ ἐγένετο Κύριος καταφυγὴ τῷ πένητι, * βοηθὸς ἐν εὐκαιρίαις, ἐν θλίψεσι.

Καὶ ἐλπισάτωσαν ἐπὶ σὲ οἱ γινώσκοντες τὸ ὄνομά σου, * ὅτι οὐκ ἐγκατέλιπες τοὺς ἐκζητοῦντάς σε Κύριε.

Ψάλατε τῷ Κυρίῳ τῷ κατοικοῦντι ἐν Σιών, * ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἐπιτηδεύματα αὐτοῦ.

Ὅτι ὁ ἐκζητῶν τὰ αἵματα αὐτῶν ἐμνήσθη, * οὐκ ἐπελάθετο τῆς κραυγῆς τῶν πενήτων.

Ἐλέησόν με Κύριε, * ἴδε τὴν ταπείνωσίν μου ἐκ τῶν ἐχθρῶν μου.

Ὁ ὑψῶν με ἐκ τῶν πυλῶν τοῦ θανάτου, * ὅπως ἂν ἐξαγγείλω πάσας τὰς αἰνέσεις σου ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών.

Ἀγαλλιασόμεθα ἐπὶ τῷ σωτηρίῳ σου, * ἐνεπάγησαν ἔθνη ἐν διαφθορᾷ, ᾗ ἐποίησαν.

Ἐν παγίδι ταύτῃ, ᾗ ἔκρυψαν, * συνελήφθη ὁ ποὺς αὐτῶν.

Γινώσκεται Κύριος κρίματα ποιῶν, * ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήφθη ὁ ἁμαρτωλός.

Ἀποστραφήτωσαν οἱ ἁμαρτωλοὶ εἰς τὸν ᾅδην, * πάντα τὰ ἔθνη τὰ ἐπιλανθανόμενα τοῦ Θεοῦ.

Ὅτι

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὅτι οὐκ εἰς τέλος ἐπιλησθήσεται ὁ πτωχὸς, * ἡ ὑπομονὴ τῶν πενήτων οὐκ ἀπολεῖται εἰς τέλος.

Ἀνάστηθι Κύριε, μὴ κραταιούσθω ἄνθρωπος, * κριθήτωσαν ἔθνη ἐνώπιόν σου.

Κατάστησον Κύριε νομοθέτην ἐπ' αὐτοὺς, * γνώτωσαν ἔθνη, ὅτι ἄνθρωποί εἰσιν.

Ἵνα τί, Κύριε, ἀφέστηκας μακρόθεν; * ὑπερορᾷς ἐν εὐκαιρίαις, ἐν θλίψεσιν;

Ἐν τῷ ὑπερηφανεύεσθαι τὸν ἀσεβῆ, ἐμπυρίζεται ὁ πτωχὸς, * συλλαμβάνονται ἐν διαβουλίοις, οἷς διαλογίζονται.

Ὅτι ἐπαινεῖται ὁ ἁμαρτωλὸς ἐν ταῖς ἐπιθυμίαις τῆς ψυχῆς αὐτοῦ, * καὶ ὁ ἀδικῶν εὐλογεῖται.

Παρώξυνε τὸν Κύριον ὁ ἁμαρτωλὸς, * κατὰ τὸ πλῆθος τῆς ὀργῆς αὐτοῦ οὐκ ἐκζητήσει.

Οὐκ ἔστιν ὁ Θεὸς ἐνώπιον αὐτοῦ, * βεβηλοῦνται αἱ ὁδοὶ αὐτοῦ ἐν παντὶ καιρῷ.

Ἀνταναιρεῖται τὰ κρίματά σου ἀπὸ προσώπου αὐτοῦ, * πάντων τῶν ἐχθρῶν αὐτοῦ κατακυριεύσει.

Εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ, οὐ μὴ σαλευθῶ, * ἀπὸ γενεᾶς εἰς γενεὰν ἄνευ κακοῦ.

Οὗ ἀρᾶς τὸ στόμα αὐτοῦ γέμει, καὶ πικρίας, καὶ δόλου, * ὑπὸ τὴν γλῶσσαν αὐτοῦ κόπος, καὶ πόνος.

Ἐγκάθηται ἐν ἐνέδρᾳ μετὰ πλουσίων, * ἐν ἀποκρύφοις τοῦ ἀποκτεῖναι ἀθῷον.

Οἱ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πένητα ἀποβλέπουσιν, * ἐνεδρεύει ἐν ἀποκρύφῳ, ὡς λέων ἐν τῇ μάνδρᾳ αὐτοῦ.

Ἐνεδρεύει τοῦ ἁρπάσαι πτωχὸν, * ἁρπάσαι πτωχὸν ἐν τῷ ἑλκύσαι αὐτόν.

Ἐν τῇ παγίδι αὐτοῦ ταπεινώσει αὐτὸν, * κύψει, καὶ πεσεῖται ἐν τῷ αὐτὸν κατακυριεῦσαι τῶν πενήτων.

Εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ, ἐπιλέλησται ὁ Θεὸς, * ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ, τοῦ μὴ βλέπειν εἰς τέλος.

Ἀνάστηθι Κύριε ὁ Θεός μου, ὑψωθήτω ἡ χείρ σου, * μὴ ἐπιλάθῃ τῶν πενήτων σου εἰς τέλος.

Ἕνεκεν τίνος παρώργισεν ὁ ἀσεβὴς τὸν Θεόν; * εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἐκζητήσει.

Βλέπεις, ὅτι σὺ πόνον, καὶ θυμὸν κατανοεῖς, * τοῦ παραδοῦναι αὐτὸν εἰς χεῖράς σου.

Σοὶ ἐγκαταλέλειπται ὁ πτωχὸς, * ὀρφανῷ σὺ ἦσθα βοηθός.

Σύντριψον τὸν βραχίονα τοῦ ἁμαρτωλοῦ, καὶ πονηροῦ, * ζητηθήσεται ἡ ἁμαρτία αὐτοῦ, καὶ οὐ μὴ εὑρεθῇ.

Κύριος Βασιλεὺς εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, * ἀπολεῖσθε ἔθνη ἐκ τῆς γῆς αὐτοῦ.

Τὴν ἐπιθυμίαν τῶν πενήτων εἰσήκουσας Κύριε, * τῇ ἑτοιμασίᾳ τῆς καρδίας αὐτῶν προσέσχε τὸ οὖς σου.

Κρῖναι ὀρφανῷ, καὶ ταπεινῷ, * ἵνα μὴ προσθῇ ἔτι τοῦ μεγαλαυχεῖν ἄνθρωπος ἐπὶ τῆς γῆς.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ψαλ. ι'. 10.

Ἐπὶ[2] τῷ Κυρίῳ πέποιθα, πῶς ἐρεῖτε τῇ ψυχῇ ✝ μου, * μεταναστεύου ἐπὶ τὰ ὄρη ὡς στρουθίον;

Ὅτι ἰδοὺ οἱ ἁμαρτωλοὶ ἐνέτειναν τόξον, * ἡτοίμασαν βέλη εἰς φαρέτραν, τοῦ κατατοξεῦσαι ἐν σκοτομήνῃ τοὺς εὐθεῖς τῇ καρδίᾳ.

Ὅτι ἃ σὺ κατηρτίσω, αὐτοὶ καθεῖλον, * ὁ δὲ δίκαιος τί ἐποίησε;

Κύριος ἐν ναῷ ἁγίῳ αὐτοῦ, * Κύριος ἐν οὐρανῷ ὁ θρόνος αὐτοῦ.

Οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πένητα ἐπιβλέπουσι, * τὰ βλέφαρα αὐτοῦ ἐξετάζει τοὺς υἱοὺς τῶν ἀνθρώπων.

Κύριος ἐξετάζει τὸν δίκαιον, καὶ τὸν ἀσεβῆ, * ὁ δὲ ἀγαπῶν τὴν ἀδικίαν, μισεῖ τὴν ἑαυτοῦ ψυχήν.

Ἐπιβρέξει ἐπὶ ἁμαρτωλοὺς παγίδας, * πῦρ, καὶ θεῖον, καὶ πνεῦμα καταιγίδος ἡ μερὶς τοῦ ποτηρίου αὐτῶν.

Ὅτι[1] δίκαιος Κύριος, καὶ δικαιοσύνας ἠγάπη- ✝ σεν, * εὐθύτητας εἶδε τὸ πρόσωπον αὐτοῦ.

Ψαλ. ια'. 11.

Σῶσόν με Κύριε[2], ὅτι ἐκλέλοιπεν ὅσιος, * ✝ ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων.

Μάταια ἐλάλησεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ, * χείλη δόλια ἐν καρδίᾳ, * καὶ ἐν καρδίᾳ ἐλάλησε κακά.

Ἐξολοθρεύσαι Κύριος πάντα τὰ χείλη τὰ δόλια, * γλῶσσαν μεγαλοῤῥήμονα.

Τοὺς

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Τὰς εἰπόντας, τὴν γλῶσσαν ἡμῶν μεγαλυνοῦμεν, τὰ χείλη ἡμῶν παρ' ἡμῖν ἐστι, * τίς ἡμῶν Κύριος ἐστιν;

Ἕνεκεν τῆς ταλαιπωρίας τῶν πτωχῶν, καὶ τοῦ στεναγμοῦ τῶν πενήτων, * νῦν ἀναστήσομαι, λέγει Κύριος.

Θήσομαι ἐν σωτηρίῳ, * παῤῥησιάσομαι ἐν αὐτῷ.

Τὰ λόγια Κυρίου λόγια ἁγνὰ, * ἀργύριον πεπυρωμένον, δοκίμιον τῇ γῇ, κεκαθαρισμένον ἑπταπλασίως.

Σὺ Κύριε [1], φυλάξαις ἡμᾶς, καὶ διατηρήσαις ἡμᾶς * ✝ ἀπὸ τῆς γενεᾶς ταύτης, καὶ εἰς τὸν αἰῶνα.

Κύκλῳ οἱ ἀσεβεῖς περιπατοῦσι, * κατὰ τὸ ὕψος σου ἐπολυώρησας τοὺς υἱοὺς τῶν ἀνθρώπων.

Δόξα, καὶ νῦν. Ἀλλ. ἀλλ. ἀλλ. Δόξα σοὶ ὁ Θεὸς γ'.

Ψαλ. ιβ'. 12.

Ἕως πότε Κύριε, ἐπιλήσῃ με. λέλεκται εἰς τὸ μεγ. ἀποδ. φύλ. 223. ἔξω δὲ τῆς μεγ. μ'. λέγεται ἐν θάδε.

Ψαλ. ιγ'. 13.

Εἶπεν [2] ἄφρων ἐν καρδίᾳ αὐτοῦ, * οὐκ ἔστι ✝ Θεός.

Διεφθάρησαν, καὶ ἐβδελύχθησαν ἐν ἐπιτηδεύμασιν, * οὐκ ἔστι ποιῶν χρηστότητα.

Κύριος ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων, * τοῦ ἰδεῖν εἰ ἔστι συνιῶν, ἢ ἐκζητῶν τὸν Θεόν.

Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν, * οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός.

Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν, ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν, * ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν.

Ὧν

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὧν τὸ στόμα ἀρᾶς, καὶ πικρείας γέμει, * ὀξεῖς οἱ πόδες αὐτῶν ἐκχέαι αἷμα.

Σύντριμμα, καὶ ταλαιπωρεία ἐν ταῖς ὁδοῖς αὐτῶν, * καὶ ὁδὸν εἰρήνης οὐκ ἔγνωσαν, οὐκ ἔστι φόβος Θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτῶν.

Οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, * οἱ ἐσθίοντες τὸν λαόν μου ἐν βρώσει ἄρτου;

Τὸν Κύριον οὐκ ἐπεκαλέσαντο, * ἐκεῖ ἐδειλίασαν φόβον, οὗ οὐκ ἦν φόβος.

Ὅτι Κύριος ἐν γενεᾷ δικαίων, βουλὴν πτωχοῦ κατῃσχύνατε, * ὁ δὲ Κύριος ἐλπὶς αὐτοῦ ἐστι.

Τίς δώσει [1] ἐκ Σιὼν τὸ σωτήριον τοῦ Ἰσραήλ; * ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ, ἀγαλλιάσεται Ἰακὼβ, καὶ εὐφρανθήσεται Ἰσραήλ.

## Ψαλ. ιδ΄. 14.

Κύριε [1], τίς παροικήσει ἐν τῷ σκηνώματί ✠ σου; * ἢ τίς κατασκηνώσει ἐν ὄρει ἁγίῳ σου;

Πορευόμενος ἄμωμος [2], * καὶ ἐργαζόμενος δι- ✠ καιοσύνην.

Λαλῶν ἀλήθειαν ἐν καρδίᾳ αὐτοῦ, * ὃς οὐκ ἐδόλωσεν ἐν γλώσσῃ αὐτοῦ.

Καὶ οὐκ ἐποίησε τῷ πλησίον αὐτοῦ κακὸν, * καὶ ὀνειδισμὸν οὐκ ἔλαβεν ἐπὶ τοῖς ἔγγιστα αὐτοῦ.

Ἐξουδένωται ἐνώπιον αὐτοῦ πονηρευόμενος, * τοὺς δὲ φοβουμένους τὸν Κύριον δοξάζει. ***

Ὁ ὀμνύων

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὁ ὀμνύων τῷ πλησίον αὐτοῦ, καὶ οὐκ ἀθετῶν, * τὸ ἀργύριον αὐτοῦ οὐκ ἔδωκεν ἐπὶ τόκῳ, καὶ δῶρα ἐπ' ἀθώοις οὐκ ἔλαβεν.

Ὁ ποιῶν ταῦτα, * οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα.

Ψαλ. ιϛ'. 15.

Φύλαξόν με, Κύριε, ὅτι ἐπὶ σοὶ ἤλπισα, * Εἶπα τῷ Κυρίῳ, Κύριός μου εἶ σύ, ὅτι τῶν ἀγαθῶν μου οὐ χρείαν ἔχεις.

Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ, * ἐθαυμάστωσεν ὁ Κύριος πάντα τὰ θελήματα αὐτοῦ ἐν αὐτοῖς. ***

Ἐπληθύνθησαν αἱ ἀσθένειαι αὐτῶν, * μετὰ ταῦτα ἐτάχυναν.

Οὐ μὴ συναγάγω τὰς συναγωγὰς αὐτῶν ἐξ αἱμάτων, * οὐδὲ μὴ μνησθῶ τῶν ὀνομάτων αὐτῶν διὰ χειλέων μου.

Κύριος μερὶς τῆς κληρονομίας μου, καὶ τοῦ ποτηρίου μου, * σὺ εἶ ὁ ἀποκαθιστῶν τὴν κληρονομίαν μου ἐμοί.

Σχοινία ἐπέπεσέ μοι ἐν τοῖς κρατίστοις μου, * καὶ γὰρ ἡ κληρονομία μου κρατίστη μοι ἐστίν.

Εὐλογήσω τὸν Κύριον τὸν συνετίσαντά με, * ἔτι δὲ καὶ ἕως νυκτὸς ἐπαίδευσάν με οἱ νεφροί μου.

Προωρώμην τὸν Κύριον ἐνώπιόν μου διαπαντός, * ὅτι ἐκ δεξιῶν μου ἐστίν, ἵνα μὴ σαλευθῶ.

Διὰ τοῦτο εὐφράνθη ἡ καρδία μου, καὶ ἠγαλλιάσατο ἡ γλῶσσά μου, * ἔτι δέ, καὶ ἡ σάρξ μου κατασκηνώσει ἐπ' ἐλπίδι.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην, * οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν.

Ἐγνώρισάς μοι ὁδοὺς ζωῆς, πληρώσεις με εὐφροσύνης μετὰ τοῦ προσώπου σου, * τερπνότης ἐν τῇ δεξιᾷ σου εἰς τέλος.

Δόξα καὶ νῦν, Ἀλλ. ἀλλ. ἀλλ. Δόξα σοι ὁ Θεός. ἐκ γ'.

Ψαλ. ις'. 16.

Εἰσάκουσον Κύριε δικαιοσύνης μου. Ζήτει τῇ γ'. ὥρ. φύλ. 134.

Ψαλ. ιζ'. 17.

Ἀγαπήσω [1] σε Κύριε ἡ ἰσχύς μου, * Κύριος τὸ στερέωμά μου, καὶ καταφυγή μου, καὶ ῥύστης μου.

Ὁ Θεός [2] μου βοηθός μου, * καὶ ἐλπιῶ ἐπ' αὐτόν. ✝

Ὑπερασπιστής μου, καὶ κέρας σωτηρίας μου, * καὶ ἀντιλήπτωρ μου.

Αἰνῶν ἐπικαλέσομαι τὸν Κύριον, * καὶ ἐκ τῶν ἐχθρῶν μου σωθήσομαι.

Περιέσχον με ὠδῖνες θανάτου, * καὶ χείμαῤῥοι ἀνομίας ἐξετάραξάν με.

Ὠδῖνες ᾅδου περιεκύκλωσάν με, * προέφθασάν με παγίδες θανάτου.

Καὶ ἐν τῷ θλίβεσθαί με ἐπεκαλεσάμην τὸν Κύριον, * καὶ πρὸς τὸν Θεόν μου ἐκέκραξα.

Ἤκουσεν ἐκ ναοῦ ἁγίου αὐτοῦ φωνῆς μου, * καὶ ἡ κραυγή μου ἐνώπιον αὐτοῦ εἰσελεύσεται εἰς τὰ ὦτα αὐτοῦ.

Καὶ ἐσαλεύθη, καὶ ἔντρομος ἐγενήθη ἡ γῆ, * καὶ τὰ θεμέλια

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

μέλια τῶν ὀρέων ἐταράχθησαν, καὶ ἐσαλεύθησαν, ὅτι ὠργίσθη αὐτοῖς ὁ Θεός.

Ἀνέβη καπνὸς ἐν ὀργῇ αὐτοῦ, * καὶ πῦρ ἀπὸ προσώπου αὐτοῦ κατεφλεγήσεται, ἄνθρακες ἀνήφθησαν ἀπ' αὐτοῦ.

Καὶ ἔκλινεν οὐρανούς, καὶ κατέβη, * καὶ γνόφος ὑπὸ τοὺς πόδας αὐτοῦ.

Καὶ ἐπέβη ἐπὶ Χερουβὶμ, καὶ ἐπετάσθη, * ἐπετάσθη ἐπὶ πτερύγων ἀνέμων.

Καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ, * κύκλῳ αὐτοῦ ἡ σκηνὴ αὐτοῦ σκοτεινὸν ὕδωρ ἐν νεφέλαις ἀέρων.

Ἀπὸ τῆς τηλαυγήσεως ἐνώπιον αὐτοῦ αἱ νεφέλαι διῆλθον, * χάλαζα, καὶ ἄνθρακες πυρός.

Καὶ ἐβρόντησεν ἐξ οὐρανοῦ ὁ Κύριος, * καὶ ὁ Ὕψιστος ἔδωκε φωνὴν αὐτοῦ.

Ἐξαπέστειλε βέλη, καὶ ἐσκόρπισεν αὐτούς, * καὶ ἀστραπὰς ἐπλήθυνε, καὶ συνετάραξεν αὐτούς.

Καὶ ὤφθησαν αἱ πηγαὶ τῶν ὑδάτων, * καὶ ἀνεκαλύφθη τὰ θεμέλια τῆς οἰκουμένης.

Ἀπὸ ἐπιτιμήσεώς σου Κύριε, * ἀπὸ ἐμπνεύσεως πνεύματος ὀργῆς σου.

Ἐξαπέστειλεν ἐξ ὕψους, καὶ ἔλαβέ με, * προσελάβετό με ἐξ ὑδάτων πολλῶν.

Ῥύσεταί με ἐξ ἐχθρῶν μου δυνατῶν, * καὶ ἐκ τῶν μισούντων με, ὅτι ἐστερεώθησαν ὑπὲρ ἐμέ.

Προέφθασάν με ἐν ἡμέρᾳ κακώσεώς μου, * καὶ ἐγένετο Κύριος ἀντιστήριγμά μου.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου -
Μουσείο Τυπάλδων Ιακωβάτων

Καὶ ἐξήγαγέ με εἰς πλατυσμὸν, * ῥύσεταί με, ὅτι ἠθέλησέ με.

Καὶ ἀνταποδώσει μοι Κύριος κατὰ τὴν δικαιοσύνην μου, * καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου ἀνταποδώσει μοι.

Ὅτι ἐφύλαξα τὰς ὁδοὺς Κυρίου, * καὶ οὐκ ἠσέβησα ἀπὸ τοῦ Θεοῦ μου.

Ὅτι πάντα τὰ κρίματα αὐτοῦ ἐνώπιόν μου, * καὶ τὰ δικαιώματα αὐτοῦ οὐκ ἀπέστησα ἀπ' ἐμοῦ.

Καὶ ἔσομαι ἄμωμος μετ' αὐτοῦ, * καὶ φυλάξομαι ἀπὸ τῆς ἀνομίας μου.

Καὶ ἀνταποδώσει μοι Κύριος κατὰ τὴν δικαιοσύνην μου, * καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου, ἐνώπιον τῶν ὀφθαλμῶν αὐτοῦ.

Μετὰ ὁσίου ὅσιος ἔσῃ, * καὶ μετὰ ἀνδρὸς ἀθώου, ἀθῷος ἔσῃ,

Καὶ μετὰ ἐκλεκτοῦ ἐκλεκτὸς ἔσῃ, * καὶ μετὰ στρεβλοῦ διαστρέψεις.

Ὅτι σὺ λαὸν ταπεινὸν σώσεις, * καὶ ὀφθαλμοὺς ὑπερηφάνων ταπεινώσεις.

Ὅτι σὺ φωτιεῖς λύχνον μου, Κύριε ὁ Θεός μου, * φωτιεῖς τὸ σκότος μου.

Ὅτι ἐν σοὶ ῥυσθήσομαι ἀπὸ πειρατηρίου, * καὶ ἐν τῷ Θεῷ μου ὑπερβήσομαι τεῖχος.

Ὁ Θεός μου ἄμωμος ἡ ὁδὸς αὐτοῦ, τὰ λόγια Κυρίου πεπυρωμένα, * ὑπερασπιστής ἐστι πάντων τῶν ἐλπιζόντων ἐπ' αὐτόν.

Ὅτι

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὅτι τίς Θεὸς πάρεξ τοῦ Κυρίου; * ἢ τίς Θεὸς πλὴν τοῦ Θεοῦ ἡμῶν;

Ὁ Θεὸς, ὁ περιζωννύων με δύναμιν, * καὶ ἔθετο ἄμωμον τὴν ὁδόν μου.

Καταρτιζόμενος τοὺς πόδας μου ὡσεὶ ἐλάφου, * καὶ ἐπὶ τὰ ὑψηλὰ ἱστῶν με.

Διδάσκων χεῖράς μου εἰς πόλεμον, * ἔθου τόξον χαλκοῦν τοὺς βραχίονάς μου.

Καὶ ἔδωκάς μοι ὑπερασπισμὸν σωτηρίας, * ἡ δεξιά σου ἀντελάβετό μου.

Καὶ ἡ παιδεία σου ἀνώρθωσέ με εἰς τέλος, * καὶ ἡ παιδεία σου αὐτή με διδάξει.

Ἐπλάτυνας τὰ διαβήματά μου ὑποκάτω μου, * καὶ οὐκ ἠσθένησε τὰ ἴχνη μου.

Καταδιώξω τοὺς ἐχθρούς μου, καὶ καταλήψομαι αὐτοὺς, * καὶ οὐκ ἀποστραφήσομαι, ἕως ἂν ἐκλείπωσιν.

Ἐκθλίψω αὐτοὺς, καὶ οὐ μὴ δύνωνται στῆναι, * πεσοῦνται ὑπὸ τοὺς πόδας μου.

Καὶ περιέζωσάς με δύναμιν εἰς πόλεμον, * συνεπόδισας πάντας τοὺς ἐπανισταμένους ἐπ' ἐμὲ ὑποκάτω μου.

Καὶ τοὺς ἐχθρούς μου ἔδωκάς μοι νῶτον, * καὶ τοὺς μισοῦντάς με ἐξωλόθρευσας.

Ἐκέκραξαν, καὶ οὐκ ἦν ὁ σώζων, * πρὸς Κύριον, καὶ οὐκ εἰσήκουσεν αὐτῶν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Καὶ λεπτυνῶ αὐτοὺς ὡσεὶ χοῦν κατὰ πρόσωπον ἀνέμου, * ὡς πηλὸν πλατειῶν λεανῶ αὐτούς.

Ῥῦσαί με ἐξ ἀντιλογίας λαοῦ, * καταστήσεις με εἰς κεφαλὴν ἐθνῶν.

Λαός, ὃν οὐκ ἔγνων, ἐδούλευσέ μοι, * εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ μου.

Υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι, υἱοὶ ἀλλότριοι ἐπαλαιώθησαν, * καὶ ἐχώλαναν ἀπὸ τῶν τρίβων αὐτῶν.

Ζῇ Κύριος, καὶ εὐλογητὸς ὁ Θεός, * καὶ ὑψωθήτω ὁ Θεὸς τῆς σωτηρίας μου.

Ὁ Θεός, ὁ διδοὺς ἐκδικήσεις ἐμοί, * καὶ ὑποτάξας λαοὺς ὑπ' ἐμέ, ὁ ῥύσης μου ἐξ ἐχθρῶν μου ὀργίλων.

Ἀπὸ τῶν ἐπανισταμένων ἐπ' ἐμὲ ὑψώσεις με, * ἀπὸ ἀνδρὸς ἀδίκου ῥῦσαί με.

Διὰ τοῦτο ἐξομολογήσομαί σοι ἐν ἔθνεσι Κύριε, * καὶ τῷ ὀνόματί σου ψαλῶ.

Μεγαλύνων τὰς σωτηρίας τοῦ βασιλέως, * καὶ ποιῶν ἔλεος τῷ χριστῷ αὐτοῦ τῷ Δαβίδ, καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

Δόξα. καὶ νῦν. ἀλληλ.

ΚΑ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου -
Μουσείο Τυπάλδων Ιακωβάτων

# ΚΑΘΙΣΜΑ ΤΡΙΤΟΝ
## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ
# ΤΗΣ ΑΥΤΗΣ Β'. ΤΗΣ ΕΒΔ.
## ΔΕΥΤΕΡΟΝ ΜΕΝ

Ἐν τῇ μεγάλῃ μ'. ὅπου λέγονται τὰ καθ. δύο.
Ἔξωδὲ αὐτῆς, καθ. μόνον, ἀλλ' ἐν τοῖς ἤχ.
Β'. Δ'. ΠΛ.Β'. ΠΛ.Δ'.

Ψαλ. ιη'. 18.

ΟΙ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, * ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.

Ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα, * καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν.

Οὐκ εἰσὶ λαλιαὶ οὐδὲ λόγοι, * ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, * καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. ***

Ἐν τῷ ἡλίῳ ἔθετο τὸ σκήνωμα αὐτοῦ, * καὶ αὐτὸς ὡς νυμφίος ἐκπορευόμενος ἐκ παστοῦ αὐτοῦ.

Ἀγαλλιάσεται ὡς γίγας δραμεῖν ὁδὸν, * ἀπ' ἄκρου τοῦ οὐρανοῦ ἡ ἔξοδος αὐτοῦ.

Καὶ τὸ κατάντημα αὐτοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ, * καὶ οὐκ ἔστιν, ὃς ἀποκρυβήσεται τῆς θέρμης αὐτοῦ.

Ὁ νόμος Κυρίου ἄμωμος ἐπιστρέφων ψυχὰς, * ἡ μαρτυρία Κυρίου πιστὴ, σοφίζουσα νήπια.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Τὰ δικαιώματα Κυρίου εὐθέα εὐφραίνοντα καρδίαν, * ἡ ἐντολὴ Κυρίου τηλαυγής, φωτίζουσα ὀφθαλμούς.

Ὁ φόβος Κυρίου ἁγνός, διαμένων εἰς αἰῶνα αἰῶνος, * τὰ κρίματα Κυρίου ἀληθινὰ δεδικαιωμένα ἐπὶ τὸ αὐτό.

Ἐπιθυμητὰ ὑπὲρ χρυσίον, καὶ λίθον τίμιον πολύν, * καὶ γλυκύτερα ὑπὲρ μέλι, καὶ κηρίον.

Καὶ γὰρ ὁ δοῦλός σου φυλάσσει αὐτά, * ἐν τῷ φυλάσσειν αὐτὰ ἀνταπόδοσις πολλή.

Παραπτώματα τίς συνήσει; ἐκ τῶν κρυφίων μου καθάρισόν με, * καὶ ἀπὸ ἀλλοτρίων φεῖσαι τοῦ δούλου σου.

Ἐὰν μή μου κατακυριεύσωσι, τότε ἄμωμος ἔσομαι, * καὶ καθαρισθήσομαι ἀπὸ ἁμαρτίας μεγάλης.

Καὶ ἔσονται εἰς εὐδοκίαν τὰ λόγια τοῦ στόματός μου, * καὶ ἡ μελέτη τῆς καρδίας μου ἐνώπιόν σου διαπαντός.

Κύριε βοηθέ μου, * καὶ λυτρωτά μου.

Ψαλ. ιθ΄. 19.

Ἐπακούσαι σου [1] Κύριος ἐν ἡμέρᾳ θλίψεως, * [2] ✝ ὑπερασπίσαι σου τὸ ὄνομα τοῦ Θεοῦ Ἰακώβ. ✝

Ἐξαποστείλαι σοι βοήθειαν ἐξ ἁγίου, * καὶ ἐκ Σιὼν ἀντιλάβοιτό σου.

Μνησθείη πάσης θυσίας σου, * καὶ τὸ ὁλοκαύτωμά σου πιανάτω.

Δώη σοι Κύριος κατὰ τὴν καρδίαν σου, * καὶ πᾶσαν τὴν βουλήν σου πληρώσαι.

Ἀγαλ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἀγαλλιασόμεθα ἐπὶ τῷ σωτηρίῳ σου, * καὶ ἐν ὀνόματι Κυρίου Θεοῦ ἡμῶν μεγαλυνθησόμεθα.

Πληρώσαι Κύριος πάντα τὰ αἰτήματά σου, * νῦν ἔγνων, ὅτι ἔσωσε Κύριος τὸν Χριστὸν αὐτοῦ. ***

Ἐπακούσεται αὐτοῦ ἐξ οὐρανοῦ ἁγίου αὐτοῦ, * ἐν δυναστείαις ἡ σωτηρία τῆς δεξιᾶς αὐτοῦ.

Οὗτοι ἐν ἅρμασι, καὶ οὗτοι ἐν ἵπποις, * ἡμεῖς δὲ ἐν ὀνόματι Κυρίου Θεοῦ ἡμῶν ἐπικαλεσόμεθα.

Αὐτοὶ συνεποδίσθησαν, καὶ ἔπεσον, * ἡμεῖς δὲ ἀνέστημεν, καὶ ἀνωρθώθημεν.

Κύριε σῶσον τὸν βασιλέα, καὶ ἐπάκουσον ἡμῶν, * ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλεσώμεθά σε.

Ψαλ. κ'. 20.

Κύριε ² ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ † βασιλεύς, * καὶ ἐπὶ τῷ σωτηρίῳ σου ἀγαλλιάσεται σφόδρα.

Τὴν ἐπιθυμίαν τῆς καρδίας αὐτοῦ ἔδωκας αὐτῷ, * καὶ τὴν θέλησιν τῶν χειλέων αὐτοῦ οὐκ ἐστέρησας αὐτόν.

Ὅτι προέφθασας αὐτὸν ἐν εὐλογίαις χρηστότητος, * ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον ἐκ λίθου τιμίου. ***

Ζωὴν ᾐτήσατό σε, * καὶ ἔδωκας αὐτῷ μακρότητα ἡμερῶν εἰς αἰῶνα αἰῶνος.

Μεγάλη ἡ δόξα αὐτοῦ ἐν τῷ σωτηρίῳ σου, * δόξαν, καὶ μεγαλοπρέπειαν ἐπιθήσεις ἐπ' αὐτόν.

Ὅτι

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου -
Μουσείο Τυπάλδων Ιακωβάτων

Ὅτι δώσεις αὐτῷ εὐλογίαν εἰς αἰῶνα αἰῶνος, * εὐφρανεῖς αὐτὸν ἐν χαρᾷ μετὰ τοῦ προσώπου σου.

Ὅτι ὁ βασιλεὺς ἐλπίζει ἐπὶ Κύριον, * καὶ ἐν τῷ ἐλέει τοῦ Ὑψίστου οὐ μὴ σαλευθῇ.

Εὑρεθείη ἡ χείρ σου πᾶσι τοῖς ἐχθροῖς σου, * ἡ δεξιά σου εὕροι πάντας τοὺς μισοῦντάς σε.

Ὅτι θήσεις αὐτοὺς ὡς κλίβανον πυρὸς εἰς καιρὸν τοῦ προσώπου σου, * Κύριος ἐν ὀργῇ αὐτοῦ συνταράξει αὐτούς, καὶ καταφάγεται αὐτοὺς πῦρ.

Τὸν καρπὸν αὐτῶν ἀπὸ τῆς γῆς ἀπολεῖς, * καὶ τὸ σπέρμα αὐτῶν ἀπὸ υἱῶν ἀνθρώπων.

Ὅτι ἔκλιναν εἰς σὲ κακά, * διελογίσαντο βουλάς, αἷς οὐ μὴ δύνωνται στῆναι.

Ὅτι θήσεις αὐτοὺς νῶτον, * ἐν τοῖς περιλοίποις σου ἑτοιμάσεις τὸ πρόσωπον αὐτῶν.

Ὑψώθητι [1] Κύριε ἐν τῇ δυνάμει σου, * ᾄσωμεν, † καὶ ψαλοῦμεν τὰς δυναστείας σου.

Δόξα καί, Ἀλλ. ἀλλ. ἀλλ. Δόξα σοι ὁ Θεὸς γ'.

Ψαλ. κα'. 21.

Ὁ Θεὸς [2] ὁ Θεός μου πρόσχες μοι, ἵνα τί ἐγκατέλιπές με, * μακρὰν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν παραπτωμάτων μου. †

Ὁ Θεός μου κεκράξομαι ἡμέρας, καὶ οὐκ εἰσακούσῃ, * καὶ νυκτός, καὶ οὐκ εἰς ἄνοιαν ἐμοί.

Σὺ δὲ ἐν ἁγίῳ κατοικεῖς ὁ ἔπαινος τοῦ Ἰσραήλ, * ἐπὶ σοὶ ἤλπισαν οἱ πατέρες ἡμῶν, ἤλπισαν, καὶ ἐρρύσω αὐτούς.

Πρὸς

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Πρὸς σὲ ἐκέκραξαν, καὶ ἐσώθησαν, * ἐπὶ σοὶ ἤλπισαν, καὶ οὐ κατῃσχύνθησαν.

Ἐγὼ δὲ εἰμὶ σκώληξ, καὶ οὐκ ἄνθρωπος, * ὄνειδος ἀνθρώπων, καὶ ἐξουθένημα λαοῦ.

Πάντες οἱ θεωροῦντές με ἐξεμυκτήρισάν με, * ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησαν κεφαλήν.

Ἤλπισεν ἐπὶ Κύριον, ῥυσάσθω αὐτόν, * σωσάτω αὐτόν, ὅτι θέλει αὐτόν.

Ὅτι σὺ εἶ ὁ ἐκσπάσας με ἐκ γαστρός, * ἡ ἐλπίς μου ἀπὸ μαστῶν τῆς μητρός μου.

Ἐπὶ σὲ ἐπερρίφην ἐκ μήτρας ἀπὸ γαστρὸς μητρός μου, * Θεός μου εἶ σύ, μὴ ἀποστῇς ἀπ' ἐμοῦ.

Ὅτι θλίψις ἐγγύς, * ὅτι οὐκ ἔστιν ὁ βοηθῶν μοι.

Περιεκύκλωσάν με μόσχοι πολλοί, * ταῦροι πίονες περιέσχον με.

Ἤνοιξαν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν, * ὡς λέων ἁρπάζων, καὶ ὠρυόμενος.

Ὡσεὶ ὕδωρ ἐξεχύθη, καὶ διεσκορπίσθη πάντα τὰ ὀστᾶ μου, * ἐγενήθη ἡ καρδία μου ὡσεὶ κηρός, τηκόμενος ἐν μέσῳ τῆς κοιλίας μου.

Ἐξηράνθη ὡς ὄστρακον ἡ ἰσχύς μου, * καὶ ἡ γλῶσσά μου κεκόλληται τῷ λάρυγγί μου, * καὶ εἰς χοῦν θανάτου κατήγαγές με.

Ὅτι ἐκύκλωσάν με κύνες πολλοί, * συναγωγὴ πονηρευομένων περιέσχον με.

Ὤρυξαν χεῖράς μου, καὶ πόδας μου, * ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου.

Α Αὐτοὶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Αὐτοὶ δὲ κατενόησαν, καὶ ἐπεῖδόν με, * διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον.

Σὺ δὲ Κύριε μὴ μακρύνῃς τὴν βοήθειάν σου ἀπ' ἐμοῦ, * εἰς τὴν ἀντίληψίν μου πρόσχες.

Ῥῦσαι ἀπὸ ῥομφαίας τὴν ψυχήν μου, * καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου.

Σῶσόν με ἐκ στόματος λέοντος, * καὶ ἀπὸ κεράτων μονοκερώτων τὴν ταπείνωσίν μου.

Διηγήσομαι τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, * ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε.

Οἱ φοβούμενοι ' τὸν Κύριον αἰνέσατε αὐτόν, * † ἅπαν τὸ σπέρμα Ἰακὼβ δοξάσατε αὐτόν.

Φοβηθήτω δὴ ἀπ' αὐτοῦ ἅπαν τὸ σπέρμα Ἰσραήλ, * ὅτι οὐκ ἐξουδένωσεν, οὐδὲ προσώχθισε τῇ δεήσει τοῦ πτωχοῦ.

Οὐδὲ ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ ἀπ' ἐμοῦ, * καὶ ἐν τῷ κεκραγέναι με πρὸς αὐτὸν εἰσήκουσέ μου.

Παρὰ σοῦ ὁ ἔπαινός μου, ἐν ἐκκλησίᾳ μεγάλῃ ἐξομολογήσομαί σοι, * τὰς εὐχάς μου ἀποδώσω ἐνώπιον τῶν φοβουμένων αὐτόν.

Φάγονται πένητες, καὶ ἐμπλησθήσονται, * καὶ αἰνέσουσι Κύριον οἱ ἐκζητοῦντες αὐτόν. ***

Ζήσονται αἱ καρδίαι αὐτῶν εἰς αἰῶνα αἰῶνος,] * μνησθήσονται, καὶ ἐπιστραφήσονται πρὸς Κύριον πάντα τὰ πέρατα τῆς γῆς.

Καὶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Καὶ προσκυνήσουσιν ἐνώπιον αὐτοῦ πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν, * ὅτι τοῦ Κυρίου ἡ βασιλεία, καὶ αὐτὸς δεσπόζει τῶν ἐθνῶν.

Ἔφαγον, καὶ προσεκύνησαν πάντες οἱ πίονες τῆς γῆς, * ἐνώπιον αὐτοῦ προπεσοῦνται πάντες οἱ καταβαίνοντες εἰς γῆν.

Καὶ ἡ ψυχή μου αὐτῷ ζῇ, * καὶ τὸ σπέρμα μου δουλεύσει αὐτῷ.

Ἀναγγελήσεται τῷ Κυρίῳ γενεὰ ἡ ἐρχομένη, * καὶ ἀναγγελοῦσι τὴν δικαιοσύνην αὐτοῦ λαῷ τῷ τεχθησομένῳ, ὃν ἐποίησεν ὁ Κύριος.

Ψαλ. κβ'. 22.

Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει, * εἰς τόπον χλόης ἐκεῖ με κατεσκήνωσεν.

Ἐπὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέ με, * τὴν ψυχήν μου ἐπέστρεψεν.

Ὡδήγησέ με ἐπὶ τρίβους δικαιοσύνης, * ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ.

Ἐὰν γὰρ καὶ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου, * οὐ φοβηθήσομαι κακά, ὅτι σὺ μετ' ἐμοῦ εἶ.

Ἡ ῥάβδος σου, καὶ ἡ βακτηρία σου, * αὗταί με παρεκάλεσαν.

Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν, * ἐξεναντίας τῶν θλιβόντων με.

Ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου, * καὶ τὸ ποτήριόν σου μεθύσκον με ὡσεὶ κράτιστον.

Καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Καὶ τὸ ἔλεός σου καταδιώξει με * πάσας τὰς ἡμέρας τῆς ζωῆς μου.

Καὶ τὸ κατοικεῖν με ἐν οἴκῳ Κυρίου, * εἰς μακρότητα ἡμερῶν.

Ψαλ. κγ΄. 23.

Τοῦ Κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς, * † ἡ οἰκουμένη, καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ.

Αὐτὸς ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτήν, * καὶ ἐπὶ ποταμῶν ἡτοίμασεν αὐτήν.

Τίς ἀναβήσεται εἰς τὸ ὄρος τοῦ Κυρίου; * ἢ τίς στήσεται ἐν τόπῳ ἁγίῳ αὐτοῦ;

Ἀθῷος χερσί, καὶ καθαρὸς τῇ καρδίᾳ, ὃς οὐκ ἔλαβεν ἐπὶ ματαίῳ τὴν ψυχὴν αὐτοῦ, * καὶ οὐκ ὤμοσεν ἐπὶ δόλῳ τῷ πλησίον αὐτοῦ.

Οὗτος λήψεται εὐλογίαν παρὰ Κυρίου, * καὶ ἐλεημοσύνην παρὰ Θεοῦ σωτῆρος αὐτοῦ.

Αὕτη ἡ γενεὰ ζητούντων τὸν Κύριον, * ζητούντων τὸ πρόσωπον τοῦ Θεοῦ Ἰακώβ.

Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, * καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ Βασιλεὺς τῆς δόξης. *

Τίς ἐστιν οὗτος ὁ Βασιλεὺς τῆς δόξης; * Κύριος † κραταιὸς, καὶ δυνατὸς, Κύριος δυνατὸς ἐν πολέμῳ. *

Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι, * καὶ εἰσελεύσεται ὁ Βασιλεὺς τῆς δόξης. *

Τίς

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Τίς ἐστιν οὗτος ὁ Βασιλεὺς τῆς δόξης; * Κύριος τῶν δυνάμεων, αὐτός ἐστιν ὁ Βασιλεὺς τῆς δόξης.

Δόξα, καὶ νῦν. Ἀλλ. ἀλλ. ἀλλ. Δόξα σοὶ ὁ Θεὸς γ΄.

Ψαλ. κδ΄. 24.

ΠΡὸς σὲ Κύριε ἦρα. λέλεκτ. εἰς τὴν ὥραν τριτ. φύλ. 135.

Ψαλ. κε΄. 25.

ΚΡῖνόν με Κύριε, [2] ὅτι ἐγὼ ἐν ἀκακίᾳ μου ἐπορεύθην, * καὶ ἐπὶ τῷ Κυρίῳ ἐλπίζων, οὐ μὴ ἀσθενήσω. †

Δοκίμασόν με Κύριε, καὶ πείρασόν με, * πύρωσον τοὺς νεφρούς μου, καὶ τὴν καρδίαν μου.

Ὅτι τὸ ἔλεός σου κατέναντι τῶν ὀφθαλμῶν μου ἐστὶ, * καὶ εὐηρέστησα ἐν τῇ ἀληθείᾳ σου.

Οὐκ ἐκάθισα μετὰ συνεδρίου ματαιότητος, * καὶ μετὰ παρανομούντων οὐ μὴ εἰσέλθω.

Ἐμίσησα ἐκκλησίαν πονηρευομένων, * καὶ μετὰ ἀσεβῶν οὐ μὴ καθίσω.

Νίψομαι ἐν ἀθῴοις τὰς χεῖράς μου, * καὶ κυκλώσω τὸ θυσιαστήριόν σου Κύριε.

Τοῦ ἀκοῦσαί με φωνῆς αἰνέσεώς σου, * καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου.

Κύριε [1] ἠγάπησα εὐπρέπειαν οἴκου σου, * καὶ † τόπον σκηνώματος δόξης σου.

Μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου, * καὶ μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μου.

Ὧν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὧν ἐν χερσὶν αἱ ἀνομίαι, * ἡ δεξιὰ αὐτῶν ἐπλήσθη δώρων.
Ἐγὼ δὲ ἐν ἀκακίᾳ μου ἐπορεύθην, * λύτρωσαί με Κύριε, καὶ ἐλέησόν με.
Ὁ πούς μου ἔστη ἐν εὐθύτητι, * ἐν ἐκκλησίαις εὐλογήσω σε Κύριε.

Ψαλ. κϛ'. 26.

Κύριος φωτισμός μου. λέλεκτ. εἰς τὸ μικρὸ ἀπόδ. φύλ. 194.

Ψαλ. κζ'. 27.

Πρὸς σὲ Κύριε κεκράξομαι, ὁ Θεός μου μὴ παρασιωπήσῃς ἀπ' ἐμοῦ, * μήποτε παρασιωπήσῃς ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.
Εἰσάκουσον Κύριε τῆς φωνῆς τῆς δεήσεώς μου, ἐν τῷ δέεσθαί με πρὸς σὲ, * ἐν τῷ αἴρειν με χεῖράς μου πρὸς ναὸν ἅγιόν σου.
Μὴ συνελκύσῃς με μετὰ ἁμαρτωλῶν, * καὶ μετὰ ἐργαζομένων ἀδικίαν, μὴ συναπολέσῃς με.
Τῶν λαλούντων εἰρήνην μετὰ τῶν πλησίον αὐτῶν, * κακὰ δὲ ἐν ταῖς καρδίαις αὐτῶν.
Δὸς αὐτοῖς Κύριε κατὰ τὰ ἔργα αὐτῶν, * καὶ κατὰ τὴν πονηρίαν τῶν ἐπιτηδευμάτων αὐτῶν.
Κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτῶν δὸς αὐτοῖς, * ἀπόδος τὸ ἀνταπόδομα αὐτῶν αὐτοῖς.
Ὅτι οὐ συνῆκαν εἰς τὰ ἔργα Κυρίου, καὶ εἰς τὰ ἔργα τῶν χειρῶν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

χειρῶν αὐτοῦ, * καθελεῖς αὐτούς, καὶ οὐ μὴ οἰκοδομήσεις αὐτούς.

Εὐλογητὸς Κύριος, * ὅτι εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου.

Κύριος βοηθός μου, καὶ ὑπερασπιστής μου, * ἐπ᾽ αὐτῷ ἤλπισεν ἡ καρδία μου, καὶ ἐβοηθήθην.

Καὶ ἀνέθαλεν ἡ σάρξ μου, * καὶ ἐκ θελήματός μου ἐξομολογήσομαι αὐτῷ.

Κύριος κραταίωμα τοῦ λαοῦ αὐτοῦ, * καὶ ὑπερασπιστὴς τῶν σωτηρίων τοῦ Χριστοῦ αὐτοῦ ἐστι.

Σῶσον [1] τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, † * καὶ ποίμανον αὐτούς, καὶ ἔπαρον αὐτοὺς ἕως τοῦ αἰῶνος.

Ψαλ. κη΄. 28.

ΕΝέγκατε [2] τῷ Κυρίῳ υἱοὶ Θεοῦ, * ἐνέγκατε τῷ † Κυρίῳ υἱοὺς κριῶν.

Ἐνέγκατε τῷ Κυρίῳ δόξαν, καὶ τιμήν, ἐνέγκατε τῷ Κυρίῳ δόξαν ὀνόματι αὐτοῦ, * προσκυνήσατε τῷ Κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ.

Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων, ὁ Θεὸς τῆς δόξης ἐβρόντησε, * Κύριος ἐπὶ ὑδάτων πολλῶν. *

Φωνὴ Κυρίου ἐν ἰσχύϊ, * φωνὴ Κυρίου ἐν μεγαλοπρεπείᾳ. *

Φωνὴ Κυρίου συντρίβοντος κέδρους, * καὶ συντρίψει Κύριος τὰς κέδρους τοῦ Λιβάνου. *

Καὶ λεπτυνεῖ αὐτὰς ὡς τὸν μόσχον τοῦ Λιβάνου, * καὶ ὁ ἠγαπημένος ὡς υἱὸς μονοκερώτων.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

φωνὴ Κυρίου διακόπτοντος φλόγα πυρός, * φωνὴ Κυρίου συσείοντος ἔρημον, καὶ συσείσει Κύριος τὴν ἔρημον Κάδδης.

Φωνὴ Κυρίου καταρτιζομένη ἐλάφους, καὶ ἀποκαλύψει δρυμούς, * καὶ ἐν τῷ ναῷ αὐτοῦ πᾶς τις λέγει δόξαν.

Κύριος τὸν κατακλυσμὸν κατοικιεῖ, * καὶ καθιεῖται Κύριος Βασιλεὺς εἰς τὸν αἰῶνα.

Κύριος [1] ἰσχὺν τῷ λαῷ αὐτοῦ δώσει, * Κύριος εὐλογήσει τὸν λαὸν αὐτοῦ ἐν εἰρήνῃ.

Ψαλ. κθʹ. 29.

Ὑψώσω σε Κύριε, ὅτι ὑπέλαβές με, * καὶ οὐκ εὔφρανας τοὺς ἐχθρούς μου ἐπ' ἐμέ.

Κύριε ὁ Θεός μου ἐκέκραξα πρὸς σέ, * καὶ ἰάσω με.

Κύριε ἀνήγαγες ἐξ ᾅδου τὴν ψυχήν μου, * ἔσωσάς με ἀπὸ τῶν καταβαινόντων εἰς λάκκον.

Ψάλατε τῷ Κυρίῳ οἱ ὅσιοι αὐτοῦ, * καὶ ἐξομολογεῖσθε τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτοῦ.

Ὅτι ὀργὴ ἐν τῷ θυμῷ αὐτοῦ, * καὶ ζωὴ ἐν τῷ θελήματι αὐτοῦ.

Τὸ ἑσπέρας αὐλισθήσεται κλαυθμός, * καὶ εἰς τὸ πρωῒ ἀγαλλίασις.

Ἐγὼ δὲ εἶπα ἐν τῇ εὐθηνίᾳ μου, * οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα.

Κύριε ἐν τῷ θελήματί σου * παρέσχου τῷ κάλλει μου δύναμιν.

Ἀπέστρεψας δὲ τὸ πρόσωπόν σου, * καὶ ἐγενήθην τεταραγμένος.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Πρὸς σὲ Κύριε κεκράξομαι, *καὶ πρὸς τὸν Θεόν μου δεηθήσομαι.

Τίς ὠφέλεια ἐν τῷ αἵματί μου, *ἐν τῷ καταβαίνειν με εἰς διαφθοράν;

Μὴ ἐξομολογήσεταί σοι χοῦς; *ἢ ἀναγγελεῖ τὴν ἀλήθειάν σου;

Ἤκουσε Κύριος, καὶ ἠλέησέ με, *Κύριος ἐγενήθη βοηθός μου.

Ἔστρεψας τὸν κοπετόν μου εἰς χαρὰν ἐμοί, *διέρρηξας τὸν σάκκον μου, καὶ περιέζωσάς με εὐφροσύνην.

Ὅπως ἂν ψάλη σοὶ ἡ δόξα μου, καὶ οὐ μὴ κατανυγῶ, *Κύριε ὁ Θεός μου εἰς τὸν αἰῶνα, ἐξομολογήσομαί σοι.

Δόξα καὶ, Ἀλλ. ἀλλ. ἀλλ. Δόξα σοὶ ὁ Θεὸς γ'.

---

ΚΑΘΙΣΜΑ ΤΕΤΑΡΤΟΝ
ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

# ΤΗΣ Γ'. ΤΗΣ ΕΒΔΟΜΑΔΟΣ

ΠΡΩΤΟΝ ΜΕΝ

Ἐν τῇ μεγ. μ'. ὅπου λέγονται καθίσματα δύο, ἔξω δὲ αὐτῆς, κάθισμα μόνον, ἀλλ' ἐν τοῖς ἤχοις

Α'. Γ'. ΠΛ.Α'. ΒΑΡ'.

Ψαλ. λ'. 30.

Ἐπὶ σοὶ κύριε ἤλπισα. λέλεκτ. εἰς τὸ μέγα ἀπόδειπν. φύλ. 224.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου -
Μουσείο Τυπάλδων Ιακωβάτων

Ψαλ. λα΄. 31.

ΜΑκάριοι, ὧν ἀφέθησαν αἱ ἀνομίαι, * καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι.

Μακάριος ἀνὴρ, ᾧ οὐ μὴ λογίσηται Κύριος ἁμαρτίαν, * οὐδὲ ἔστιν ἐν τῷ στόματι αὐτοῦ δόλος.

Ὅτι ἐσίγησα, ἐπαλαιώθη τὰ ὀστᾶ μου, * ἀπὸ τοῦ κράζειν με ὅλην τὴν ἡμέραν.

Ὅτι ἡμέρας, καὶ νυκτὸς ἐβαρύνθη ἐπ᾽ ἐμὲ ἡ χείρ σου * ἐστράφην εἰς ταλαιπωρίαν, ἐν τῷ ἐμπαγῆναί μοι ἄκανθαν.

Τὴν ἀνομίαν μου ἐγνώρισα, * καὶ τὴν ἁμαρτίαν μου οὐκ ἐκάλυψα.

Εἶπα, ἐξαγορεύσω κατ᾽ ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ * καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου.

Ὑπὲρ ταύτης προσεύξεται πρὸς σὲ πᾶς ὅσιος * ἐν καιρῷ εὐθέτῳ.

Πλὴν ἐν κατακλυσμῷ ὑδάτων πολλῶν * πρὸς αὐτὸν οὐκ ἐγγιοῦσι.

Σύ μου εἶ καταφυγὴ ἀπὸ θλίψεως τῆς περιεχούσης με, * τὸ ἀγαλλίαμά μου, λύτρωσαί με ἀπὸ τῶν κυκλωσάντων με.

Συνετιῶ σε, καὶ συμβιβῶ σε, ἐν ὁδῷ ταύτῃ, ᾗ πορεύσῃ, * ἐπιστηριῶ ἐπὶ σὲ τοὺς ὀφθαλμούς μου.

Μὴ γίνεσθε ὡς ἵππος, καὶ ἡμίονος, * οἷς οὐκ ἔστι σύνεσις.

Ἐν κημῷ, καὶ χαλινῷ τὰς σιαγόνας αὐτῶν ἄγξαις, * τῶν μὴ ἐγγιζόντων πρὸς σέ.

Πολ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Πολλαὶ αἱ μάστιγες τοῦ ἁμαρτωλοῦ, * τὸν δὲ ἐλπίζοντα ἐπὶ Κύριον ἔλεος κυκλώσει.

Εὐφράνθητε [1] ἐπὶ Κύριον, καὶ ἀγαλλιᾶσθε δίκαιοι, * † καὶ καυχᾶσθε πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.

Ψαλ. λβ΄. 32.

Ἀγαλλιᾶσθε [2] δίκαιοι ἐν Κυρίῳ, * τοῖς εὐθέσι † πρέπει αἴνεσις.

Ἐξομολογεῖσθε τῷ Κυρίῳ ἐν κιθάρᾳ, * ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψάλατε αὐτῷ.

Ἄσατε αὐτῷ ᾆσμα καινόν, * καλῶς ψάλατε αὐτῷ ἐν ἀλαλαγμῷ.

Ὅτι εὐθὺς ὁ λόγος τοῦ Κυρίου, * καὶ πάντα τὰ ἔργα αὐτοῦ ἐν πίστει.

Ἀγαπᾷ ἐλεημοσύνην, καὶ κρίσιν ὁ Κύριος, * τοῦ ἐλέους Κυρίου πλήρης ἡ γῆ.

Τῷ Λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, * καὶ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ, πᾶσα ἡ δύναμις αὐτῶν. ***

Συνάγων ὡσεὶ ἀσκὸν ὕδατα θαλάσσης, * τιθεὶς ἐν θησαυροῖς ἀβύσσους.

Φοβηθήτω τὸν Κύριον πᾶσα ἡ γῆ, * ἀπ' αὐτοῦ δὲ σαλευθήτωσαν πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην.

Ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, * αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.

Κύριος διασκεδάζει βουλὰς ἐθνῶν, * ἀθετεῖ δὲ λογισμοὺς λαῶν, καὶ ἀθετεῖ βουλὰς ἀρχόντων.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἡ δὲ βουλὴ τοῦ Κυρίου εἰς τὸν αἰῶνα μένει, * λογισμοὶ τῆς καρδίας αὐτοῦ εἰς γενεὰν, καὶ γενεάν.

Μακάριον τὸ ἔθνος οὗ ἐστι Κύριος ὁ Θεὸς αὐτοῦ, * λαὸς, ὃν ἐξελέξατο εἰς κληρονομίαν ἑαυτῷ.

Ἐξ οὐρανοῦ ἐπέβλεψεν ὁ Κύριος, * εἶδε πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων.

Ἐξ ἑτοίμου κατοικητηρίου αὐτοῦ, * ἐπέβλεψεν ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν γῆν.

Ὁ πλάσας καταμόνας τὰς καρδίας αὐτῶν, * ὁ συνιεὶς εἰς πάντα τὰ ἔργα αὐτῶν.

Οὐ σώζεται βασιλεὺς διὰ πολλὴν δύναμιν, * καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ.

Ψευδὴς ἵππος εἰς σωτηρίαν, * ἐν δὲ πλήθει δυνάμεως αὐτοῦ οὐ σωθήσεται.

Ἰδοὺ οἱ ὀφθαλμοὶ Κυρίου ἐπὶ τοὺς φοβουμένους αὐτὸν, * τοὺς ἐλπίζοντας ἐπὶ τὸ ἔλεος αὐτοῦ.

Ῥύσασθαι ἐκ θανάτου τὰς ψυχὰς αὐτῶν, * καὶ διαθρέψαι αὐτοὺς ἐν λιμῷ.

Ἡ δὲ ψυχὴ ἡμῶν ὑπομένει τῷ Κυρίῳ, * ὅτι βοηθὸς, καὶ ὑπερασπιστὴς ἡμῶν ἐστιν.

Ὅτι ἐν αὐτῷ εὐφρανθήσεται ἡ καρδία ἡμῶν, * καὶ ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ ἠλπίσαμεν.

Γένοιτο Κύριε τὸ ἔλεός σου ἐφ' ἡμᾶς, * καθάπερ † ἠλπίσαμεν ἐπὶ σέ.

Ψαλ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ψαλ. λγ'. 33.

Ε'υλογήσω [2] τὸν Κύριον ἐν παντὶ καιρῷ, * διὰ παντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου.

Ε'ν τῷ Κυρίῳ ἐπαινεθήσεται ἡ ψυχή μου, * ἀκουσάτωσαν πραεῖς, καὶ εὐφρανθήτωσαν.

Μεγαλύνατε τὸν Κύριον σὺν ἐμοὶ, * καὶ ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτό.

Εξεζήτησα [1] τὸν Κύριον, καὶ ἐπήκουσέ μου, * καὶ ἐκ πασῶν τῶν θλίψεών μου ἐρρύσατό με.

Προσέλθετε πρὸς αὐτὸν, καὶ φωτίσθητε, * καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ.

Οὗτος ὁ πτωχὸς ἐκέκραξε, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτοῦ, * καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ ἔσωσεν αὐτόν.

Παρεμβαλεῖ ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν, * καὶ ῥύσεται αὐτούς.

Γεύσασθε, καὶ ἴδετε, ὅτι χρηστὸς ὁ Κύριος, * μακάριος ἀνὴρ, ὃς ἐλπίζει ἐπ' αὐτόν.

Φοβήθητε τὸν Κύριον πάντες οἱ ἅγιοι αὐτοῦ, * ὅτι οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν.

Πλούσιοι ἐπτώχευσαν, καὶ ἐπείνασαν, * οἱ δὲ ἐκζητοῦντες τὸν Κύριον οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ.

Δεῦτε τέκνα ἀκούσατέ μου, * φόβον κυρίου διδάξω ὑμᾶς.

Τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωὴν, * ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθάς.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ, * καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον.

Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθὸν, * ζήτησον εἰρήνην, καὶ δίωξον αὐτήν.

Ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους, * καὶ ὦτα αὐτοῦ, εἰς δέησιν αὐτῶν.

Πρόσωπον δὲ Κυρίου ἐπὶ ποιοῦντας κακὰ, * τοῦ ἐξολοθρεῦσαι ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν.

Ἐκέκραξαν οἱ δίκαιοι, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτῶν, * καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτῶν ἐρρύσατο αὐτούς. ***

Ἐγγὺς Κύριος τοῖς συντετριμμένοις τῇ καρδίᾳ, * καὶ τοὺς ταπεινοὺς τῷ πνεύματι σώσει.

Πολλαὶ αἱ θλίψεις τῶν δικαίων, * καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτοὺς ὁ Κύριος.

Φυλάσσει Κύριος πάντα τὰ ὀστᾶ αὐτῶν, * ἓν ἐξ αὐτῶν οὐ συντριβήσεται.

Θάνατος ἁμαρτωλῶν πονηρὸς, * καὶ οἱ μισοῦντες τὸν δίκαιον πλημμελήσουσι.

Λυτρώσεται Κύριος ψυχὰς δούλων αὐτοῦ * καὶ οὐ μὴ πλημμελήσουσι πάντες οἱ ἐλπίζοντες ἐπ᾽ αὐτόν.

Δόξα καὶ νῦν. Ἀλλ. ἀλλ. ἀλλ. Δόξα σοὶ ὁ Θεὸς γ.

Ψαλ. λδʹ. 34.

Δίκασον [2] Κύριε τοὺς ἀδικοῦντάς με * πολέμησον τοὺς πολεμοῦντάς με.

Ἐπιλαβοῦ ὅπλου, καὶ θυρεοῦ, * καὶ ἀνάστηθι εἰς τὴν βοήθειάν μου.

Ἔκχεον

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἔκχεον ῥομφαίαν, καὶ σύγκλεισον ἐξεναντίας τῶν καταδιωκόντων με* εἶπον τῇ ψυχῇ μου, σωτηρία σου εἰμὶ ἐγώ.

Αἰσχυνθήτωσαν, καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου* ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω, καὶ καταισχυνθήτωσαν οἱ λογιζόμενοί μοι κακά.

Γενηθήτωσαν ὡσεὶ χνοῦς κατὰ πρόσωπον ἀνέμου* καὶ ἄγγελος Κυρίου ἐκθλίβων αὐτούς.

Γενηθήτω ἡ ὁδὸς αὐτῶν σκότος, καὶ ὀλίσθημα, * καὶ ἄγγελος Κυρίου καταδιώκων αὐτούς.

Ὅτι δωρεὰν ἔκρυψάν μοι διαφθορὰν παγίδος αὐτῶν * μάτην ὠνείδισαν τὴν ψυχήν μου.

Ἐλθέτω αὐτοῖς παγὶς, ἣν οὐ γινώσκει, * καὶ ἡ θήρα, ἣν ἔκρυψε συλλαβέτω αὐτὸν, καὶ ἐν τῇ παγίδι πεσεῖται ἐν αὐτῇ.

Ἡ δὲ ψυχή μου ἀγαλλιάσεται ἐπὶ τῷ Κυρίῳ * τερφθήσεται ἐπὶ τῷ σωτηρίῳ αὐτοῦ.

Πάντα τὰ ὀστᾶ μου ἐροῦσι Κύριε * Κύριε τίς ὅμοιός σοι;

Ῥυόμενος πτωχὸν ἐκ χειρὸς στερεωτέρων αὐτοῦ, * καὶ πτωχὸν, καὶ πένητα ἀπὸ τῶν διαρπαζόντων αὐτόν.

Ἀναστάντες μοι μάρτυρες ἄδικοι, ἃ οὐκ ἐγίνωσκον ἠρώτων με * ἀνταπεδίδοσάν μοι πονηρὰ ἀντὶ ἀγαθῶν, καὶ ἀτεκνίαν τῇ ψυχῇ μου.

Ἐγὼ δὲ ἐν τῷ αὐτοὺς παρενοχλεῖν μοι * ἐνεδυόμην σάκκον.

Καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Καὶ ἐταπείνουν ἐν νηστείᾳ τὴν ψυχήν μου* καὶ ἡ προσευχή μου εἰς κόλπον μου ἀποστραφήσεται.

Ὡς πλησίον ὡς ἀδελφῷ ἡμετέρῳ οὕτως εὐηρέστουν* ὡς πενθῶν, καὶ σκυθρωπάζων, οὕτως ἐταπεινούμην.

Καὶ κατ' ἐμοῦ εὐφράνθησαν, καὶ συνήχθησαν* συνήχθησαν ἐπ' ἐμὲ μάστιγες, καὶ οὐκ ἔγνων.

Διεσχίσθησαν, καὶ οὐ κατενύγησαν, ἐπείρασάν με, ἐξεμυκτήρισάν με μυκτηρισμῷ* ἔβρυξαν ἐπ' ἐμὲ τοὺς ὀδόντας αὐτῶν.

Κύριε πότε ἐπόψῃ; ἀποκατάστησον τὴν ψυχήν μου ἀπὸ τῆς κακουργίας αὐτῶν,* ἀπὸ λεόντων τὴν μονογενῆ μου.

Ἐξομολογήσομαί σοι ἐν ἐκκλησίᾳ πολλῇ* ἐν λαῷ βαρεῖ αἰνέσω σε.

Μὴ ἐπιχαρείησάν μοι οἱ ἐχθραίνοντές με ἀδίκως* οἱ μισοῦντές με δωρεὰν, καὶ διανεύοντες ὀφθαλμοῖς.

Ὅτι ἐμοὶ μὲν εἰρηνικὰ ἐλάλουν,* καὶ ἐπ' ὀργὴν δόλους διελογίζοντο.

Ἐπλάτυναν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν* εἶπον, εὖγε εὖγε εἶδον οἱ ὀφθαλμοὶ ἡμῶν.

Εἶδες Κύριε, μὴ παρασιωπήσῃς* Κύριε μὴ ἀποστῇς ἀπ' ἐμοῦ.

Ἐξεγέρθητι Κύριε [1], καὶ πρόσχες τῇ κρίσει μου* ✝ ὁ Θεός μου, καὶ ὁ Κύριός μου εἰς τὴν δίκην μου.

Κρῖνόν με κατὰ τὴν δικαιοσύνην σου, Κύριε ὁ Θεός μου,* καὶ μὴ ἐπιχαρείησάν μοι.

Μὴ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Μὴ εἴποισαν ἐν καρδίαις αὐτῶν, εὖγε εὖγε τῇ ψυχῇ ἡμῶν* μὴ δὲ εἴποιεν, καταπίομεν αὐτόν.

Αἰσχυνθείησαν, καὶ ἐντραπείησαν ἅμα* οἱ ἐπιχαίροντες τοῖς κακοῖς μου.

Ἐνδυσάσθωσαν αἰσχύνην, καὶ ἐντροπὴν* οἱ μεγαλοῤῥημονοῦντες ἐπ' ἐμέ.

Ἀγαλλιάσθωσαν, καὶ εὐφρανθήτωσαν οἱ θέλοντες τὴν δικαιοσύνην μου,* καὶ εἰπάτωσαν διαπαντὸς, μεγαλυνθήτω ὁ Κύριος, οἱ θέλοντες τὴν εἰρήνην τοῦ δούλου αὐτοῦ.

Καὶ ἡ γλῶσσά μου μελετήσει τὴν δικαιοσύνην σου* ὅλην τὴν ἡμέραν τὸν ἔπαινόν σου.

Ψαλ. λε'. 35.

Φησὶν ὁ παράνομος τοῦ ἁμαρτάνειν ἐν ἑαυτῷ,* οὐκ ἔστι φόβος Θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτοῦ.

Ὅτι ἐδόλωσεν ἐνώπιον αὐτοῦ,* τοῦ εὑρεῖν τὴν ἀνομίαν αὐτοῦ, καὶ μισῆσαι.

Τὰ ῥήματα τοῦ στόματος αὐτοῦ ἀνομία, καὶ δόλος,* οὐκ ἠβουλήθη συνιέναι τοῦ ἀγαθῦναι.

Ἀνομίαν διελογίσατο ἐπὶ τῆς κοίτης αὐτοῦ,* παρέστη πάσῃ ὁδῷ οὐκ ἀγαθῇ, κακίᾳ δὲ οὐ προσώχθισε.

Κύριε' ἐν τῷ οὐρανῷ τὸ ἔλεός σου,* καὶ ἡ ἀλήθειά σου ἕως τῶν νεφελῶν.

Ἡ δικαιοσύνη σου', ὡς ὄρη Θεοῦ,* τὰ κρίματά σου ἄβυσσος πολλή.

Ἀνθρώπους, καὶ κτήνη σώσεις Κύριε,* ὡς ἐπλήθυνας τὸ ἔλεός σου ὁ Θεός.

Οἱ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Οἱ δὲ υἱοὶ τῶν ἀνθρώπων * ἐν σκέπῃ τῶν πτερύγων σου ἐλπιοῦσι.

Μεθυσθήσονται ἀπὸ πιότητος οἴκου σου, * καὶ τὸν χειμάῤῥουν τῆς τρυφῆς σου ποτιεῖς αὐτούς.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, * ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε, * καὶ τὴν δικαιοσύνην σου τοῖς εὐθέσι τῇ καρδίᾳ.

Μὴ ἐλθέτω μοι ποὺς ὑπερηφανίας· * καὶ χεὶρ ἁμαρτωλοῦ μὴ σαλεύσαι με.

Ἐκεῖ ἔπεσον πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν· * ἐξώσθησαν, καὶ οὐ μὴ δύνωνται στῆναι.

Δόξα. καὶ νῦν. ἀλλ.

Ψαλ. λϛ΄. 36.

ΜΗ παραζήλου ἐν πονηρευομένοις, * μηδὲ ζήλου τοὺς ποιοῦντας τὴν ἀνομίαν.

Ὅτι ὡσεὶ χόρτος ταχὺ ἀποξηρανθήσονται, * καὶ ὡσεὶ λάχανα χλόης ταχὺ ἀποπεσοῦνται.

Ἔλπισον ἐπὶ Κύριον, καὶ ποίει χρηστότητα, * καὶ κατασκήνου τὴν γῆν, καὶ ποιμανθήσῃ ἐπὶ τῷ πλούτῳ αὐτῆς.

Κατατρύφησον τοῦ Κυρίου, * καὶ δώῃ σοι τὰ αἰτήματα τῆς καρδίας σου.

Ἀποκάλυψον πρὸς Κύριον τὴν ὁδόν σου, * καὶ ἔλπισον ἐπ' αὐτὸν, καὶ αὐτὸς ποιήσει.

Καὶ ἐξοίσει ὡς φῶς τὴν δικαιοσύνην σου, καὶ τὸ κρίμα

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

μά σου ὡς μεσημβρίαν, * ὑποτάγηθι τῷ Κυρίῳ, καὶ ἱκέτευσον αὐτόν.

Μὴ παραζήλου ἐν τῷ κατευοδουμένῳ ἐν τῇ ὁδῷ αὐτοῦ, * ἐν ἀνθρώπῳ ποιοῦντι παρανομίαν.

Παῦσαι ἀπὸ ὀργῆς, καὶ ἐγκατάλιπε θυμόν, * μὴ παραζήλου, ὥστε πονηρεύεσθαι.

Ὅτι οἱ πονηρευόμενοι ἐξολοθρευθήσονται, * οἱ δὲ ὑπομένοντες τὸν Κύριον, αὐτοὶ κληρονομήσουσι γῆν.

Καὶ ἔτι ὀλίγον, καὶ οὐ μὴ ὑπάρξῃ ὁ ἁμαρτωλός· * καὶ ζητήσεις τὸν τόπον αὐτοῦ, καὶ οὐ μὴ εὕρῃς.

Οἱ δὲ πραεῖς κληρονομήσουσι γῆν, * καὶ κατατρυφήσουσιν ἐπὶ πλήθει εἰρήνης.

Παρατηρήσεται ὁ ἁμαρτωλὸς τὸν δίκαιον, * καὶ βρύξει ἐπ' αὐτὸν τοὺς ὀδόντας αὐτοῦ.

Ὁ δὲ Κύριος ἐκγελάσεται αὐτόν, * ὅτι προβλέπει, ὅτι ἥξει ἡ ἡμέρα αὐτοῦ.

Ῥομφαίαν ἐσπάσαντο οἱ ἁμαρτωλοί, * ἐνέτειναν τόξον αὐτῶν.

Τοῦ καταβαλεῖν πτωχὸν, καὶ πένητα, * τοῦ σφάξαι τοὺς εὐθεῖς τῇ καρδίᾳ.

Ἡ ῥομφαία αὐτῶν εἰσέλθοι εἰς τὰς καρδίας αὐτῶν, * καὶ τὰ τόξα αὐτῶν συντριβείη.

Κρεῖσσον ὀλίγον τῷ δικαίῳ * ὑπὲρ πλοῦτον ἁμαρτωλῶν πολύν.

Ὅτι βραχίονες ἁμαρτωλῶν συντριβήσονται, * ὑποστηρίζει δὲ τοὺς δικαίους ὁ Κύριος.

Γινώ-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Γινώσκει Κύριος τὰς ὁδοὺς τῶν ἀμώμων, * καὶ ἡ κληρονομία αὐτῶν εἰς αἰῶνα ἔσται.

Οὐ καταισχυνθήσονται ἐν καιρῷ πονηρῷ, * καὶ ἐν ἡμέραις λιμοῦ χορτασθήσονται, ὅτι οἱ ἁμαρτωλοὶ ἀπολοῦνται.

Οἱ δὲ ἐχθροὶ τοῦ Κυρίου ἅμα τῷ δοξασθῆναι αὐτοὺς, καὶ ὑψωθῆναι, * ἐκλείποντες ὡσεὶ καπνὸς ἐξέλιπον.

Δανείζεται ὁ ἁμαρτωλὸς, καὶ οὐκ ἀποτίσει· * ὁ δὲ δίκαιος οἰκτείρει, καὶ δίδωσιν.

Ὅτι οἱ εὐλογοῦντες αὐτὸν κληρονομήσουσι γῆν * οἱ δὲ καταρώμενοι αὐτὸν ἐξολοθρευθήσονται.

Παρὰ Κυρίου τὰ διαβήματα ἀνθρώπου κατευθύνεται, * καὶ τὴν ὁδὸν αὐτοῦ θελήσει σφόδρα.

Ὅταν πέσῃ οὐ καταῤῥαχθήσεται, * ὅτι Κύριος ἀντιστηρίζει χεῖρα αὐτοῦ.

Νεώτερος ἐγενόμην, καὶ γὰρ ἐγήρασα, * καὶ οὐκ εἶδον δίκαιον ἐγκαταλελειμμένον, οὐδὲ τὸ σπέρμα αὐτοῦ ζητοῦν ἄρτους.

Ὅλην τὴν ἡμέραν ἐλεεῖ, καὶ δανείζει ὁ δίκαιος, * καὶ τὸ σπέρμα αὐτοῦ εἰς εὐλογίαν ἔσται.

Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθὸν, * καὶ κατασκήνου εἰς αἰῶνα αἰῶνος.

Ὅτι Κύριος ἀγαπᾷ κρίσιν, καὶ οὐκ ἐγκαταλείψει τοὺς ὁσίους αὐτοῦ, * εἰς τὸν αἰῶνα φυλαχθήσονται.

Ἄνομοι δὲ ἐκδιωχθήσονται, * καὶ σπέρμα ἀσεβῶν ἐξολοθρευθήσεται.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Δίκαιοι δὲ κληρονομήσουσι γῆν, * καὶ κατασκηνώσουσιν εἰς αἰῶνα αἰῶνος ἐπ' αὐτῆς.

Στόμα δικαίου μελετήσει σοφίαν, * καὶ ἡ γλῶσσα αὐτοῦ λαλήσει κρίσιν.

Ὁ νόμος τοῦ Θεοῦ αὐτοῦ ἐν καρδίᾳ αὐτοῦ, * καὶ οὐχ ὑποσκελισθήσεται τὰ διαβήματα αὐτοῦ.

Κατανοεῖ ὁ ἁμαρτωλὸς τὸν δίκαιον, * καὶ ζητεῖ τοῦ θανατῶσαι αὐτόν.

Ὁ δὲ Κύριος οὐ μὴ ἐγκαταλίπῃ αὐτὸν εἰς τὰς χεῖρας αὐτοῦ, * οὐδ' οὐ μὴ καταδικάσηται αὐτὸν, ὅταν κρίνηται αὐτῷ.

Ὑπόμεινον [1] τὸν Κύριον, καὶ φύλαξον τὴν ὁδὸν † αὐτοῦ, * καὶ ὑψώσει σε τοῦ κατακληρονομῆσαι γῆν· ἐν τῷ ἐξολοθρεύεσθαι ἁμαρτωλοὺς, ὄψει.

Εἶδον τὸν ἀσεβῆ ὑπερυψούμενον, καὶ ἐπαιρόμενον, * ὡς τὰς κέδρους τοῦ Λιβάνου.

Καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν, καὶ ἐζήτησα αὐτὸν, * καὶ οὐχ εὑρέθη ὁ τόπος αὐτοῦ.

Φύλασσε ἀκακίαν, καὶ ἴδε εὐθύτητα, * ὅτι ἐστὶν ἐγκατάλειμμα ἀνθρώπῳ εἰρηνικῷ.

Οἱ δὲ παράνομοι ἐξολοθρευθήσονται ἐπὶ τὸ αὐτὸ, * τὰ ἐγκαταλείμματα τῶν ἀσεβῶν ἐξολοθρευθήσονται.

Σωτηρία δὲ τῶν δικαίων παρὰ Κυρίου, * καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν ἐν καιρῷ θλίψεως.

Καὶ βοηθήσει αὐτοῖς Κύριος, καὶ ῥύσεται αὐτοὺς, καὶ ἐξελεῖται αὐτοὺς ἐξ ἁμαρτωλῶν, * καὶ σώσει αὐτοὺς, ὅτι ἤλπισαν ἐπ' αὐτόν. Δόξα. Καὶ νῦν. Ἀλλ.

ΚΑ-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

# ΚΑΘΙΣΜΑ ΠΕΜΠΤΟΝ
## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ
## ΤΗΣ ΑΥΤΗΣ Γ΄. ΤΗΣ ΕΒΔ.
## ΔΕΥΤΕΡΟΝ ΜΕΝ

Ἐν τῇ μεγαλ. μ΄. ὅπȣ λέγονται τὰ καθ. δύο, ἔξω δὲ αὐτῆς, καθ. μόνον, ἀλλ᾽ ἐν τοῖς ἤχοις Β΄. Δ΄. ΠΛ. Β΄. ΠΛ. Δ΄.

Ψαλ. λζ΄. 37.

ΚΥριε μὴ τῷ θυμῷ σȣ. λέλεκτ. εἰς τὸν ὄρθρον φύλ. 2.

Ψαλ. λη΄. 38.

ΕΙπα, φυλάξω τὰς ὁδȣ́ς μȣ, * τȣ̃ μὴ ἁμαρτάνειν με ἐν γλώσσῃ μȣ.

Ἐθέμην τῷ στόματί μȣ φυλακὴν, * ἐν τῷ συστῆναι τὸν ἁμαρτωλὸν ἐναντίον μȣ.

Ἐκωφώθην, καὶ ἐταπεινώθην, καὶ ἐσίγησα ἐξ ἀγαθῶν, * καὶ τὸ ἄλγημά μȣ ἀνεκαινίσθη.

Ἐθερμάνθη ἡ καρδία μȣ ἐντός μȣ, * καὶ ἐν τῇ μελέτῃ μȣ ἐκκαυθήσεται πῦρ.

Ἐλάλησα ἐν γλώσσῃ μȣ, * γνώρισόν μοι Κύριε τὸ πέρας μȣ.

Καὶ τὸν ἀριθμὸν τῶν ἡμερῶν μȣ, τίς ἐστιν, * ἵνα γνῶ τί ὑστερῶ ἐγώ.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἰδοὺ παλαιστὰς ἔθου τὰς ἡμέρας μου, * καὶ ἡ ὑπόστασίς μου ὡσεὶ οὐθὲν ἐνώπιόν σου.

Πλὴν τὰ σύμπαντα ματαιότης, * πᾶς ἄνθρωπος ζῶν.

Μέντοιγε ἐν εἰκόνι διαπορεύεται ἄνθρωπος, * πλὴν μάτην ταράσσεται.

Θησαυρίζει, καὶ οὐ γινώσκει, * τίνι συνάξει αὐτά.

Καὶ νῦν τίς ἡ ὑπομονή μου, οὐχὶ Κύριος; * καὶ ἡ ὑπόστασίς μου παρὰ σοῦ ἐστιν.

Ἀπὸ πασῶν τῶν ἀνομιῶν μου ῥῦσαί με, * ὄνειδος ἄφρονι ἔδωκάς με.

Ἐκωφώθην, καὶ οὐκ ἤνοιξα τὸ στόμα μου, ὅτι σὺ ἐποίησας, * ἀπόστησον ἀπ' ἐμοῦ τὰς μάστιγάς σου.

Ἀπὸ γὰρ τῆς ἰσχύος τῆς χειρός σου ἐγὼ ἐξέλιπον, * ἐν ἐλεγμοῖς ὑπὲρ ἀνομίας ἐπαίδευσας ἄνθρωπον.

Καὶ ἐξέτηξας ὡς ἀράχνην τὴν ψυχὴν αὐτοῦ, * πλὴν μάτην πᾶς ἄνθρωπος.

Εἰσάκουσον [1] τῆς προσευχῆς μου Κύριε, καὶ τῆς ✝ δεήσεώς μου, * ἐνώτισαι τῶν δακρύων μου.

Μὴ παρασιωπήσῃς, ὅτι πάροικος ἐγώ εἰμι παρὰ σοί, * καὶ παρεπίδημος, καθὼς πάντες οἱ πατέρες μου.

Ἄνες μοι, ἵνα ἀναψύξω πρὸ τοῦ με ἀπελθεῖν, * καὶ οὐκέτι οὐ μὴ ὑπάρξω.

Ψαλ. λθ΄. 39.

Ὑπομένων [2] ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε ✝ μοι, * καὶ εἰσήκουσε τῆς δεήσεώς μου. ***



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Καὶ ἀνήγαγέ με ἐκ λάκκου ταλαιπωρίας, * καὶ ἀπὸ πηλοῦ ἰλύος.

Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου, * καὶ κατεύθυνε τὰ διαβήματά μου.

Καὶ ἐνέβαλεν εἰς τὸ στόμα μου ᾆσμα καινὸν, * ὕμνον τῷ Θεῷ ἡμῶν.

Ὄψονται πολλοὶ, καὶ φοβηθήσονται, * καὶ ἐλπιοῦσιν ἐπὶ Κύριον.

Μακάριος ἀνὴρ, οὗ ἐστι τὸ ὄνομα Κυρίου ἐλπὶς αὐτοῦ, * καὶ οὐκ ἐπέβλεψεν εἰς ματαιότητας, καὶ μανίας ψευδεῖς.

Πολλὰ ἐποίησας σὺ Κύριε ὁ Θεός μου τὰ θαυμάσιά σου, * καὶ τοῖς διαλογισμοῖς σου οὐκ ἔστι τὶς ὁμοιωθήσεταί σοι.

Ἀπήγγειλα, καὶ ἐλάλησα, * ἐπληθύνθησαν ὑπὲρ ἀριθμόν.

Θυσίαν, καὶ προσφορὰν οὐκ ἠθέλησας, * σῶμα δὲ κατηρτίσω μοι.

Ὁλοκαυτώματα, καὶ περὶ ἁμαρτίας οὐκ ἐζήτησας * τότε εἶπον, ἰδοὺ ἥκω.

Ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ, * τοῦ ποιῆσαι τὸ θέλημά σου, ὁ Θεός μου ἠβουλήθην, καὶ τὸν νόμον σου ἐν μέσῳ τῆς κοιλίας μου.

Εὐηγγελισάμην δικαιοσύνην ἐν ἐκκλησίᾳ μεγάλῃ, * ἰδοὺ τὰ χείλη μου οὐ μὴ κωλύσω, Κύριε σὺ ἔγνως.

Τὴν



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Τὴν δικαιοσύνην σου οὐκ ἔκρυψα ἐν τῇ καρδίᾳ μου, * τὴν ἀλήθειάν σου, καὶ τὸ σωτήριόν σου εἶπα.

Οὐκ ἔκρυψα τὸ ἔλεός σου, * καὶ τὴν ἀλήθειάν σου ἀπὸ συναγωγῆς πολλῆς.

Σὺ δὲ Κύριε μὴ μακρύνῃς τοὺς οἰκτιρμούς σου ἀπ' ἐμοῦ, * τὸ ἔλεός σου, καὶ ἡ ἀλήθειά σου διαπαντὸς ἀντιλάβοιντό μου.

Ὅτι περιέσχον με κακὰ, ὧν οὐκ ἔστιν ἀριθμός· * κατέλαβόν με αἱ ἀνομίαι μου, καὶ οὐκ ἠδυνήθην τοῦ βλέπειν.

Ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου, * καὶ ἡ καρδία μου ἐγκατέλιπέ με.

Εὐδόκησον Κύριε τοῦ ῥύσασθαί με, * Κύριε εἰς τὸ βοηθῆσαί μοι πρόσχες.

Καταισχυνθείησαν, καὶ ἐντραπείησαν ἅμα οἱ ζητοῦντες τὴν ψυχήν μου, * τοῦ ἐξᾶραι αὐτήν.

Ἀποστραφείησαν εἰς τὰ ὀπίσω, καὶ καταισχυνθείησαν * οἱ θέλοντές μοι κακά.

Κομισάσθωσαν παραχρῆμα αἰσχύνην αὐτῶν, * οἱ λέγοντές μοι, εὖγε εὖγε.

Ἀγαλλιάσθωσαν, καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦντές σε Κύριε, * καὶ εἰπάτωσαν διαπαντὸς, μεγαλυνθήτω ὁ Κύριος, οἱ ἀγαπῶντες τὸ σωτήριόν σου.

Ἐγὼ δὲ πτωχός εἰμι, καὶ πένης, * Κύριος φροντιεῖ μου.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Βοηθός μου, καὶ ὑπερασπιστής μου εἶ σύ, * ὁ Θεός μου μὴ χρονίσῃς.

Δόξα καὶ νῦν. Ἀλλ. ἀλλ. ἀλλ. Δόξα σοὶ ὁ Θεὸς γ΄.

Ψαλ. μ΄. 40.

ΜΑκάριος ὁ συνιῶν ἐπὶ πτωχὸν, καὶ πένητα * ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ Κύριος.

Κύριος διαφυλάξαι αὐτὸν, καὶ ζήσαι αὐτὸν, καὶ μακαρίσαι αὐτὸν ἐν τῇ γῇ, * καὶ μὴ παραδῴη αὐτὸν εἰς χεῖρας ἐχθρῶν αὐτοῦ.

Κύριος βοηθήσαι αὐτῷ ἐπὶ κλίνης ὀδύνης αὐτοῦ, * ὅλην τὴν κοίτην αὐτοῦ ἔστρεψας ἐν τῇ ἀῤῥωστίᾳ αὐτοῦ.

Ἐγὼ εἶπα, Κύριε ἐλέησόν με * ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Οἱ ἐχθροί μου εἶπον κακά μοι, * πότε ἀποθανεῖται, καὶ ἀπολεῖται τὸ ὄνομα αὐτοῦ.

Καὶ εἰσεπορεύετο τοῦ ἰδεῖν, μάτην ἐλάλει ἡ καρδία αὐτοῦ, * συνήγαγεν ἀνομίαν ἑαυτῷ.

Ἐξεπορεύετο ἔξω, καὶ ἐλάλει ἐπὶ τὸ αὐτὸ, * κατ' ἐμοῦ ἐψιθύριζον πάντες οἱ ἐχθροί μου.

Κατ' ἐμοῦ ἐλογίζοντο κακά μοι, * λόγον παράνομον κατέθεντο κατ' ἐμοῦ.

Μὴ ὁ κοιμώμενος οὐχὶ προσθήσει τοῦ ἀναστῆναι; * καὶ γὰρ ὁ ἄνθρωπος τῆς εἰρήνης μου, ἐφ' ὃν ἤλπισα.

Ὁ ἐσθίων ἄρτους μου, ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμὸν. * σὺ δὲ Κύριε ἐλέησόν με, καὶ ἀνάστησόν με, καὶ ἀνταποδώσω αὐτοῖς. * * *

Εὐ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσεία Τυπάλδων Ιακωβάτων

Ἐν τούτῳ ἔγνων, ὅτι τεθέληκάς με, * ὅτι οὐ μὴ ἐπιχαρῇ ὁ ἐχθρός μου ἐπ' ἐμέ.

Ἐμοῦ δὲ διὰ τὴν ἀκακίαν ἀντελάβου, * καὶ ἐβεβαίωσάς με ἐνώπιόν σου εἰς τὸν αἰῶνα.

Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραὴλ * ἀπὸ τοῦ αἰῶνος, καὶ εἰς τὸν αἰῶνα, γένοιτο, γένοιτο.

Ψαλ. μα'. 41.

ΟΝ τρόπον [2] ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, * οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σὲ ὁ Θεός.

Ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν τὸν ἰσχυρόν, τὸν ζῶντα, * πότε ἥξω, καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ;

Ἐγενήθη τὰ δάκρυά μου ἐμοὶ ἄρτος ἡμέρας, καὶ νυκτός, * ἐν τῷ λέγεσθαί μοι καθ' ἑκάστην ἡμέραν, ποῦ ἐστιν ὁ Θεός σου;

Ταῦτα ἐμνήσθην, καὶ ἐξέχεα ἐπ' ἐμὲ τὴν ψυχήν μου, * ὅτι διελεύσομαι ἐν τόπῳ σκηνῆς θαυμαστῆς ἕως τοῦ οἴκου τοῦ Θεοῦ.

Ἐν φωνῇ ἀγαλλιάσεως, καὶ ἐξομολογήσεως, * ἤχου ἑορτάζοντος.

Ἵνα τί περίλυπος εἶ ἡ ψυχή μου; * καὶ ἵνα τί συνταράσσεις με;

Ἔλπισον ἐπὶ τὸν Θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ, * σωτήριον τοῦ προσώπου μου, καὶ ὁ Θεός μου.

Πρὸς ἐμαυτὸν ἡ ψυχή μου ἐταράχθη, * διὰ τοῦτο



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

μνησθήσομαί σου ἐκ γῆς Ἰορδάνου, καὶ Ἑρμωνιεὶμ ἀπὸ ὄρους μικροῦ.

Ἄβυσσος ἄβυσσον ἐπικαλεῖται * εἰς φωνὴν τῶν καταῤῥακτῶν σου.

Πάντες οἱ μετεωρισμοί σου, καὶ τὰ κύματά σου * ἐπ' ἐμὲ διῆλθον.

Ἡμέρας ἐντελεῖται Κύριος τὸ ἔλεος αὐτοῦ, * καὶ νυκτὸς ᾠδὴ αὐτοῦ παρ' ἐμοί.

Προσευχὴ [1] τῷ Θεῷ τῆς ζωῆς μου, * ἐρῶ τῷ Θεῷ, ἀντιλήπτωρ μου εἶ.

Διὰ τί μου ἐπελάθου, * καὶ ἵνα τί σκυθρωπάζων πορεύομαι ἐν τῷ ἐκθλίβειν τὸν ἐχθρόν;

Ἐν τῷ καταθλᾶσθαι τὰ ὀστᾶ μου, * ὠνείδιζόν με οἱ ἐχθροί μου.

Ἐν τῷ λέγειν αὐτούς μοι καθ' ἑκάστην ἡμέραν, ποῦ ἐστιν ὁ Θεός σου; * ἵνα τί περίλυπος εἶ ἡ ψυχή μου, καὶ ἵνα τί συνταράσσεις με;

Ἔλπισον ἐπὶ τὸν Θεὸν, ὅτι ἐξομολογήσομαι αὐτῷ, * σωτήριον τοῦ προσώπου μου, καὶ ὁ Θεός μου.

Ψαλ. μβʹ. 42.

Κρῖνόν [2] μοι ὁ Θεὸς, καὶ δίκασον τὴν δίκην μου, * ἐξ ἔθνους οὐχ ὁσίου, ἀπὸ ἀνθρώπου ἀδίκου, καὶ δολίου ῥῦσαί με.

Ὅτι σὺ εἶ ὁ Θεὸς, κραταίωμά μου, ἵνα τί ἀπώσω με, * καὶ ἵνα τί σκυθρωπάζων πορεύομαι, ἐν τῷ ἐκθλίβειν τὸν ἐχθρόν;

Ἐξα-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἐξαπόστειλον τὸ φῶς σου, καὶ τὴν ἀλήθειάν σου, *
αὐτά με ὡδήγησαν, καὶ ἤγαγόν με εἰς ὄρος ἅγιόν σου,
καὶ εἰς τὰ σκηνώματά σου.
Καὶ εἰσελεύσομαι πρὸς τὸ θυσιαστήριον τοῦ Θεοῦ, *
πρὸς τὸν Θεὸν τὸν εὐφραίνοντα τὴν νεότητά μου.
Ἐξομολογήσομαί σοι ἐν κιθάρᾳ ὁ Θεὸς, ὁ Θεός μου, *
ἵνα τί περίλυπος εἶ ἡ ψυχή μου, καὶ ἵνα τί συνταράσσεις με;
Ἔλπισον [1] ἐπὶ τὸν Θεὸν, ὅτι ἐξομολογήσομαι αὐτῷ, * σωτήριον τοῦ προσώπου μου, καὶ ὁ Θεός μου. ✝
Δόξα καὶ νῦν. Ἀλληλ. ἀλληλ.

Ψαλ. μγ'. 43.

Ὁ Θεὸς [2] ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν, * οἱ πατέρες ἡμῶν ἀνήγγειλαν ἡμῖν. *** ✝
Ἔργον, ὃ εἰργάσω ἐν ταῖς ἡμέραις αὐτῶν, * ἐν ἡμέραις ἀρχαίαις.
Ἡ χείρ σου ἔθνη ἐξωλόθρευσε, καὶ κατεφύτευσας αὐτοὺς, * ἐκάκωσας λαοὺς, καὶ ἐξέβαλες αὐτούς.
Οὐ γὰρ ἐν τῇ ῥομφαίᾳ αὐτῶν ἐκληρονόμησαν γῆν. *
καὶ ὁ βραχίων αὐτῶν οὐκ ἔσωσεν αὐτούς.
Ἀλλ' ἡ δεξιά σου, καὶ ὁ βραχίων σου, καὶ ὁ φωτισμὸς τοῦ προσώπου σου, * ὅτι εὐδόκησας ἐν αὐτοῖς.
Σὺ εἶ αὐτὸς ὁ Βασιλεύς μου, καὶ ὁ Θεός μου * ὁ ἐντελλόμενος τὰς σωτηρίας Ἰακώβ.
Ἐν σοὶ τοὺς ἐχθροὺς ἡμῶν κερατιοῦμεν, * καὶ ἐν τῷ ὀνόματί σου ἐξουδενώσομεν τοὺς ἐπανισταμένους ἡμῖν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Οὐ γὰρ ἐπὶ τῷ τόξῳ μου ἐλπιῶ, * καὶ ἡ ῥομφαία μου οὐ σώσει με.

Ἔσωσας γὰρ ἡμᾶς, ἐκ τῶν θλιβόντων ἡμᾶς, * καὶ τοὺς μισοῦντας ἡμᾶς κατῄσχυνας.

Ἐν τῷ Θεῷ [1] ἐπαινεθησόμεθα ὅλην τὴν ἡμέραν, * † καὶ ἐν τῷ ὀνόματί σου ἐξομολογησόμεθα εἰς τὸν αἰῶνα.

Νυνὶ δὲ ἀπώσω, καὶ κατῄσχυνας ἡμᾶς, * καὶ οὐκ ἐξελεύσῃ ὁ Θεὸς ἐν ταῖς δυνάμεσιν ἡμῶν.

Ἀπέστρεψας ἡμᾶς εἰς τὰ ὀπίσω παρὰ τοὺς ἐχθροὺς ἡμῶν, * καὶ οἱ μισοῦντες ἡμᾶς διήρπαζον ἑαυτοῖς.

Ἔδωκας ἡμᾶς ὡς πρόβατα βρώσεως, * καὶ ἐν τοῖς ἔθνεσι διέσπειρας ἡμᾶς.

Ἀπέδου τὸν λαόν σου ἄνευ τιμῆς, * καὶ οὐκ ἦν πλῆθος ἐν τοῖς ἀλαλάγμασιν ἡμῶν.

Ἔθου ἡμᾶς ὄνειδος τοῖς γείτοσιν ἡμῶν, * μυκτηρισμὸν καὶ χλευασμὸν τοῖς κύκλῳ ἡμῶν.

Ἔθου ἡμᾶς εἰς παραβολὴν ἐν τοῖς ἔθνεσι, * κίνησιν κεφαλῆς ἐν τοῖς λαοῖς.

Ὅλην τὴν ἡμέραν ἡ ἐντροπή μου κατεναντίον μου ἐστί, * καὶ ἡ αἰσχύνη τοῦ προσώπου μου ἐκάλυψέ με.

Ἀπὸ φωνῆς ὀνειδίζοντος, καὶ καταλαλοῦντος, * ἀπὸ προσώπου ἐχθροῦ, καὶ ἐκδιώκοντος.

Ταῦτα πάντα ἦλθεν ἐφ' ἡμᾶς, * καὶ οὐκ ἐπελαθόμεθά σου, καὶ οὐκ ἠδικήσαμεν ἐν τῇ διαθήκῃ σου.

Καὶ οὐκ ἀπέστη εἰς τὰ ὀπίσω ἡ καρδία ἡμῶν, * καὶ ἐξέκλινας τὰς τρίβους ἡμῶν ἀπὸ τῆς ὁδοῦ σου.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὅτι ἐταπείνωσας ἡμᾶς ἐν τόπῳ κακώσεως, * καὶ ἐπεκάλυψεν ἡμᾶς σκιὰ θανάτου.

Εἰ ἐπελαθόμεθα τοῦ ὀνόματος τοῦ Θεοῦ ἡμῶν, * καὶ εἰ διεπετάσαμεν χεῖρας ἡμῶν πρὸς Θεὸν ἀλλότριον.

Οὐχὶ ὁ Θεὸς ἐκζητήσει ταῦτα; * αὐτὸς γὰρ γινώσκει τὰ κρύφια τῆς καρδίας.

Ὅτι ἕνεκά σου θανατούμεθα ὅλην τὴν ἡμέραν, * ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς.

Ἐξεγέρθητι, ἵνα τί ὑπνοῖς Κύριε; * ἀνάστηθι, καὶ μὴ ἀπώσῃ εἰς τέλος.

Ἵνατί τὸ πρόσωπόν σου ἀποστρέφεις; * ἐπιλανθάνῃ τῆς πτωχείας ἡμῶν, καὶ τῆς θλίψεως ἡμῶν;

Ὅτι ἐταπεινώθη εἰς χοῦν ἡ ψυχὴ ἡμῶν, * ἐκολλήθη εἰς γῆν ἡ γαστὴρ ἡμῶν.

Ἀνάστα Κύριε, βοήθησον ἡμῖν, * καὶ λύτρωσαι ἡμᾶς ἕνεκεν τοῦ ὀνόματός σου.

## Ψαλ. μδ'. 44.

Ἐξηρεύξατο[2] ἡ καρδία μου λόγον ἀγαθόν, * † λέγω ἐγὼ τὰ ἔργα μου τῷ Βασιλεῖ.

Ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου, * ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων.

Ἐξεχύθη ἡ χάρις ἐν χείλεσί σου, * διὰ τοῦτο εὐλόγησέ σε ὁ Θεὸς εἰς τὸν αἰῶνα.

Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου δυνατέ * τῇ ὡραιότητί σου, καὶ τῷ κάλλει σου.

Καὶ ἔντεινον, καὶ κατευοδοῦ, καὶ βασίλευε ἕνεκεν

ἀλη-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ἀληθείας, καὶ πρᾳότητος, καὶ δικαιοσύνης, * καὶ ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου.

Τὰ βέλη σου ἠκονημένα δυνατέ, * λαοὶ ὑποκάτω σου πεσοῦνται ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως.

Ὁ θρόνος σου ὁ Θεὸς εἰς αἰῶνα τοῦ αἰῶνος, * ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου.

Ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν * διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου.

Σμύρνα, καὶ στακτὴ, καὶ κασία ἀπὸ τῶν ἱματίων σου, * ἀπὸ βάρεων ἐλεφαντίνων ἐξ ὧν εὔφρανάν σε.

Θυγατέρες βασιλέων ἐν τῇ τιμῇ σου * παρέστη ἡ Βασίλισσα ἐκ δεξιῶν σου, ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη πεποικιλμένη.

Ἄκουσον θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, * καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου. ***

Καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου * ὅτι αὐτός ἐστι Κύριός σου, καὶ προσκυνήσεις αὐτῷ.

Καὶ θυγάτηρ Τύρου ἐν δώροις, * τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ.

Πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν * ἐν κροσσωτοῖς χρυσοῖς περιβεβλημένη πεποικιλμένη. *

Ἀπενεχθήσονται τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς * αἱ πλησίον αὐτῆς ἀπενεχθήσονταί σοι. ***

Ἀπενεχθήσονται ἐν εὐφροσύνῃ, καὶ ἀγαλλιάσει * ἀχθήσονται εἰς ναὸν βασιλέως.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἀντὶ τῶν πατέρων σου ἐγεννήθησαν οἱ υἱοί σου * καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν. ***

Μνησθήσομαι [1] τοῦ ὀνόματός σου * ἐν πάσῃ γενεᾷ, † καὶ γενεᾷ.

Διὰ τοῦτο λαοὶ ἐξομολογήσονταί σοι εἰς τὸν αἰῶνα, * καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ψαλ. με'. 45.

Ὁ Θεὸς [2] ἡμῶν καταφυγὴ, καὶ δύναμις * βοηθὸς † ἐν θλίψεσι ταῖς εὑρούσαις ἡμᾶς σφόδρα.

Διὰ τοῦτο οὐ φοβηθησόμεθα ἐν τῷ ταράσσεσθαι τὴν γῆν, * καὶ μετατίθεσθαι ὄρη ἐν καρδίαις θαλασσῶν.

Ἤχησαν, καὶ ἐταράχθησαν τὰ ὕδατα αὐτῶν, * ἐταράχθησαν τὰ ὄρη ἐν τῇ κραταιότητι αὐτοῦ.

Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ, * ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος. ***

Ὁ Θεὸς ἐν μέσῳ αὐτῆς, καὶ οὐ σαλευθήσεται, * βοηθήσει αὐτῇ ὁ Θεὸς τὸ πρὸς πρωῒ πρωΐ.

Ἐταράχθησαν ἔθνη, ἔκλιναν βασιλεῖαι * ἔδωκε φωνὴν αὐτοῦ ὁ Ὕψιστος, ἐσαλεύθη ἡ γῆ.

Κύριος τῶν δυνάμεων μεθ' ἡμῶν, * ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς Ἰακώβ.

Δεῦτε, καὶ ἴδετε τὰ ἔργα τοῦ Θεοῦ, * ἃ ἔθετο τέρατα ἐπὶ τῆς γῆς.

Ἀνταναιρῶν πολέμους μέχρι τῶν περάτων τῆς γῆς * τόξον συντρίψει, καὶ συνθλάσει ὅπλον, καὶ θυρεοὺς κατακαύσει ἐν πυρί.

Σχο-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Σχολάσατε, καὶ γνῶτε, ὅτι ἐγώ εἰμι ὁ Θεὸς, * ὑψωθήσομαι ἐν τοῖς ἔθνεσιν, ὑψωθήσομαι ἐν τῇ γῇ.
Κύριος τῶν δυνάμεων μεθ' ἡμῶν, * ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς Ἰακώβ. Δόξα καὶ νῦν, Ἀλλ. ἀλλ.

# ΚΑΘΙΣΜΑ ΕΚΤΟΝ

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

# ΤΗΣ Δ'. ΤΗΣ ΕΒΔΟΜΑΔΟΣ.

## ΠΡΩΤΟΝ ΜΕΝ

Ἐν τῇ μεγάλῃ μόνον λέγονται τὰ καθ. δύο, ἔξω δὲ αὐτῆς, κάθ. μόνον, ἀλλ' ἐν τοῖς ἤχοις

Α'. Γ'. ΠΛ. Α'. ΒΑΡ'.

Ψαλ. μϛ'. 46.

Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας, * ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως.
Ὅτι Κύριος ὕψιστος, φοβερὸς, * βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν.
Ὑπέταξε λαοὺς ἡμῖν, * καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν.
Ἐξελέξατο ἡμῖν τὴν κληρονομίαν ἑαυτοῦ, * τὴν καλλονὴν Ἰακὼβ, ἣν ἠγάπησεν.
Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, * Κύριος ἐν φωνῇ σάλπιγγος. ***
Ψάλατε τῷ Θεῷ ἡμῶν, ψάλατε, * ψάλατε τῷ Βασιλεῖ ἡμῶν, ψάλατε.

Ὅτι

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὅτι Βασιλεὺς πάσης τῆς γῆς ὁ Θεὸς, * ψάλατε συνετῶς.

Ἐβασίλευσεν ὁ Θεὸς ἐπὶ τὰ ἔθνη, * ὁ Θεὸς κάθηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ.

Ἄρχοντες λαῶν συνήχθησαν μετὰ τοῦ Θεοῦ Ἀβραάμ, * ὅτι τοῦ Θεοῦ οἱ κραταιοὶ τῆς γῆς σφόδρα ἐπήρθησαν.

Ψαλ. μζʹ. 47.

Μέγας Κύριος [1], καὶ αἰνετὸς σφόδρα, * [2] ἐν τῇ πόλει τοῦ Θεοῦ ἡμῶν ἐν ὄρει ἁγίῳ αὐτοῦ. * * * ✝

Εὐρίζω ἀγαλλιάματι πάσης τῆς γῆς, * ὄρη Σιὼν, τὰ πλευρὰ τοῦ βοῤῥᾶ, ἡ πόλις τοῦ βασιλέως τοῦ μεγάλου.

Ὁ Θεὸς ἐν ταῖς βάρεσιν αὐτῆς γινώσκεται, * ὅταν ἀντιλαμβάνηται αὐτῆς.

Ὅτι ἰδοὺ οἱ βασιλεῖς τῆς γῆς συνήχθησαν, * διήλθοσαν ἐπὶ τὸ αὐτό.

Αὐτοὶ ἰδόντες, οὕτως ἐθαύμασαν, * ἐταράχθησαν, ἐσαλεύθησαν, τρόμος ἐπελάβετο αὐτῶν.

Ἐκεῖ ὠδῖνες ὡς τικτούσης, * ἐν πνεύματι βιαίῳ συντρίψεις πλοῖα Θαρσεῖς.

Καθάπερ ἠκούσαμεν, οὕτως καὶ εἴδομεν ἐν πόλει Κυρίου τῶν δυνάμεων, ἐν πόλει τοῦ Θεοῦ ἡμῶν, * ὁ Θεὸς ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα.

Ὑπελάβομεν ὁ Θεὸς τὸ ἔλεός σου, * ἐν μέσῳ τοῦ λαοῦ σου.

Κατὰ τὸ ὄνομά σου ὁ Θεὸς, οὕτω, καὶ ἡ αἴνεσίς σου ἐπὶ

τὰ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

τὰ πέρατα τῆς γῆς, * δικαιοσύνης πλήρης ἡ δεξιά σου.

Εὐφρανθήτω ὄρος Σιὼν, * καὶ ἀγαλλιάσθωσαν αἱ θυγατέρες τῆς Ἰουδαίας ἕνεκεν τῶν κριμάτων σου Κύριε.

Κυκλώσατε Σιὼν, καὶ περιλάβετε αὐτὴν, * διηγήσασθε ἐν τοῖς πύργοις αὐτῆς.

Θέσθε τὰς καρδίας ὑμῶν εἰς τὴν δύναμιν αὐτῆς, * καὶ καταδιέλεσθε τὰς βάρεις αὐτῆς, ὅπως ἂν διηγήσησθε εἰς γενεὰν ἑτέραν.

Ὅτι οὗτός ἐστιν ὁ Θεὸς ἡμῶν εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα, τοῦ αἰῶνος * αὐτὸς ποιμανεῖ ἡμᾶς εἰς τοὺς αἰῶνας.

Ψαλ. μη΄. 48.

Ἀκούσατε [2] ταῦτα πάντα τὰ ἔθνη, * ἐνωτίσασθε † πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην.

Οἵ τε γηγενεῖς, καὶ υἱοὶ τῶν ἀνθρώπων, * ἐπὶ τὸ αὐτὸ πλούσιος, καὶ πένης.

Τὸ στόμα μου [1] λαλήσει σοφίαν, * καὶ ἡ μελέτη τῆς † καρδίας μου, σύνεσιν.

Κλινῶ εἰς παραβολὴν τὸ οὖς μου, * ἀνοίξω ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου.

Ἵνα τί φοβοῦμαι ἐν ἡμέρᾳ πονηρᾷ; * ἡ ἀνομία τῆς πτέρνης μου κυκλώσει με.

Οἱ πεποιθότες ἐπὶ τῇ δυνάμει αὐτῶν, * καὶ ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτῶν καυχώμενοι.

Ἀδελ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἀδελφὸς οὐ λυτροῦται, λυτρώσεται ἄνθρωπος, * οὐ δώσει τῷ Θεῷ ἐξίλασμα ἑαυτοῦ.

Καὶ τὴν τιμὴν τῆς λυτρώσεως τῆς ψυχῆς αὐτοῦ, * καὶ ἐκοπίασεν εἰς τὸν αἰῶνα, καὶ ζήσεται εἰς τέλος.

Οὐκ ὄψεται καταφθοράν, ὅταν ἴδῃ σοφοὺς ἀποθνήσκοντας, * ἐπὶ τὸ αὐτὸ ἄφρων, καὶ ἄνους ἀπολοῦνται.

Καὶ καταλείψουσιν ἀλλοτρίοις τὸν πλοῦτον αὐτῶν, * καὶ οἱ τάφοι αὐτῶν οἰκίαι αὐτῶν εἰς τὸν αἰῶνα.

Σκηνώματα αὐτῶν εἰς γενεὰν, καὶ γενεάν· * ἐπεκαλέσαντο τὰ ὀνόματα αὐτῶν ἐπὶ τῶν γαιῶν αὐτῶν.

Καὶ ἄνθρωπος ἐν τιμῇ ὢν, οὐ συνῆκε, * παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς.

Αὕτη ἡ ὁδὸς αὐτῶν σκάνδαλον αὐτοῖς, * καὶ μετὰ ταῦτα ἐν τῷ στόματι αὐτῶν εὐδοκήσουσιν.

Ὡς πρόβατα ἐν ᾅδῃ ἔθεντο, * θάνατος ποιμανεῖ αὐτούς.

Καὶ κατακυριεύσουσιν αὐτῶν οἱ εὐθεῖς τὸ πρωΐ, καὶ ἡ βοήθεια αὐτῶν παλαιωθήσεται ἐν τῷ ᾅδῃ, * ἐκ τῆς δόξης αὐτῶν ἐξώσθησαν.

Πλὴν ὁ Θεὸς λυτρώσεται τὴν ψυχήν μου ἐκ χειρὸς ᾅδου, * ὅταν λαμβάνῃ με.

Μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος, * ἢ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ.

Ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν, λήψεται τὰ πάντα, * οὐδὲ συγκαταβήσεται αὐτῷ ἡ δόξα αὐτοῦ.

Ὅτι

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὅτι ἡ ψυχὴ αὐτοῦ ἐν τῇ ζωῇ αὐτοῦ εὐλογηθήσεται, * ἐξομολογήσεταί σοι, ὅταν ἀγαθύνῃς αὐτῷ.

Εἰσελεύσεται ἕως γενεᾶς πατέρων αὐτοῦ, * ἕως αἰῶνος οὐκ ὄψεται φῶς.

Καὶ ἄνθρωπος ἐν τιμῇ ὢν, οὐ συνῆκε, * παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς.

Δόξα καὶ νῦν. Ἀλλ. ἀλλ. ἀλλ. Δόξα σοὶ ὁ Θεὸς γ'.

Ψαλ. μθ'. 49.

Θεὸς [2] θεῶν Κύριος ἐλάλησε, * καὶ ἐκάλεσε τὴν γῆν.

Ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν, * ἐκ Σιὼν ἡ εὐπρέπεια τῆς ὡραιότητος αὐτοῦ.

Ὁ Θεὸς ἐμφανῶς ἥξει, * ὁ Θεὸς ἡμῶν, καὶ οὐ παρασιωπήσεται.

Πῦρ ἐνώπιον αὐτοῦ καυθήσεται, * καὶ κύκλῳ αὐτοῦ καταιγὶς σφόδρα.

Προσκαλέσεται τὸν οὐρανὸν ἄνω, καὶ τὴν γῆν, * τοῦ διακρῖναι τὸν λαὸν αὐτοῦ.

Συναγάγετε αὐτῷ τοὺς ὁσίους αὐτοῦ, * τοὺς διατιθεμένους, τὴν διαθήκην αὐτοῦ ἐπὶ θυσίαις.

Καὶ ἀναγγελοῦσιν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ, * ὅτι ὁ Θεὸς κριτής ἐστιν.

Ἄκουσον λαός μου, καὶ λαλήσω σοι, Ἰσραὴλ καὶ διαμαρτύρομαί σοι, * ὁ Θεὸς ὁ Θεός σου εἰμὶ ἐγώ.

Οὐκ ἐπὶ ταῖς θυσίαις σου ἐλέγξω σε, * τὰ δὲ ὁλοκαυτώματά σου ἐνώπιόν μου ἐστὶ διαπαντός.

Οὐ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους, * οὐδὲ ἐκ τῶν ποιμνίων σου χιμάρους.

Ὅτι ἐμά ἐστι πάντα τὰ θηρία τοῦ ἀγροῦ, * κτήνη ἐν τοῖς ὄρεσι, καὶ βόες.

Ἔγνωκα πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, * καὶ ὡραιότης ἀγροῦ μετ' ἐμοῦ ἐστίν.

Ἐὰν πεινάσω, οὐ μή σοι εἴπω, * ἐμὴ γάρ ἐστιν ἡ οἰκουμένη, καὶ τὸ πλήρωμα αὐτῆς.

Μὴ φάγομαι κρέα ταύρων, * ἢ αἷμα τράγων πίομαι;

Θῦσον [1] τῷ Θεῷ θυσίαν αἰνέσεως, * καὶ ἀπόδος τῷ Ὑψίστῳ τὰς εὐχάς σου.

Καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεώς σου, * καὶ ἐξελοῦμαί σε, καὶ δοξάσεις με.

Τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ Θεός, * ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου, * καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου;

Σὺ δὲ ἐμίσησας παιδείαν, * καὶ ἐξέβαλες τοὺς λόγους μου εἰς τὰ ὀπίσω.

Εἰ ἐθεώρεις κλέπτην, συνέτρεχες αὐτῷ, * καὶ μετὰ μοιχοῦ τὴν μερίδα σου ἐτίθεις.

Τὸ στόμα σου ἐπλεόνασε κακίαν, * καὶ ἡ γλῶσσά σου περιέπλεκε δολιότητας.

Καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις, * καὶ κατὰ τοῦ υἱοῦ τῆς μητρός σου ἐτίθεις σκάνδαλον, ταῦτα ἐποίησας, καὶ ἐσίγησα.

Ὑπέλαβες ἀνομίαν, ὅτι ἔσομαί σοι ὅμοιος, * ἐλέγ-



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ξω σὲ, καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς ἁμαρτίας σου.

Συνέτε δὴ ταῦτα οἱ ἐπιλανθανόμενοι τοῦ Θεοῦ, * μήποτε ἁρπάσῃ, καὶ οὐ μὴ ᾖ ὁ ῥυόμενος.

Θυσία αἰνέσεως δοξάσει με, * καὶ ἐκεῖ ὁδὸς ᾗ δείξω αὐτῷ τὸ σωτήριόν μου.

Ψαλ. ν΄. 50.

Ελέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα. λέλεκτ. εἰς τὴν τρίτ. ὥρ. φύλ. 137.

Ψαλ. να΄. 51.

Τι ἐγκαυχᾷ ἐν κακίᾳ ὁ δυνατὸς ἀνομίαν; * † ὅλην τὴν ἡμέραν ἀδικίαν ἐλογίσατο ἡ γλῶσσά σου.

Ὡσεὶ ξυρὸν ἠκονημένον ἐποίησας δόλον, * ἠγάπησας κακίαν ὑπὲρ ἀγαθωσύνην, ἀδικίαν ὑπὲρ τὸ λαλῆσαι δικαιοσύνην.

Ἠγάπησας πάντα τὰ ῥήματα καταποντισμοῦ, * γλῶσσαν δολίαν.

Διὰ τοῦτο ὁ Θεὸς καθέλοι σε εἰς τέλος, * ἐκτίλαι σε, καὶ μεταναστεύσαι σε ἀπὸ σκηνώματός σου, καὶ τὸ ῥίζωμά σου ἐκ γῆς ζώντων.

Ὄψονται δίκαιοι, καὶ φοβηθήσονται, * καὶ ἐπ᾽ αὐτὸν γελάσονται, καὶ ἐροῦσιν.

Ἰδοὺ ἄνθρωπος, ὃς οὐκ ἔθετο τὸν Θεὸν βοηθὸν αὐτοῦ, * ἀλλ᾽ ἐπήλπισεν ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτοῦ, καὶ ἐνεδυναμώθη ἐπὶ τῇ ματαιότητι αὐτοῦ.

Ἐγὼ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἐγὼ δὲ, ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, [1] * ἤλπισα ἐπὶ τὸ ἔλεος τοῦ Θεοῦ εἰς τὸν ✝ αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ἐξομολογήσομαί σοι εἰς τὸν αἰῶνα, ὅτι ἐποίησας, * καὶ ὑπομενῶ τὸ ὄνομά σου, ὅτι χρηστὸν ἐναντίον τῶν ὁσίων σου.

Ψαλ. νβ'. 52.

Εἶπεν [2] ἄφρων ἐν καρδίᾳ αὐτοῦ, * οὐκ ἔστι Θεός. ✝

Διεφθάρησαν, καὶ ἐβδελύχθησαν ἐν ἀνομίαις, * οὐκ ἔστι ποιῶν ἀγαθόν.

Ὁ Θεὸς ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων,* τοῦ ἰδεῖν, εἰ ἔστι συνιῶν, ἢ ἐκζητῶν τὸν Θεόν.

Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν, * οὐκ ἔστι ποιῶν ἀγαθὸν, οὐκ ἔστιν ἕως ἑνός.

Οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, * οἱ κατεσθίοντες τὸν λαόν μου ἐν βρώσει ἄρτου;

Τὸν Κύριον οὐκ ἐπεκαλέσαντο, * ἐκεῖ ἐφοβήθησαν φόβον, οὗ οὐκ ἦν φόβος.

Ὅτι ὁ Θεὸς διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων, * κατῃσχύνθησαν, ὅτι ὁ Θεὸς ἐξουδένωσεν αὐτούς.

Τίς δώσει ἐκ Σιὼν τὸ σωτήριον τοῦ Ἰσραήλ; [1] ἐν ✝ τῷ ἐπιστρέψαι τὸν Θεὸν τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ, * ἀγαλλιάσεται Ἰακὼβ, καὶ εὐφρανθήσεται Ἰσραήλ. Δόξα καὶ νῦν. Ἀλλ. ἀλλ.

Ψαλ. νγ'. 53.

Ὁ Θεὸς ἐν τῷ ὀνόματί σου. λέλεκτ. εἰς τὴν ἐκτ. ὥραν φύλ. 141.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ψαλ. νδ΄. 54.

Ἐνώπισαι ὁ Θεὸς τὴν δέησ. λελεκτ. εἰς τὴν ἕκτω ὥραν φύλ. 141.

Ψαλ. νε΄. 55.

Ἐλέησόν με [1] ὁ Θεὸς, ὅτι κατεπάτησέ με ἄνθρωπος, * ὅλην τὴν ἡμέραν πολεμῶν ἔθλιψέ με. ✝

Κατεπάτησάν με [2] οἱ ἐχθροί μου ὅλην τὴν ἡμέραν, * ὅτι πολλοὶ οἱ πολεμοῦντές με. ✝

Ἀπὸ ὕψους ἡμέρας οὐ φοβηθήσομαι, * ἐγὼ δὲ ἐλπιῶ ἐπὶ σέ.

Ἐν τῷ Θεῷ ἐπαινέσω τοὺς λόγους μου, * ἐπὶ τῷ Θεῷ ἤλπισα, οὐ φοβηθήσομαι, τί ποιήσει μοι σάρξ. ✝

Ὅλην τὴν ἡμέραν τοὺς λόγους μου ἐβδελύσσοντο, κατ᾽ ἐμοῦ πάντες οἱ διαλογισμοὶ αὐτῶν εἰς κακόν.

Παροικήσουσι, καὶ κατακρύψουσιν, * αὐτοὶ τὴν πτέρναν μου φυλάξουσι.

Καθάπερ ὑπέμειναν τὴν ψυχήν μου, * ὑπὲρ τοῦ μηθενὸς σώσεις αὐτοὺς, ἐν ὀργῇ λαοὺς κατάξεις.

Ὁ Θεὸς τὴν ζωήν μου ἐξήγγειλά σοι, * ἔθου τὰ δάκρυά μου ἐνώπιόν σου.

Ὡς καὶ ἐν τῇ ἐπαγγελίᾳ σου, * ἐπιστρέψουσιν οἱ ἐχθροί μου εἰς τὰ ὀπίσω.

Ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε, * ἰδοὺ ἔγνων, ὅτι Θεός μου εἶ σύ.

Ἐπὶ τῷ Θεῷ αἰνέσω ῥῆμα, ἐπὶ τῷ Κυρίῳ αἰνέσω λόγον, * ἐπὶ τῷ Θεῷ ἤλπισα, οὐ φοβηθήσομαι, τί ποιήσει μοι ἄνθρωπος.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἐν ἐμοὶ ὁ Θεὸς εὐχαὶ, * ἃς ἀποδώσω αἰνέσεώς σου.

Ὅτι ἐῤῥύσω τὴν ψυχήν μου ἐκ θανάτου, * τοὺς ὀφθαλμούς μου ἀπὸ δακρύων, καὶ τοὺς πόδας μου ἀπὸ ὀλισθήματος.

Εὐαρεστήσω ἐνώπιον Κυρίου, * ἐν φωτὶ ζώντων.

Ψαλ. νϛʹ. 56.

Ἐλέησόν με [1] ὁ Θεὸς, ἐλέησόν με, * ὅτι ἐπὶ σοὶ † πέποιθεν ἡ ψυχή μου.

Καὶ [2] ἐν τῇ σκιᾷ τῶν πτερύγων σου ἐλπιῶ, * ἕως † οὗ παρέλθῃ ἡ ἀνομία.

Κεκράξομαι πρὸς τὸν Θεὸν τὸν Ὕψιστον, * τὸν Θεὸν τὸν εὐεργετήσαντά με.

Ἐξαπέστειλεν ἐξ οὐρανοῦ, καὶ ἔσωσέ με, * ἔδωκεν εἰς ὄνειδος τοὺς καταπατοῦντάς με.

Ἐξαπέστειλεν ὁ Θεὸς τὸ ἔλεος αὐτοῦ, καὶ τὴν ἀλήθειαν αὐτοῦ, * καὶ ἐῤῥύσατο τὴν ψυχήν μου ἐκ μέσου σκύμνων, ἐκοιμήθην τεταραγμένος.

Υἱοὶ ἀνθρώπων οἱ ὀδόντες αὐτῶν ὅπλα, καὶ βέλη, * καὶ ἡ γλῶσσα αὐτῶν μάχαιρα ὀξεῖα.

Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ Θεὸς, * καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου. * * *

Παγίδα ἡτοίμασαν τοῖς ποσί μου, * καὶ κατέκαμψαν τὴν ψυχήν μου.

Ὤρυξαν πρὸ προσώπου μου βόθρον, * καὶ ἐνέπεσον εἰς αὐτόν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἑτοίμη ἡ καρδία μου ὁ Θεὸς, * ἑτοίμη ἡ καρδία μου, ᾄσομαι, καὶ ψαλῶ ἐν τῇ δόξῃ μου.

Ἐξεγέρθητι ἡ δόξα μου, ἐξεγέρθητι ψαλτήριον, καὶ κιθάρα, * ἐξεγερθήσομαι ὄρθρου.

Ἐξομολογήσομαί σοι ἐν λαοῖς Κύριε, * ψαλῶ σοι ἐν ἔθνεσιν.

Ὅτι ἐμεγαλύνθη ἕως τῶν οὐρανῶν τὸ ἔλεός σου, * καὶ ἕως τῶν νεφελῶν ἡ ἀλήθειά σου.

Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ Θεὸς, * καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.

Ψαλ. νζ΄. 57.

Εἰ ἀληθῶς ἄρα δικαιοσύνην λαλεῖτε, * εὐθείας κρίνατε υἱοὶ τῶν ἀνθρώπων.

Καὶ γὰρ ἐν καρδίᾳ ἀνομίαν ἐργάζεσθε ἐν τῇ γῇ, * ἀδικίαν αἱ χεῖρες ὑμῶν συμπλέκουσιν.

Ἀπηλλοτριώθησαν οἱ ἁμαρτωλοὶ ἀπὸ μήτρας, * ἐπλανήθησαν ἀπὸ γαστρὸς, ἐλάλησαν ψευδῆ.

Θυμὸς αὐτοῖς κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως, * ὡσεὶ ἀσπίδος κωφῆς, καὶ βυούσης τὰ ὦτα αὐτῆς.

Ἥτις οὐκ εἰσακούσεται φωνῆς ἐπᾳδόντων, * φαρμακοῦ τε φαρμακευομένου παρὰ σοφοῦ.

Ὁ Θεὸς συντρίψει τοὺς ὀδόντας αὐτῶν ἐν τῷ στόματι αὐτῶν, * τὰς μύλας τῶν λεόντων συνέθλασεν ὁ Κύριος.

Ἐξουδενωθήσονται ὡσεὶ ὕδωρ διαπορευόμενον, * ἐντενεῖ τὸ τόξον αὐτοῦ, ἕως οὗ ἀσθενήσουσιν.

Ὡσεὶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὡσεὶ κηρὸς τακεὶς ἀνταναιρεθήσονται, * ἔπεσε πῦρ ἐπ᾽ αὐτοὺς, καὶ οὐκ εἶδον τὸν ἥλιον.

Πρὸ τοῦ συνιέναι τὰς ἀκάνθας ὑμῶν τὴν ῥάμνον, * ὡσεὶ ζῶντας, ὡσεὶ ἐν ὀργῇ καταπίεται αὐτούς.

Εὐφρανθήσεται [1] δίκαιος, ὅταν ἴδῃ ἐκδίκησιν, * τὰς χεῖρας αὐτοῦ νίψεται ἐν τῷ αἵματι τοῦ ἁμαρτωλοῦ.

Καὶ ἐρεῖ ἄνθρωπος, εἰ ἄρα ἐστὶ καρπὸς τῷ δικαίῳ; * ἄρα ἐστὶν ὁ Θεὸς κρίνων αὐτοὺς ἐν τῇ γῇ.

Δόξα καὶ νῦν, Ἀλλ. ἀλλ. ἀλλ. Δόξα σοι ὁ Θεὸς γ΄.

## ΚΑΘΙΣΜΑ ΕΒΔΟΜΟΝ
### ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ
# ΤΗΣ ΑΥΤΗΣ Δ΄. ΤΗΣ ΕΒΔ.
### ΔΕΥΤΕΡΟΝ ΜΕΝ

Ἐν τῇ μεγαλ. μ΄. ὅπου λέγονται τὰ κάθ. δύο, ἔξω δὲ αὐτῆς, κάθισμα μόνον, ἐν τοῖς ἤχοις.

Β΄. Δ΄. ΠΛ. Β΄. ΠΛ. Δ΄.

Ψαλ. νη΄. 58.

Ἐξελοῦ με [2] ἐκ τῶν ἐχθρῶν μου ὁ Θεὸς, * καὶ ἐκ τῶν ἐπανισταμένων ἐπ᾽ ἐμὲ λύτρωσαί με.

Ῥῦσαί με ἐκ τῶν ἐργαζομένων τὴν ἀνομίαν, * καὶ ἐξ ἀνδρῶν αἱμάτων σῶσόν με.

Ὅτι ἰδοὺ ἐθήρευσαν τὴν ψυχήν μου, * ἐπέθεντο ἐπ᾽ ἐμὲ κραταιοί.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Οὔτε ἡ ἀνομία μου, οὔτε ἡ ἁμαρτία μου Κύριε, *
ἄνευ ἀνομίας ἔδραμον, καὶ κατεύθυνα.

Ἐξεγέρθητι εἰς συνάντησίν μου, καὶ ἴδε, * καὶ σὺ Κύριε
ὁ Θεὸς τῶν δυνάμεων ὁ Θεὸς τοῦ Ἰσραήλ.

Πρόσχες τοῦ ἐπισκέψασθαι πάντα τὰ ἔθνη, * μὴ
οἰκτειρήσῃς πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν.

Ἐπιστρέψουσιν εἰς ἑσπέραν, καὶ λιμώξουσιν ὡς κύων, *
καὶ κυκλώσουσι πόλιν.

Ἴδε αὐτοὶ ἀποφθέγξονται ἐν τῷ στόματι αὐτῶν, * καὶ
ῥομφαία ἐν τοῖς χείλεσιν αὐτῶν, ὅτι τίς ἤκουσε;

Καὶ σὺ Κύριε ἐκγελάσεις αὐτούς, * ἐξουδενώσεις
πάντα τὰ ἔθνη.

Τὸ κράτος μου πρὸς σὲ φυλάξω, ὅτι σὺ ὁ Θεὸς
ἀντιλήπτωρ μου εἶ, * ὁ Θεός μου τὸ ἔλεος αὐτοῦ προ-
φθάσει με.

Ὁ Θεός μου δείξει μοι ἐν τοῖς ἐχθροῖς μου, μὴ
ἀποκτείνῃς αὐτούς, * μήποτε ἐπιλάθωνται τοῦ νόμου
σου.

Διασκόρπισον αὐτοὺς ἐν τῇ δυνάμει σου, * καὶ κατά-
γαγε αὐτοὺς ὁ ὑπερασπιστής μου Κύριε. *

Ἁμαρτία στόματος αὐτῶν λόγος χειλέων αὐτῶν,
καὶ συλληφθήτωσαν ἐν τῇ ὑπερηφανίᾳ αὐτῶν.

Καὶ ἐξ ἀρᾶς, καὶ ψεύδους διαγγελήσονται ἐν συντε-
λείᾳ, * ἐν ὀργῇ συντελείας, καὶ οὐ μὴ ὑπάρξωσι. *

Καὶ γνώσονται, ὅτι ὁ Θεὸς δεσπόζει τοῦ Ἰακώβ,
καὶ τῶν περάτων τῆς γῆς.

Ἐπι-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου -
Μουσείο Τυπάλδων Ιακωβάτων

Ἐπιστρέψουσιν εἰς ἑσπέραν, * καὶ λιμώξουσιν ὡς κύων, καὶ κυκλώσουσι πόλιν.

Αὐτοὶ διασκορπισθήσονται τοῦ φαγεῖν, * ἐὰν δὲ μὴ χορτασθῶσι, καὶ γογγύσουσιν. ***

Ἐγὼ δὲ ᾄσομαι τῇ δυνάμει σου, * καὶ ἀγαλλιάσομαι τὸ πρωῒ τὸ ἔλεός σου.

Ὅτι ἐγενήθης ἀντιλήπτωρ μου, καὶ καταφυγή μου, * ἐν ἡμέρᾳ θλίψεώς μου.

Βοηθός μου εἶ, σοὶ ψαλῶ, [1] * ὅτι σὺ ὁ Θεὸς ἀντιλήπτωρ μου εἶ, ὁ Θεός μου τὸ ἔλεός μου.

Ψαλ. νθ΄. 59.

Ὁ Θεὸς [2] ἀπώσω ἡμᾶς, καὶ καθεῖλες ἡμᾶς, * ὠργίσθης, καὶ ᾠκτείρησας ἡμᾶς.

Συνέσεισας τὴν γῆν, καὶ συνετάραξας αὐτήν, * ἴασαι τὰ συντρίμματα αὐτῆς, ὅτι ἐσαλεύθη.

Ἔδειξας τῷ λαῷ σου σκληρά, * ἐπότισας ἡμᾶς οἶνον κατανύξεως.

Ἔδωκας τοῖς φοβουμένοις σε σημείωσιν, * τοῦ φυγεῖν ἀπὸ προσώπου τόξου.

Ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σου. * σῶσον τῇ δεξιᾷ σου, καὶ ἐπάκουσόν μου.

Ὁ Θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ, ἀγαλλιάσομαι, καὶ διαμεριῶ Σίκιμα, * καὶ τὴν κοιλάδα τῶν σκηνῶν διαμετρήσω.

Ἐμός ἐστι Γαλαάδ, καὶ ἐμός ἐστι Μανασσῆς, * καὶ Ἐφραῒμ κραταίωσις τῆς κεφαλῆς μου.

Ἰούδας

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἰούδας βασιλεύς μου, * Μωὰβ λέβης τῆς ἐλπίδος μου.

Ἐπὶ τὴν Ἰδουμαίαν ἐκτενῶ τὸ ὑπόδημά μου, * ἐμοὶ ἀλλόφυλοι ὑπετάγησαν.

Τίς ἀπάξει με εἰς πόλιν περιοχῆς; * ἢ τίς ὁδηγήσει με ἕως τῆς Ἰδουμαίας;

Οὐχὶ σὺ ὁ Θεὸς ὁ ἀπωσάμενος ἡμᾶς, * καὶ οὐκ ἐξελεύσῃ ὁ Θεὸς ἐν ταῖς δυνάμεσιν ἡμῶν.

Δὸς ἡμῖν [1] βοήθειαν ἐκ θλίψεως, * καὶ ματαία † σωτηρία ἀνθρώπου.

Ἐν τῷ Θεῷ ποιήσομεν δύναμιν, * καὶ αὐτὸς ἐξουδενώσει τοὺς θλίβοντας ἡμᾶς.

Ψαλ. ξ΄. 60.

Εἰσάκουσον [1] ὁ Θεὸς τῆς δεήσεώς μου, * [2] πρόσχες † τῇ προσευχῇ μου. †

Ἀπὸ τῶν περάτων τῆς γῆς πρὸς σὲ ἐκέκραξα, * ἐν τῷ ἀκηδιάσαι τὴν καρδίαν μου, ἐν πέτρᾳ ὕψωσάς με.

Ὡδήγησάς με, ὅτι ἐγενήθης ἐλπίς μου, * πύργος ἰσχύος ἀπὸ προσώπου ἐχθροῦ.

Παροικήσω ἐν τῷ σκηνώματί σου εἰς τοὺς αἰῶνας, * σκεπασθήσομαι ἐν τῇ σκέπῃ τῶν πτερύγων σου.

Ὅτι σὺ ὁ Θεός εἰσήκουσας τῶν εὐχῶν μου, * ἔδωκας κληρονομίαν τοῖς φοβουμένοις τὸ ὄνομά σου.

Ἡμέρας ἐφ' ἡμέρας τοῦ βασιλέως προσθήσεις, * τὰ ἔτη αὐτοῦ ἕως ἡμέρας γενεᾶς, καὶ γενεᾶς. ***

Διαμενεῖ εἰς τὸν αἰῶνα ἐνώπιον τοῦ Θεοῦ, * ἔλεος, καὶ ἀλήθειαν αὐτοῦ τίς ἐκζητήσει;

Οὕτως

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου -
Μουσείο Τυπάλδων Ιακωβάτων

Οὕτως ψαλῶ τῷ ὀνόματί σου εἰς τοὺς αἰῶνας, * τοῦ ἀποδοῦναί με τὰς εὐχάς μου ἡμέραν ἐξ ἡμέρας.

Δόξα καὶ νῦν, Ἀλλ. ἀλλ. ἀλλ. Δόξα σοὶ ὁ Θεὸς γ'.

Ψαλ. ξα'. 61.

Οὐχὶ [2] τῷ Θεῷ ὑποταγήσεται ἡ ψυχή μου; * † παρ' αὐτῷ γὰρ τὸ σωτήριόν μου.

Καὶ γὰρ αὐτὸς Θεός μου, καὶ Σωτήρ μου, * ἀντιλήπτωρ μου, οὐ μὴ σαλευθῶ ἐπὶ πλεῖον.

Ἕως πότε ἐπιτίθεσθε ἐπ' ἄνθρωπον; * φονεύετε πάντες ὑμεῖς, ὡς τοίχῳ κεκλιμένῳ, καὶ φραγμῷ ὠσμένῳ;

Πλὴν τὴν τιμήν μου ἐβουλεύσαντο ἀπώσασθαι, * ἔδραμον ἐν δίψῃ, τῷ στόματι αὐτῶν εὐλόγουν, καὶ τῇ καρδίᾳ αὐτῶν κατηρῶντο.

Πλὴν τῷ Θεῷ ὑποτάγηθι ἡ ψυχή μου, * ὅτι παρ' αὐτῷ ἡ ὑπομονή μου.

Ὅτι αὐτὸς Θεός μου, καὶ Σωτήρ μου, * ἀντιλήπτωρ μου, οὐ μὴ μεταναστεύσω.

Ἐπὶ τῷ Θεῷ [1] τὸ σωτήριόν μου, καὶ ἡ δόξα μου, * † ὁ Θεὸς τῆς βοηθείας μου, καὶ ἡ ἐλπίς μου ἐπὶ τῷ Θεῷ.

Ἐλπίσατε ἐπ' αὐτὸν πᾶσα συναγωγὴ λαοῦ, * ἐκχέατε ἐνώπιον αὐτοῦ τὰς καρδίας ὑμῶν, ὅτι ὁ Θεὸς βοηθὸς ἡμῶν.

Πλὴν μάταιοι οἱ υἱοὶ τῶν ἀνθρώπων, ψευδεῖς οἱ υἱοὶ τῶν ἀνθρώπων ἐν ζυγοῖς τοῦ ἀδικῆσαι, * αὐτοὶ ἐκ ματαιότητος ἐπὶ τὸ αὐτό.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Μ ὴ ἐλπίζετε ἐπ' ἀδικίαν, καὶ ἐπὶ ἅρπαγμα μὴ ἐπιποθεῖτε, * πλοῦτος ἐὰν ῥέῃ μὴ προστίθεσθε καρδίαν.

Ἅ παξ ἐλάλησεν ὁ Θεὸς, δύο ταῦτα ἤκουσα, * ὅτι τὸ κράτος τοῦ Θεοῦ, καὶ σοῦ Κύριε τὸ ἔλεος.

Ὅ τι σὺ ἀποδώσεις ἑκάστῳ * κατὰ τὰ ἔργα αὐτοῦ.

Ψαλ. ξβ'. 62.

Ὁ Θεὸς ὁ Θεός μου πρὸς σὲ ὀρθρίζω. λέλεκτ. εἰς τ ὄρθ. φύλ. 4.

Ψαλ. ξγ'. 63.

Ε ἰσάκουσον [1] ὁ Θεὸς φωνῆς μου, ἐν τῷ δέεσθαί † με πρός σέ * [2] ἀπὸ φόβου ἐχθροῦ ἐξελοῦ τ ψυ- † χήν μου.

Σ κέπασόν με ἀπὸ συστροφῆς πονηρευομένων, * ἀπὸ πλήθους ἐργαζομένων ἀδικίαν.

Ο ἵτινες ἠκόνησαν ὡς ῥομφαίαν τὰς γλώσσας αὐτῶν, * ἐνέτειναν τόξον αὐτῶν πρᾶγμα πικρὸν, τοῦ κατατοξεῦσαι ἐν ἀποκρύφοις ἄμωμον.

Ἐ ξάπινα κατατοξεύσουσιν αὐτὸν, καὶ οὐ φοβηθήσονται, * ἐκραταίωσαν ἑαυτοῖς λόγον πονηρόν.

Δ ιηγήσαντο τοῦ κρύψαι παγίδα, * εἶπον, τίς ὄψεται αὐτούς;

Ε ξηρεύνησαν ἀνομίαν, * ἐξέλιπον ἐξερευνῶντες ἐξερευνήσεις.

Π ροσελεύσεται ἄνθρωπος, καὶ καρδία βαθεῖα, * καὶ ὑψωθήσεται ὁ Θεός.

Βέλος

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου -
Μουσείο Τυπάλδων Ιακωβάτων

Βέλος νηπίων ἐγενήθησαν αἱ πληγαὶ αὐτῶν, * καὶ ἐξηθένησαν ἐπ' αὐτοὺς αἱ γλῶσσαι αὐτῶν.

Ἐταράχθησαν πάντες οἱ θεωροῦντες αὐτούς, * καὶ ἐφοβήθη πᾶς ἄνθρωπος.

Καὶ ἀνήγγειλαν τὰ ἔργα τοῦ Θεοῦ, * καὶ τὰ ποιήματα αὐτοῦ συνῆκαν.

Εὐφρανθήσεται δίκαιος ἐν τῷ Κυρίῳ, * καὶ ἐλπιεῖ ἐπ' αὐτόν, καὶ ἐπαινεσθήσονται πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.

### Ψαλ. ξδ'. 64.

Σοὶ [2] πρέπει ὕμνος ὁ Θεὸς ἐν Σιών, * καὶ σοὶ ἀπο- ✝
δοθήσεται εὐχὴ ἐν Ἱερουσαλήμ.

Εἰσάκουσον προσευχῆς μου, * πρὸς σὲ πᾶσα σὰρξ ἥξει.

Λόγοι ἀνόμων ὑπερεδυνάμωσαν ἡμᾶς, * καὶ ταῖς ἀσεβείαις ἡμῶν σὺ ἱλάσῃ.

Μακάριος, ὃν ἐξελέξω, καὶ προσελάβου, * κατασκηνώσει ἐν ταῖς αὐλαῖς σου.

Πλησθησόμεθα ἐν τοῖς ἀγαθοῖς τοῦ οἴκου σου, * ἅγιος ὁ ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ.

Ἐπάκουσον [1] ἡμῶν ὁ Θεός, ὁ σωτὴρ ἡμῶν, * ἡ ἐλ- ✝
πὶς πάντων τῶν περάτων τῆς γῆς, καὶ τῶν ἐν θαλάσσῃ μακράν.

Ἑτοιμάζων ὄρη ἐν τῇ ἰσχύϊ αὐτοῦ, περιεζωσμένος ἐν δυναστείᾳ, * ὁ συνταράσσων τὸ κύτος τῆς θαλάσσης, ἤχους κυμάτων αὐτῆς τίς ὑποστήσεται;

Τα-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ταραχθήσονται τὰ ἔθνη, καὶ φοβηθήσονται οἱ κατοικοῦντες τὰ πέρατα ἀπὸ τῶν σημείων σου, * ἐξόδους πρωΐας, καὶ ἑσπέρας τέρψεις.

Ἐπεσκέψω τὴν γῆν, * καὶ ἐμέθυσας αὐτήν, ἐπλήθυνας τοῦ πλουτίσαι αὐτήν.

Ὁ ποταμὸς τοῦ Θεοῦ ἐπληρώθη ὑδάτων, * ἡτοίμασας τὴν τροφὴν αὐτῶν, ὅτι οὕτως ἡ ἑτοιμασία.

Τὰς αὔλακας αὐτῆς μέθυσον, πλήθυνον τὰ γεννήματα αὐτῆς, * ἐν ταῖς σταγόσιν αὐτῆς εὐφρανθήσεται ἀνατέλλουσα.

Εὐλογήσεις τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου, * καὶ τὰ πεδία σου πλησθήσονται πιότητος. * * *

Πιανθήσονται τὰ ὡραῖα τῆς ἐρήμου, * καὶ ἀγαλλίασιν οἱ βουνοὶ περιζώσονται.

Ἐνεδύσαντο οἱ κριοὶ τῶν προβάτων, καὶ αἱ κοιλάδες πληθυνοῦσι σῖτον, * κεκράξονται, καὶ γὰρ ὑμνήσουσιν.

Δόξα καὶ νῦν. Ἀλλ. ἀλλ.

Ψαλ. ξέ. 65.

Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ, * ψάλατε δὴ τῷ ὀνόματι αὐτοῦ, δότε δόξαν αἰνέσει αὐτοῦ.

Εἴπατε τῷ Θεῷ, ὡς φοβερὰ τὰ ἔργα σου, * ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονταί σε οἱ ἐχθροί σου.

Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι, καὶ ψαλάτωσάν σοι, * ψαλάτωσαν δὴ τῷ ὀνόματί σου Ὕψιστε.

Δεῦτε, καὶ ἴδετε τὰ ἔργα τοῦ Θεοῦ, * ὡς φοβερὸς ἐν βουλαῖς ὑπὲρ τοὺς υἱοὺς τῶν ἀνθρώπων.

Ὁ με-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὁ μεταστρέφων τὴν θάλασσαν εἰς ξηράν, * ἐν ποταμῷ διελεύσονται ποδί, ἐκεῖ εὐφρανθησόμεθα ἐπ' αὐτῷ.

Τῷ δεσπόζοντι ἐν τῇ δυναστείᾳ αὐτοῦ τοῦ αἰῶνος, οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπὶ τὰ ἔθνη ἐπιβλέπουσιν, * οἱ παραπικραίνοντες μὴ ὑψούσθωσαν ἐν ἑαυτοῖς.

Εὐλογεῖτε [2] ἔθνη τὸν Θεὸν ἡμῶν, * καὶ ἀκουτίσατε τὴν φωνὴν τῆς αἰνέσεως αὐτοῦ.

Τοῦ θεμένου τὴν ψυχήν μου εἰς ζωήν, * καὶ μὴ δόντος εἰς σάλον τοὺς πόδας μου.

Ὅτι ἐδοκίμασας ἡμᾶς ὁ Θεὸς, * ἐπύρωσας ἡμᾶς ὡς πυροῦται τὸ ἀργύριον.

Εἰσήγαγες ἡμᾶς εἰς τὴν παγίδα, * ἔθου θλίψεις ἐπὶ τὸν νῶτον ἡμῶν.

Ἐπεβίβασας ἀνθρώπους ἐπὶ τὰς κεφαλὰς ἡμῶν, διήλθομεν διὰ πυρὸς, * καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν. ***

Εἰσελεύσομαι εἰς τὸν οἶκόν σου ἐν ὁλοκαυτώμασιν, * ἀποδώσω σοι τὰς εὐχάς μου, ἃς διέστειλε τὰ χείλη μου.

Καὶ ἐλάλησε τὸ στόμα μου * ἐν τῇ θλίψει μου.

Ὁλοκαυτώματα μεμυελωμένα ἀνοίσω σοι μετὰ θυμιάματος, καὶ κριῶν, * ἀνοίσω σοι βόας μετὰ χιμάρων.

Δεῦτε ἀκούσατε, καὶ διηγήσομαι ὑμῖν πάντες οἱ φοβούμενοι τὸν Θεὸν, * ὅσα ἐποίησε τῇ ψυχῇ μου.

Πρὸς αὐτὸν τῷ στόματί μου ἐκέκραξα, * καὶ ὕψωσα ὑπὸ τὴν γλῶσσάν μου.

Ἀδι-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἀδικίαν εἰ ἐθεώρουν ἐν καρδίᾳ μου, * μὴ εἰσακουσάτω μου Κύριος.

Διὰ τοῦτο εἰσήκουσέ μου ὁ Θεὸς, * πρόσεχε τῇ φωνῇ τῆς δεήσεώς μου.

Εὐλογητὸς [1] ὁ Θεὸς, ὃς οὐκ ἀπέστησε τὴν προσευχήν μου, * καὶ τὸ ἔλεος αὐτοῦ ἀπ᾽ ἐμοῦ. †

### Ψαλ. ξϛ΄. 66.

Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς. λέλεκτ. εἰς τὸ μηκρ. ἀπόδ. φύλ. 202.

### Ψαλ. ξζ΄. 67.

Ἀναστήτω ὁ Θεὸς, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, * καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν.

Ὡς ἐκλείπει καπνὸς ἐκλιπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρὸς, * οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ.

Καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν, * ἀγαλλιάσθωσαν ἐνώπιον τοῦ Θεοῦ, τερφθήτωσαν ἐν εὐφροσύνῃ.

Ἄσατε [1] τῷ Θεῷ, ψάλατε τῷ ὀνόματι αὐτοῦ, * [2] †
ὁδοποιήσατε τῷ ἐπιβεβηκότι ἐπὶ δυσμῶν, Κύριος †
ὄνομα αὐτῷ.

Καὶ ἀγαλλιᾶσθε ἐνώπιον αὐτοῦ, * ταραχθήτωσαν ἀπὸ προσώπου αὐτοῦ, τοῦ πατρὸς τῶν ὀρφανῶν, καὶ κριτοῦ τῶν χηρῶν.

Ὁ Θεὸς ἐν τόπῳ ἁγίῳ αὐτοῦ, * ὁ Θεὸς κατοικίζει μονοτρόπους ἐν οἴκῳ.

Ἐξά-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἐξάγων πεπεδημένους ἐν ἀνδρείᾳ, * ὁμοίως τοὺς παραπικραίνοντας τοὺς κατοικοῦντας ἐν τάφοις.

Ὁ Θεὸς ἐν τῷ ἐκπορεύεσθαί σε ἐνώπιον τοῦ λαοῦ σου, * ἐν τῷ διαβαίνειν σε ἐν τῇ ἐρήμῳ.

Γῆ ἐσείσθη, καὶ γὰρ οἱ οὐρανοὶ ἔσταξαν ἀπὸ προσώπου τοῦ Θεοῦ τοῦ Σινᾶ, * ἀπὸ προσώπου τοῦ Θεοῦ Ἰσραήλ.

Βροχὴν ἑκούσιον ἀφοριεῖς ὁ Θεὸς τῇ κληρονομίᾳ σου, * καὶ ἠσθένησε, σὺ δὲ κατηρτίσω αὐτήν.

Τὰ ζῶά σου κατοικοῦσιν ἐν αὐτῇ, * ἡτοίμασας ἐν τῇ χρηστότητί σου τῷ πτωχῷ ὁ Θεός.

Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις, * δυνάμει πολλῇ.

Ὁ Βασιλεὺς τῶν δυνάμεων τοῦ ἀγαπητοῦ, * τῇ ὡραιότητι τοῦ οἴκου διελέσθαι σκῦλα.

Ἐὰν κοιμηθῆτε ἀνὰ μέσον τῶν κλήρων, * πτέρυγες περιστερᾶς περιηργυρωμέναι, καὶ τὰ μετάφρενα αὐτῆς ἐν χλωρότητι χρυσίου.

Ἐν τῷ διαστέλλειν τὸν ἐπουράνιον βασιλεῖς ἐπ' αὐτῆς, * χιονωθήσονται ἐν Σελμών, ὄρος τοῦ Θεοῦ ὄρος πῖον.

Ὄρος τετυρωμένον, ὄρος πῖον, * ἵνα τί ὑπολαμβάνετε ὄρη τετυρωμένα.

Τὸ ὄρος, ὃ εὐδόκησεν ὁ Θεὸς κατοικεῖν ἐν αὐτῷ, * καὶ γὰρ ὁ Κύριος κατασκηνώσει εἰς τέλος.

Τὸ ἅρμα τοῦ Θεοῦ μυριοπλάσιον, χιλιάδες εὐθηνούντων, * Κύριος ἐν αὐτοῖς ἐν Σινᾷ ἐν τῷ ἁγίῳ.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἀνέβης εἰς ὕψος, ᾐχμαλώτευσας αἰχμαλωσίαν, * ἔλαβες δόματα ἐν ἀνθρώποις.

Καὶ γὰρ ἀπειθοῦντας τοῦ κατασκηνῶσαι, * Κύριος ὁ Θεὸς εὐλογητός.

Εὐλογητὸς Κύριος ἡμέραν καθ' ἡμέραν, * κατευοδώσαι ἡμῖν ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν.

Ὁ Θεὸς ἡμῶν, ὁ Θεὸς τοῦ σώζειν, * καὶ τοῦ Κυρίου Κυρίου αἱ διέξοδοι τοῦ θανάτου,

Πλὴν ὁ Θεὸς συνθλάσει κεφαλὰς ἐχθρῶν αὐτοῦ, * κορυφὴν τριχὸς διαπορευομένων ἐν πλημμελείαις αὐτῶν.

Εἶπε Κύριος ἐκ Βασὰν ἐπιστρέψω, * ἐπιστρέψω ἐν βυθοῖς θαλάσσης.

Ὅπως ἂν βαφῇ ὁ ποῦς σου ἐν αἵματι, * ἡ γλῶσσα τῶν κυνῶν σου ἐξ ἐχθρῶν παρ' αὐτοῦ.

Ἐθεωρήθησαν αἱ πορεῖαί σου ὁ Θεός, * αἱ πορεῖαι τοῦ Θεοῦ μου βασιλέως τοῦ ἐν τῷ ἁγίῳ.

Προέφθασαν ἄρχοντες ἐχόμενοι ψαλλόντων, * ἐν μέσῳ νεανίδων τυμπανιστριῶν.

Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, * Κύριον ἐκ πηγῶν Ἰσραήλ.

Ἐκεῖ Βενιαμὶν νεώτερος, * ἐν ἐκστάσει.

Ἄρχοντες Ἰούδα ἡγεμόνες αὐτῶν, * ἄρχοντες Ζαβουλών, ἄρχοντες Νεφθαλίμ.

Ἔντειλαι ὁ Θεὸς τῇ δυνάμει σου, * δυνάμωσον ὁ Θεὸς τοῦτο, ὃ κατειργάσω ἐν ἡμῖν.

Ἀπὸ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἀπὸ τοῦ ναοῦ σου ἐπὶ Ἱερουσαλήμ, * σοὶ οἴσουσι βασιλεῖς δῶρα.

Ἐπιτίμησον τοῖς θηρίοις τοῦ καλάμου, ἡ συναγωγὴ τῶν ταύρων ἐν ταῖς δαμάλεσι τῶν λαῶν, * τοῦ ἐκκλεισθῆναι τοὺς δεδοκιμασμένους τῷ ἀργυρίῳ.

Διασκόρπισον ἔθνη τὰ τοὺς πολέμους θέλοντα, * ἥξουσι πρέσβεις ἐξ Αἰγύπτου, * Αἰθιοπία προφθάσει χεῖρα αὐτῆς τῷ Θεῷ.

Αἱ βασιλεῖαι τῆς γῆς ᾄσατε τῷ Θεῷ, * ψάλατε τῷ Κυρίῳ.

Τῷ ἐπιβεβηκότι ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ κατὰ ἀνατολάς, * ἰδοὺ δώσει τῇ φωνῇ αὐτοῦ φωνὴν δυνάμεως.

Δότε δόξαν τῷ Θεῷ, ἐπὶ τὸν Ἰσραὴλ ἡ μεγαλοπρέπεια αὐτοῦ, * καὶ ἡ δύναμις αὐτοῦ ἐν ταῖς νεφέλαις.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ, ὁ Θεὸς Ἰσραήλ, * αὐτὸς δώσει δύναμιν, καὶ κραταίωσιν τῷ λαῷ αὐτοῦ, εὐλογητὸς ὁ Θεός.

Δόξα καὶ νῦν. Ἀλλ. ἀλλ.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

# ΚΑΘΙΣΜΑ ΟΓΔΟΟΝ

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

## ΤΗΣ Ε΄. ΤΗΣ ΕΒΔΟΜΑΔΟΣ

### ΠΡΩΤΟΝ ΜΕΝ

Ἐν τῇ μεγαλ. μ΄. ὅπε λέγονται τὰ κάθ. δύο, ἔξω δὲ αὐτῆς, κάθισμα μόνον, ἐν τοῖς ἤχοις Α΄. Γ΄. ΠΛ.Α΄. ΒΑΡ΄.

Ψαλ. ξη΄. 68.

ΣΩ͂σόν με ὁ Θεὸς, ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου, * ἐνεπάγην εἰς ἰλὺν βυθοῦ, καὶ οὐκ ἔστιν ὑπόστασις.

Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης, * καὶ καταιγὶς κατεπόντισέ με.

Ἐκοπίασα κράζων, ἐβραγχίασεν ὁ λάρυγξ μου, ἐξέλιπον οἱ ὀφθαλμοί μου ἀπὸ τοῦ ἐλπίζειν με ἐπὶ τὸν Θεόν μου. *

Ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου, οἱ μισοῦντές με δωρεάν.

Ἐκραταιώθησαν οἱ ἐχθροί μου, * οἱ ἐκδιώκοντές με ἀδίκως, ἃ οὐχ ἥρπαζον, τότε ἀπετίννυον.

Ὁ Θεὸς σὺ ἔγνως τὴν ἀφροσύνην μου, * καὶ αἱ πλημμέλειαί μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβησαν.

Μὴ αἰσχυνθείησαν ἐπ᾽ ἐμὲ οἱ ὑπομένοντές σε Κύριε, Κύριε

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Κύριε τῶν δυνάμεων, * μὴ δὲ ἐντραπείησαν ἐπ' ἐμὲ οἱ ζητοῦντές σε ὁ Θεὸς τοῦ Ἰσραήλ.

Ὅτι ἕνεκά σου ὑπήνεγκα ὀνειδισμὸν, * ἐκάλυψεν ἐντροπὴ τὸ πρόσωπόν μου.

Ἀπηλλοτριωμένος ἐγενήθην τοῖς ἀδελφοῖς μου, * καὶ ξένος τοῖς υἱοῖς τῆς μητρός μου.

Ὅτι ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με, * καὶ οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσον ἐπ' ἐμέ.

Καὶ συνεκάλυψα ἐν νηστείᾳ τὴν ψυχήν μου, * καὶ ἐγενήθη εἰς ὀνειδισμοὺς ἐμοί.

Καὶ ἐθέμην τὸ ἔνδυμά μου σάκκον, * καὶ ἐγενόμην αὐτοῖς εἰς παραβολήν.

Κατ' ἐμοῦ ἠδολέσχουν οἱ καθήμενοι ἐν πύλαις, * καὶ εἰς ἐμὲ ἔψαλλον οἱ πίνοντες οἶνον.

Ἐγὼ δὲ τῇ προσευχῇ μου πρὸς σὲ Κύριε, * καιρὸς εὐδοκίας.

Ὁ Θεὸς ἐν τῷ πλήθει τοῦ ἐλέους σου ἐπάκουσόν μου, * ἐν ἀληθείᾳ τῆς σωτηρίας σου σῶσόν με ἀπὸ πηλοῦ ἵνα μὴ ἐμπαγῶ.

Ῥυσθείην ἐκ τῶν μισούντων με, * καὶ ἐκ τῶν βαθέων τῶν ὑδάτων.

Μή με καταποντισάτω καταιγὶς ὕδατος, μὴ δὲ καταπιέτω με βυθὸς, * μὴ δὲ συσχέτω ἐπ' ἐμὲ φρέαρ τὸ στόμα αὐτοῦ.

Εἰσάκουσόν μου Κύριε, ὅτι χρηστὸν τὸ ἔλεός σου, * κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐπίβλεψον ἐπ' ἐμέ.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ τοῦ παιδός σου, * ὅτι θλίβομαι, ταχὺ ἐπάκουσόν μου.

Πρόσχες τῇ ψυχῇ μου, καὶ λύτρωσαι αὐτήν, * ἕνεκα τῶν ἐχθρῶν μου ῥῦσαί με.

Σὺ γὰρ γινώσκεις τὸν ὀνειδισμόν μου, καὶ τὴν αἰσχύνην μου, καὶ τὴν ἐντροπήν μου, * ἐναντίον σου πάντες οἱ θλίβοντές με.

Ὀνειδισμὸν προσεδόκησεν ἡ ψυχή μου, καὶ ταλαιπωρίαν, * καὶ ὑπέμεινα συλλυπούμενον, καὶ οὐχ ὑπῆρξε, καὶ παρακαλοῦντας, καὶ οὐχ εὗρον.

Καὶ ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν, * καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος.

Γενηθήτω ἡ τράπεζα αὐτῶν ἐνώπιον αὐτῶν, * εἰς παγίδα, καὶ εἰς ἀνταπόδοσιν, καὶ εἰς σκάνδαλον.

Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, * καὶ τὸν νῶτον αὐτῶν διαπαντὸς σύγκαμψον.

Ἔκχεον ἐπ' αὐτοὺς τὴν ὀργήν σου, * καὶ ὁ θυμὸς τῆς ὀργῆς σου καταλάβοι αὐτούς.

Γενηθήτω ἡ ἔπαυλις αὐτῶν ἠρημωμένη, * καὶ ἐν τοῖς σκηνώμασιν αὐτῶν μὴ ἔστω ὁ κατοικῶν.

Ὅτι ὃν σὺ ἐπάταξας, αὐτοὶ κατεδίωξαν, * καὶ ἐπὶ τὸ ἄλγος τῶν τραυμάτων μου προσέθηκαν.

Πρόσθες ἀνομίαν ἐπὶ τῇ ἀνομίᾳ αὐτῶν, * καὶ μὴ εἰσελθέτωσαν ἐν δικαιοσύνῃ σου.

Ἐξαλειφθήτωσαν ἐκ βίβλου ζώντων, * καὶ μετὰ δικαίων μὴ γραφήτωσαν.

Πτω-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Πτωχὸς, καὶ ἀλγῶν εἰμι ἐγὼ, * [1] ἡ σωτηρία σου †
ὁ Θεὸς ἀντιλάβοιτό μου.
Αἰνέσω τὸ ὄνομα τοῦ Θεοῦ μου μετ' ᾠδῆς, * μεγαλυνῶ
αὐτὸν ἐν αἰνέσει.
Καὶ ἀρέσει τῷ Θεῷ ὑπὲρ μόσχον νέον, * κέρατα ἐκ-
φέροντα, καὶ ὁπλάς.
Ἰδέτωσαν [2] πτωχοὶ, καὶ εὐφρανθήτωσαν, * ἐκζη- †
τήσατε τὸν Θεὸν, καὶ ζήσεται ἡ ψυχὴ ὑμῶν.
Ὅτι εἰσήκουσε τῶν πενήτων ὁ Κύριος, * καὶ τοὺς πε-
πεδημένους αὐτοῦ οὐκ ἐξουδένωσεν.
Αἰνεσάτωσαν αὐτὸν οἱ οὐρανοὶ, καὶ ἡ γῆ, * θάλασσα,
καὶ πάντα τὰ ἕρποντα ἐν αὐτῇ.
Ὅτι ὁ Θεὸς σώσει τὴν Σιὼν, * καὶ οἰκοδομηθήσονται
αἱ πόλεις τῆς Ἰουδαίας.
Καὶ κατοικήσουσιν ἐκεῖ, καὶ κληρονομήσουσιν αὐ-
τὴν, * καὶ τὸ σπέρμα τῶν δούλων σου καθέξουσιν αὐτήν.
καὶ οἱ ἀγαπῶντες τὸ ὄνομά σου κατασκηνώσουσιν
ἐν αὐτῇ.

Ψαλ. ξθ'. 69.

Ὁ Θεὸς εἰς τὴν βοήθειάν μου. λέλεκτ. εἰς τὸ μικρ.
ἀπόδ. φύλ. 196.

Ψαλ. ο'. 70.

Ἐπὶ σοὶ [1] Κύριε ἤλπισα μὴ καταισχυνθείην εἰς †
τὸν αἰῶνα, * [2] ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με, †
καὶ ἐξελοῦ με.
Κλῖνον πρός με τὸ οὖς σου, * καὶ σῶσόν με.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου -
Μουσείο Τυπάλδων Ιακωβάτων

Γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστὴν, * καὶ εἰς τόπον ὀχυρὸν τοῦ σῶσαί με.

Ὅτι στερέωμά μου, * καὶ καταφυγή μου εἶ σύ.

Ὁ Θεός μου ῥῦσαί με ἐκ χειρὸς ἁμαρτωλοῦ, * ἐκ χειρὸς παρανομοῦντος, καὶ ἀδικοῦντος.

Ὅτι σὺ εἶ ἡ ὑπομονή μου Κύριε, * Κύριε ἡ ἐλπίς μου ἐκ νεότητός μου.

Ἐπὶ σὲ ἐπεστηρίχθην ἀπὸ γαστρὸς, * ἐκ κοιλίας μητρός μου, σύ μου εἶ σκεπαστής.

Ἐν σοὶ ἡ ὕμνησίς μου διαπαντὸς, * ὡσεὶ τέρας ἐγενήθην τοῖς πολλοῖς, καὶ σὺ βοηθός μου κραταιός.

Πληρωθήτω τὸ στόμα μου αἰνέσεως, ὅπως ὑμνήσω τὴν δόξαν σου, * ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου.

Μὴ ἀποῤῥίψῃς με εἰς καιρὸν γήρως, * ἐν τῷ ἐκλείπειν τὴν ἰσχύν μου μὴ ἐγκαταλίπῃς με.

Ὅτι εἶπον οἱ ἐχθροί μου ἐμοὶ, * καὶ οἱ φυλάσσοντες τὴν ψυχήν μου, ἐβουλεύσαντο ἐπὶ τὸ αὐτό.

Λέγοντες, ὁ Θεὸς ἐγκατέλιπεν αὐτὸν, * καταδιώξατε αὐτὸν, ὅτι οὐκ ἔστιν ὁ ῥυόμενος.

Ὁ Θεός μου μὴ μακρύνῃς ἀπ' ἐμοῦ, * ὁ Θεός μου εἰς τὴν βοήθειάν μου πρόσχες.

Αἰσχυνθήτωσαν, καὶ ἐκλιπέτωσαν οἱ ἐνδιαβάλλοντες τὴν ψυχήν μου, * περιβαλλέσθωσαν αἰσχύνην, καὶ ἐντροπὴν οἱ ζητοῦντες τὰ κακά μοι.

Ἐγὼ δὲ διαπαντὸς ἐλπιῶ ἐπὶ σὲ, * καὶ προσθήσω ἐπὶ πᾶσαν τὴν αἴνεσίν σου.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσεία Τυπάλδων Ιακωβάτων

Τὸ στόμα μου ἀναγγελεῖ τὴν δικαιοσύνην σου, * ὅλην τὴν ἡμέραν τὴν σωτηρίαν σου.

Ὅτι οὐκ ἔγνων γραμματείας, εἰσελεύσομαι ἐν δυναστείᾳ Κυρίου, * Κύριε μνησθήσομαι τῆς δικαιοσύνης σου μόνου.

Ὁ Θεός μου, ἃ ἐδίδαξάς με ἐκ νεότητός μου, * καὶ μέχρι τοῦ νῦν ἀπαγγελῶ τὰ θαυμάσιά σου.

Καὶ ἕως γήρους, καὶ πρεσβείου * ὁ Θεός μου μὴ ἐγκαταλίπῃς με.

Ἕως ἂν ἀπαγγελῶ τὸν βραχίονά σου * τῇ γενεᾷ πάσῃ τῇ ἐρχομένῃ.

Τὴν δυναστείαν σου, καὶ τὴν δικαιοσύνην σου ὁ Θεὸς, ἕως τῶν ὑψίστων, * ἃ ἐποίησάς μοι μεγαλεῖα, ὁ Θεὸς τίς ὅμοιός σοι.

Ὅσας ἔδειξάς μοι θλίψεις πολλὰς, καὶ κακάς; * καὶ ἐπιστρέψας ἐζωοποίησάς με, καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς ἀνήγαγές με.

Ἐπλεόνασας ἐπ' ἐμὲ τὴν μεγαλωσύνην σου, καὶ ἐπιστρέψας παρεκάλεσάς με, * καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς πάλιν ἀνήγαγές με.

Καὶ γὰρ ἐγὼ ἐξομολογήσομαί σοι ἐν λαοῖς Κύριε, * ἐν σκεύεσι ψαλμοῦ τὴν ἀλήθειάν σου ὁ Θεὸς, ψαλῶ σοι ἐν κιθάρᾳ ὁ ἅγιος τοῦ Ἰσραήλ.

Ἀγαλλιάσονται τὰ χείλη μου, ὅταν ψάλω σοι, * καὶ ἡ ψυχή μου, ἣν ἐλυτρώσω.

Ἔτι δὲ καὶ ἡ γλῶσσά μου ὅλην τὴν ἡμέραν μελετήσει



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου -
Μουσείο Τυπάλδων Ιακωβάτων

τὴν δικαιοσύνην σου, * ὅταν αἰσχυνθῶσι, καὶ ἐντραπῶσιν οἱ ζητοῦντες τὰ κακά μοι.

Ψαλ. οα΄. 71.

Ὁ Θεὸς [2] τὸ κρίμα σου τῷ βασιλεῖ δὸς, * καὶ τὴν δικαιοσύνην σου τῷ υἱῷ τοῦ βασιλέως.

Κρίνειν τὸν λαόν σου ἐν δικαιοσύνῃ, * καὶ τοὺς πτωχούς σου ἐν κρίσει.

Ἀναλαβέτω τὰ ὄρη εἰρήνην τῷ λαῷ, * καὶ οἱ βουνοὶ δικαιοσύνην.

Κρινεῖ τοὺς πτωχοὺς τοῦ λαοῦ, * καὶ σώσει τοὺς υἱοὺς τῶν πενήτων.

Καὶ ταπεινώσει συκοφάντην, * καὶ συμπαραμενεῖ τῷ ἡλίῳ, καὶ πρὸ τῆς σελήνης γενεὰς γενεῶν.

Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον, * καὶ ὡσεὶ σταγὼν ἡ στάζουσα ἐπὶ τὴν γῆν. * * *

Ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη, * καὶ πλῆθος εἰρήνης, * ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη.

Καὶ κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης, * καὶ ἀπὸ ποταμῶν ἕως περάτων τῆς οἰκουμένης.

Ἐνώπιον αὐτοῦ προπεσοῦνται Αἰθίοπες, * καὶ οἱ ἐχθροὶ αὐτοῦ χοῦν λείξουσι.

Βασιλεῖς Θαρσεῖς, καὶ νῆσοι δῶρα προσοίσουσι, * βασιλεῖς Ἀῤῥάβων, καὶ Σαβὰ δῶρα προσάξουσι.

Καὶ προσκυνήσουσιν αὐτῷ πάντες οἱ βασιλεῖς τῆς γῆς, * πάντα τὰ ἔθνη δουλεύσουσιν αὐτῷ.

Ὅτι

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὅτι ἐρρύσατο πτωχὸν ἐκ δυνάστου, * καὶ πένητα, ᾧ οὐχ ὑπῆρχε βοηθός.

Φείσεται πτωχοῦ, καὶ πένητος, * καὶ ψυχὰς πενήτων σώσει.

Ἐκ τόκου, καὶ ἐξ ἀδικίας λυτρώσεται τὰς ψυχὰς αὐτῶν, * καὶ ἔντιμον τὸ ὄνομα αὐτοῦ ἐνώπιον αὐτῶν.

Καὶ ζήσεται, καὶ δοθήσεται αὐτῷ ἐκ τοῦ χρυσίου τῆς Ἀραβίας, * καὶ προσεύξονται περὶ αὐτοῦ διαπαντός, ὅλην τὴν ἡμέραν εὐλογήσουσιν αὐτόν.

Ἔσται στήριγμα ἐν τῇ γῇ ἐπ᾽ ἄκρων τῶν ὀρέων, * ὑπεραρθήσεται ὑπὲρ τὸν Λίβανον ὁ καρπὸς αὐτοῦ, καὶ ἐξανθήσουσιν ἐκ πόλεως ὡσεὶ χόρτος τῆς γῆς.

Ἔσται τὸ ὄνομα αὐτοῦ εὐλογημένον εἰς τοὺς αἰῶνας, * πρὸ τοῦ ἡλίου διαμένει τὸ ὄνομα αὐτοῦ.

Καὶ εὐλογηθήσονται ἐν αὐτῷ πᾶσαι αἱ φυλαὶ τῆς γῆς, * πάντα τὰ ἔθνη μακαριοῦσιν αὐτόν.

Εὐλογητὸς [1] Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ, * ὁ ποιῶν † θαυμάσια μόνος.

Καὶ εὐλογημένον τὸ ὄνομα τῆς δόξης αὐτοῦ εἰς τὸν αἰῶνα, * καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καὶ πληρωθήσεται τῆς δόξης αὐτοῦ πᾶσα ἡ γῆ, * γένοιτο, γένοιτο.

Δόξα καὶ νῦν. Ἀλλ. ἀλλ. ἀλλ. Δόξα σοι ὁ Θεὸς γ′.

Ψαλ. οβ′. 72.

Ὡς ἀγαθὸς [2] ὁ Θεὸς τῷ Ἰσραήλ, * τοῖς εὐθέσι † τῇ καρδίᾳ.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἐμοῦ δὲ παρὰ μικρὸν ἐσαλεύθησαν οἱ πόδες, * παρ' ὀλίγον ἐξεχύθη τὰ διαβήματά μου.

Ὅτι ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις, * εἰρήνην ἁμαρτωλῶν θεωρῶν.

Ὅτι οὐκ ἔστιν ἀνάνευσις ἐν τῷ θανάτῳ αὐτῶν, * καὶ στερέωμα ἐν τῇ μάστιγι αὐτῶν.

Ἐν κόποις ἀνθρώπων οὐκ εἰσὶ, * καὶ μετὰ ἀνθρώπων οὐ μαστιγωθήσονται.

Διὰ τοῦτο ἐκράτησεν αὐτοὺς ἡ ὑπερηφανία αὐτῶν εἰς τέλος, * περιεβάλοντο ἀδικίαν, καὶ ἀσέβειαν ἑαυτῶν.

Ἐξελεύσεται ὡς ἐκ στέατος ἡ ἀδικία αὐτῶν, * διήλθοσαν εἰς διάθεσιν καρδίας.

Διενοήθησαν, καὶ ἐλάλησαν ἐν πονηρίᾳ, * ἀδικίαν εἰς τὸ ὕψος ἐλάλησαν.

Ἔθεντο εἰς οὐρανὸν τὸ στόμα αὐτῶν, * καὶ ἡ γλῶσσα αὐτῶν διῆλθεν ἐπὶ τῆς γῆς.

Διὰ τοῦτο ἐπιστρέψει ὁ λαός μου ἐνταῦθα, * καὶ ἡμέραι πλήρεις εὑρεθήσονται ἐν αὐτοῖς.

Καὶ εἶπον, πῶς ἔγνω ὁ Θεὸς, * καὶ εἰ ἔστι γνῶσις ἐν τῷ Ὑψίστῳ;

Ἰδοὺ οὗτοι οἱ ἁμαρτωλοὶ, καὶ εὐθηνοῦντες * εἰς τὸν αἰῶνα κατέσχον πλούτου.

Καὶ εἶπα, ἄρα ματαίως ἐδικαίωσα τὴν καρδίαν μου; * καὶ ἐνιψάμην ἐν ἀθώοις τὰς χεῖράς μου;

Καὶ ἐγενόμην μεμαστιγωμένος ὅλην τὴν ἡμέραν, * καὶ ὁ ἔλεγχός μου εἰς τὰς πρωΐας.

Ἐ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Εἰ ἔλεγον, διηγήσομαι οὕτως,* ἰδοὺ τῇ γενεᾷ τῶν υἱῶν σου ἠσυνθέτηκα.

Καὶ ὑπέλαβον τοῦ γνῶναι,* τοῦτο κόπος ἐστὶν ἐνώπιόν μου.

Ἕως οὗ εἰσέλθω εἰς τὸ ἁγιαστήριον τοῦ Θεοῦ,* καὶ συνῶ εἰς τὰ ἔσχατα αὐτῶν.

Πλὴν διὰ τὰς δολιότητας αὐτῶν ἔθου αὐτοῖς κακά,* κατέβαλες αὐτοὺς ἐν τῷ ἐπαρθῆναι.

Πῶς ἐγένοντο εἰς ἐρήμωσιν;* ἐξάπινα ἐξέλιπον, ἀπώλοντο διὰ τὴν ἀνομίαν αὐτῶν.

Ὡσεὶ ἐνύπνιον ἐξεγειρομένου Κύριε,* ἐν τῇ πόλει σου τὴν εἰκόνα αὐτῶν ἐξουδενώσεις.

Ὅτι ἐξεκαύθη ἡ καρδία μου, καὶ οἱ νεφροί μου ἠλλοιώθησαν,* κἀγὼ ἐξουδενωμένος, καὶ οὐκ ἔγνων.

Κτηνώδης ἐγενήθην παρὰ σοί,* κἀγὼ διαπαντὸς μετὰ σοῦ.

Ἐκράτησας τῆς χειρὸς τῆς δεξιᾶς μου,* καὶ τῇ βουλῇ σου ὡδήγησάς με, καὶ μετὰ δόξης προσελάβου με.

Τί γάρ μοι ὑπάρχει ἐν τῷ οὐρανῷ,* καὶ παρὰ σοῦ τί ἠθέλησα ἐπὶ τῆς γῆς;

Ἐξέλιπεν ἡ καρδία μου, καὶ ἡ σάρξ μου,* ὁ Θεὸς τῆς καρδίας μου, καὶ ἡ μερίς μου ὁ Θεὸς εἰς τὸν αἰῶνα.

Ὅτι ἰδοὺ οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ ἀπολοῦνται,* ἐξωλόθρευσας πάντα τὸν πορνεύοντα ἀπὸ σοῦ.

Ἐμοὶ δὲ τὸ προσκολλᾶσθαι τῷ Θεῷ ἀγαθόν ✠ ἐστι,* τίθεσθαι ἐν τῷ Κυρίῳ τὴν ἐλπίδα μου.

Τοῦ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου -
Μουσείο Τυπάλδων Ιακωβάτων

Τοῦ ἐξαγγεῖλαί με πάσας τὰς αἰνέσεις σου, * ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών.

Ψαλ. ογ΄ 73.

ΙΝα τί ὁ Θεὸς ἀπώσω εἰς τέλος; * ὠργίσθη ὁ θυμός σου ἐπὶ πρόβατα νομῆς σου.

Μνήσθητι τῆς συναγωγῆς σου, ἧς ἐκτήσω ἀπ' ἀρχῆς, * ἐλυτρώσω ῥάβδον κληρονομίας σου.

Ὄρος Σιὼν τοῦτο, ὃ κατεσκήνωσας ἐν αὐτῷ, * ἔπαρον τὰς χεῖράς σου ἐπὶ τὰς ὑπερηφανίας αὐτῶν εἰς τέλος.

Ὅσα ἐπονηρεύσατο ὁ ἐχθρὸς ἐν τῷ ἁγίῳ σου, * καὶ ἐνεκαυχήσαντο οἱ μισοῦντές σε ἐν μέσῳ τῆς ἑορτῆς σου.

Ἔθεντο τὰ σημεῖα αὐτῶν σημεῖα, * καὶ οὐκ ἔγνωσαν ὡς εἰς τὴν ἔξοδον ὑπεράνω.

Ὡς ἐν δρυμῷ ξύλων ἀξίναις ἐξέκοψαν τὰς θύρας αὐτῆς ἐπὶ τὸ αὐτό, * ἐν πελέκει, καὶ λαξευτηρίῳ κατέρραξαν αὐτήν.

Ἐνεπύρισαν ἐν πυρὶ τὸ ἁγιαστήριόν σου, * εἰς τὴν γῆν ἐβεβήλωσαν τὸ σκήνωμα τοῦ ὀνόματός σου.

Εἶπον ἐν τῇ καρδίᾳ αὐτῶν αἱ συγγένειαι αὐτῶν ἐπὶ τὸ αὐτό, * δεῦτε, καὶ καταπαύσωμεν πάσας τὰς ἑορτὰς τοῦ Θεοῦ ἀπὸ τῆς γῆς.

Τὰ σημεῖα ἡμῶν οὐκ εἴδομεν, οὐκ ἔστιν ἔτι προφήτης, * καὶ ἡμᾶς οὐ γνώσεται ἔτι.

Ἕως πότε ὁ Θεὸς ὀνειδιεῖ ὁ ἐχθρός, * παροξυνεῖ ὁ ὑπεναντίος τὸ ὄνομά σου εἰς τέλος.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἵνα τί ἀποστρέφεις τὴν χεῖρά σου, * καὶ τὴν δεξιάν σου, ἐκ μέσου τοῦ κόλπου σου εἰς τέλος.

Ὁ δὲ [1] Θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰῶνος, * εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς. *** ☩

Σὺ ἐκραταίωσας ἐν τῇ δυνάμει σου τὴν θάλασσαν, * σὺ συνέτριψας τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος.

Σὺ συνέθλασας τὴν κεφαλὴν τοῦ δράκοντος, * ἔδωκας αὐτὸν βρῶμα λαοῖς τοῖς Αἰθίοψι.

Σὺ διέρρηξας πηγάς, καὶ χειμάῤῥους, * σὺ ἐξήρανας ποταμοὺς Ἠθάμ.

Σή ἐστιν ἡμέρα, καὶ σή ἐστιν ἡ νύξ, * σὺ κατηρτίσω φαῦσιν, καὶ ἥλιον.

Σὺ ἐποίησας πάντα τὰ ὅρια τῆς γῆς, * θέρος, καὶ ἔαρ σὺ ἔπλασας αὐτά, μνήσθητι ταύτης.

Ἐχθρὸς ὠνείδισε τὸν Κύριον, * καὶ λαὸς ἄφρων παρώξυνε τὸ ὄνομά σου.

Μὴ παραδῷς τοῖς θηρίοις ψυχὴν ἐξομολογουμένην σοι, * τῶν ψυχῶν τῶν πενήτων σου μὴ ἐπιλάθῃ εἰς τέλος.

Ἐπίβλεψον εἰς τὴν διαθήκην σου, * ὅτι ἐπληρώθησαν οἱ ἐσκοτισμένοι τῆς γῆς οἴκων ἀνομιῶν.

Μὴ ἀποστραφήτω τεταπεινωμένος κατῃσχυμμένος, * πτωχὸς, καὶ πένης αἰνέσουσι τὸ ὄνομά σου.

Ἀνάστα ὁ Θεός, δίκασον τὴν δίκην σου, * μνήσθητι τοῦ ὀνειδισμοῦ σου τοῦ ὑπὸ ἄφρονος ὅλην τὴν ἡμέραν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Μὴ ἐπιλάθῃ τῆς φωνῆς τῶν ἱκετῶν σου, * ἡ ὑπερηφανία τῶν μισούντων σε ἀνέβη διαπαντός.

Δόξα καὶ νῦν. Ἀλλ. ἀλλ.

Ψαλ. οδʹ. 74.

Ἐξομολογησόμεθά σοι ὁ Θεός, ἐξομολογησόμεθά σοι, * καὶ ἐπικαλεσόμεθα τὸ ὄνομά σου.

Διηγήσομαι πάντα τὰ θαυμάσιά σου, * ὅταν λάβω καιρόν, ἐγὼ εὐθύτητας κρινῶ.

Ἐτάκη ἡ γῆ, καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ, ἐγὼ ἐστερέωσα τοὺς στύλους αὐτῆς.

Εἶπα τοῖς παρανομοῦσι, μὴ παρανομεῖτε, * καὶ τοῖς ἁμαρτάνουσι, μὴ ὑψοῦτε κέρας.

Μὴ ἐπαίρετε εἰς ὕψος τὸ κέρας ὑμῶν, * καὶ μὴ λαλεῖτε κατὰ τοῦ Θεοῦ ἀδικίαν.

Ὅτι οὔτε ἐξ ἐξόδων, οὔτε ἀπὸ δυσμῶν, * οὔτε ἀπὸ ἐρήμων ὀρέων, ὅτι ὁ Θεὸς κριτής ἐστι.

Τοῦτον ταπεινοῖ, καὶ τοῦτον ὑψοῖ, * ὅτι ποτήριον ἐν χειρὶ Κυρίου οἴνου ἀκράτου, πλῆρες κεράσματος.

Καὶ ἔκλινεν ἐκ τούτου εἰς τοῦτο, πλὴν ὁ τρυγίας αὐτοῦ οὐκ ἐξεκενώθη, * πίονται πάντες οἱ ἁμαρτωλοὶ τῆς γῆς.

Ἐγὼ δὲ ἀγαλλιάσομαι εἰς τὸν αἰῶνα, * ψαλῶ τῷ Θεῷ Ἰακώβ.

Καὶ πάντα τὰ κέρατα τῶν ἁμαρτωλῶν συνθλάσω, καὶ ὑψωθήσεται τὸ κέρας τοῦ δικαίου.

Ψαλ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ψαλ. οε'. 75.

ΓΝωστὸς ² ἐν τῇ Ἰουδαίᾳ ὁ Θεὸς, * ἐν τῷ † Ἰσραὴλ μέγα τὸ ὄνομα αὐτοῦ.

Καὶ ἐγενήθη ἐν εἰρήνῃ ὁ τόπος αὐτοῦ, * καὶ τὸ κατοικητήριον αὐτοῦ ἐν Σιών.

Ἐκεῖ συνέτριψε τὰ κράτη τῶν τόξων, * ὅπλον, καὶ ῥομφαίαν, καὶ πόλεμον.

Φωτίζεις σὺ θαυμαστῶς ἀπὸ ὀρέων αἰωνίων, * ἐταράχθησαν πάντες οἱ ἀσύνετοι τῇ καρδίᾳ.

Ὕπνωσαν ὕπνον αὐτῶν, * καὶ οὐχ εὗρον οὐδὲν πάντες οἱ ἄνδρες τοῦ πλούτου ταῖς χερσὶν αὐτῶν.

Ἀπὸ ἐπιτιμήσεώς σου ὁ Θεὸς Ἰακὼβ, * ἐνύσταξαν οἱ ἐπιβεβηκότες τοῖς ἵπποις.

Σὺ φοβερὸς εἶ, καὶ τίς ἀντιστήσεταί σοι; * ἀπὸ τότε ἡ ὀργή σου.

Ἐκ τοῦ οὐρανοῦ ἠκούτισας κρίσιν, * γῆ ἐφοβήθη, καὶ ἡσύχασεν.

Ἐν τῷ ἀναστῆναι εἰς κρίσιν τὸν Θεὸν, * τοῦ σῶσαι πάντας τοὺς πραεῖς τῆς γῆς.

Ὅτι ἐνθύμιον ἀνθρώπου ἐξομολογήσεταί σοι, * καὶ ἐγκατάλειμμα ἐνθυμίου ἑορτάσει σοι.

Εὔξασθε, ¹ καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ἡμῶν, * † πάντες οἱ κύκλῳ αὐτοῦ οἴσουσι δῶρα.

Τῷ φοβερῷ, καὶ ἀφαιρουμένῳ πνεύματα ἀρχόντων, * φοβερῷ παρὰ τοῖς βασιλεῦσι τῆς γῆς.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Ψαλμ. ος΄. 76.

Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, * φωνῇ μου πρὸς τὸν Θεόν, καὶ προσέσχε μοι.

Ἐν ἡμέρᾳ θλίψεώς μου τὸν Θεὸν ἐξεζήτησα, * ταῖς χερσί μου νυκτὸς ἐναντίον αὐτοῦ, καὶ οὐκ ἠπατήθην.

Ἀπηνήνατο παρακληθῆναι ἡ ψυχή μου, * ἐμνήσθην τοῦ Θεοῦ, καὶ εὐφράνθην.

Ἠδολέσχησα, καὶ ὠλιγοψύχησε τὸ πνεῦμά μου, * προκατελάβοντο φυλακὰς οἱ ὀφθαλμοί μου.

Ἐταράχθην, καὶ οὐκ ἐλάλησα, * διελογησάμην ἡμέρας ἀρχαίας, καὶ ἔτη αἰώνια ἐμνήσθην.

Καὶ ἐμελέτησα νυκτὸς μετὰ τῆς καρδίας μου, * ἠδολέσχουν, καὶ ἔσκαλλε τὸ πνεῦμά μου.

Μὴ εἰς τοὺς αἰῶνας ἀπώσεται Κύριος; * καὶ οὐ προσθήσει τοῦ εὐδοκῆσαι ἔτι;

Ἢ εἰς τέλος τὸ ἔλεος αὐτοῦ ἀποκόψει; * συνετέλεσε ῥῆμα ἀπὸ γενεᾶς εἰς γενεάν.

Ἢ ἐπιλήσεται τοῦ οἰκτειρῆσαι ὁ Θεός; * ἢ συνέξει ἐν τῇ ὀργῇ αὐτοῦ τοὺς οἰκτιρμοὺς αὐτοῦ.

Καὶ εἶπα, νῦν ἠρξάμην, * αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ Ὑψίστου.

Ἐμνήσθην τῶν ἔργων Κυρίου, * ὅτι μνησθήσομαι ἀπὸ τῆς ἀρχῆς τῶν θαυμασίων σου.

Καὶ μελετήσω ἐν πᾶσι τοῖς ἔργοις σου, * καὶ ἐν τοῖς ἐπιτηδεύμασί σου ἀδολεσχήσω.

Ὁ Θεὸς ἐν τῷ ἁγίῳ ἡ ὁδός σου, * τίς Θεὸς μέγας, ὡς

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ὡς ὁ Θεὸς ἡμῶν; σὺ εἶ ὁ Θεὸς ἡμῶν ὁ ποιῶν θαυμάσια.

Ἐγνώρισας ἐν τοῖς λαοῖς τὴν δύναμίν σου, * ἐλυτρώσω ἐν τῷ βραχίονί σου τὸν λαόν σου, τοὺς υἱοὺς Ἰακὼβ, καὶ Ἰωσήφ.

Εἴδοσάν σε ὕδατα ὁ Θεὸς, εἴδοσάν σε ὕδατα, καὶ ἐφοβήθησαν, * ἐταράχθησαν ἄβυσσοι, πλῆθος ἤχους ὑδάτων.

Φωνὴν ἔδωκαν αἱ νεφέλαι, καὶ γὰρ τὰ βέλη σου διαπορεύονται, * φωνὴ τῆς βροντῆς σου ἐν τῷ τροχῷ.

Ἔφαναν αἱ ἀστραπαί σου τῇ οἰκουμένῃ, * ἐσαλεύθη, καὶ ἔντρομος ἐγενήθη ἡ γῆ.

Ἐν τῇ θαλάσσῃ αἱ ὁδοί σου, καὶ αἱ τρίβοι σου ἐν ὕδασι πολλοῖς, * καὶ τὰ ἴχνη σου οὐ γνωσθήσονται.

Ὡδήγησας ὡς πρόβατα τὸν λαόν σου * ἐν χειρὶ Μωυσῆ, καὶ Ἀαρών.

Δόξα καὶ νῦν. Ἀλλ. ἀλλ.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

# ΚΑΘΙΣΜΑ ΕΝΝΑΤΟΝ

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

## ΤΗΣ ΑΥΤΗΣ Ε΄. ΤΗΣ ΕΒΔ.

### ΔΕΥΤΕΡΟΝ ΜΕΝ

Ἐν τῇ μεγάλ. μ΄. ὅπου λέγονται τὰ καθ. δύο, ἔξω δὲ αὐτῆς, κάθισμα μόνον, ἐν τοῖς ἤχοις Β΄. Δ΄. ΠΛ. Β΄. ΠΛ. Δ΄.

Ψαλ. οζ΄. 77.

Προσέχετε λαός μου τῷ νόμῳ μου, * κλίνατε τὸ οὖς ὑμῶν εἰς τὰ ῥήματα τοῦ στόματός μου.

Ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου, * φθέγξομαι προβλήματα ἀπ᾽ ἀρχῆς.

Ὅσα ἠκούσαμεν, καὶ ἔγνωμεν αὐτά, * καὶ οἱ πατέρες ἡμῶν διηγήσαντο ἡμῖν.

Οὐκ ἐκρύβη ἀπὸ τῶν τέκνων αὐτῶν, * εἰς γενεὰν ἑτέραν.

Ἀπαγγέλλοντες τὰς αἰνέσεις τοῦ Κυρίου, καὶ τὰς δυναστείας αὐτοῦ, * καὶ τὰ θαυμάσια αὐτοῦ, ἃ ἐποίησε.

Καὶ ἀνέστησε μαρτύριον ἐν Ἰακώβ, * καὶ νόμον ἔθετο ἐν Ἰσραήλ.

Ὅσα ἐνετείλατο τοῖς πατράσιν ἡμῶν τοῦ γνωρίσαι αὐτὰ τοῖς υἱοῖς αὐτῶν, * ὅπως ἂν γνῷ γενεὰ ἑτέρα.

Υἱοὶ τεχθησόμενοι, καὶ ἀναστήσονται, * καὶ ἀπαγγελοῦσιν αὐτὰ τοῖς υἱοῖς αὐτῶν.

Ἵνα

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἵνα θῶνται ἐπὶ τὸν Θεὸν τὴν ἐλπίδα αὐτῶν, * καὶ μὴ ἐπιλάθωνται τῶν ἔργων τοῦ Θεοῦ, καὶ τὰς ἐντολὰς αὐτοῦ ἐκζητήσωσιν.

Ἵνα μὴ γένωνται ὡς οἱ πατέρες αὐτῶν, * γενεὰ σκολιὰ, καὶ παραπικραίνουσα.

Γενεὰ, ἥτις οὐ κατεύθυνε τὴν καρδίαν ἑαυτῆς, * καὶ οὐκ ἐπιστώθη μετὰ τοῦ Θεοῦ τὸ πνεῦμα αὐτῆς.

Υἱοὶ Ἐφραὶμ ἐντείνοντες, καὶ βάλλοντες τόξον, * ἐστράφησαν ἐν ἡμέρᾳ πολέμου.

Οὐκ ἐφύλαξαν τὴν διαθήκην τοῦ Θεοῦ, * καὶ ἐν τῷ νόμῳ αὐτοῦ οὐκ ἠβουλήθησαν πορεύεσθαι.

Καὶ ἐπελάθοντο τῶν εὐεργεσιῶν αὐτοῦ, * καὶ τῶν θαυμασίων αὐτοῦ, ὧν ἔδειξεν αὐτοῖς.

Ἐναντίον τῶν πατέρων αὐτῶν, * ἃ ἐποίησε θαυμάσια, ἐν γῇ Αἰγύπτῳ ἐν πεδίῳ Τάνεως.

Διέῤῥηξε θάλασσαν, καὶ διήγαγεν αὐτοὺς, * παρέστησεν ὕδατα ὡσεὶ ἀσκόν.

Καὶ ὡδήγησεν αὐτοὺς ἐν νεφέλῃ ἡμέρας, * καὶ ὅλην τὴν νύκτα ἐν φωτισμῷ πυρός.

Διέῤῥηξε πέτραν ἐν ἐρήμῳ, * καὶ ἐπότισεν αὐτοὺς, ὡς ἐν ἀβύσσῳ πολλῇ.

Καὶ ἐξήγαγεν ὕδωρ ἐκ πέτρας, * καὶ κατήγαγεν ὡς ποταμοὺς ὕδατα.

Καὶ προσέθεντο ἔτι τοῦ ἁμαρτάνειν αὐτῷ, * παρεπίκραναν τὸν Ὕψιστον ἐν ἀνύδρῳ.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Καὶ ἐξεπείρασαν τὸν Θεὸν ἐν ταῖς καρδίαις αὐτῶν, * τοῦ αἰτῆσαι βρώματα ταῖς ψυχαῖς αὐτῶν.

Καὶ κατελάλησαν τοῦ Θεοῦ, καὶ εἶπον, * μὴ δυνήσεται ὁ Θεὸς ἑτοιμάσαι τράπεζαν ἐν ἐρήμῳ.

Ἐπεὶ ἐπάταξε πέτραν, καὶ ἐῤῥύησαν ὕδατα, * καὶ χείμαῤῥοι κατεκλύσθησαν.

Μὴ καὶ ἄρτον δύναται δοῦναι, * ἢ ἑτοιμάσαι τράπεζαν τῷ λαῷ αὐτοῦ.

Διὰ τοῦτο ἤκουσε Κύριος, καὶ ἀνεβάλετο, * καὶ πῦρ ἀνήφθη ἐν Ἰακώβ, καὶ ὀργὴ ἀνέβη ἐπὶ τὸν Ἰσραήλ.

Ὅτι οὐκ ἐπίστευσαν ἐν τῷ Θεῷ, * οὐδὲ ἤλπισαν ἐπὶ τὸ σωτήριον αὐτοῦ.

Καὶ ἐνετείλατο νεφέλαις ὑπεράνωθεν, * καὶ θύρας οὐρανοῦ ἀνέῳξε.

Καὶ ἔβρεξεν αὐτοῖς μάννα φαγεῖν, * καὶ ἄρτον οὐρανοῦ ἔδωκεν αὐτοῖς.

Ἄρτον Ἀγγέλων ἔφαγεν ἄνθρωπος, * ἐπισιτισμὸν ἀπέστειλεν αὐτοῖς εἰς πλησμονήν.

Ἀπῆρεν νότον ἐξ οὐρανοῦ, * καὶ ἐπήγαγεν ἐν τῇ δυνάμει αὐτοῦ Λίβα.

Καὶ ἔβρεξεν ἐπ' αὐτοὺς ὡσεὶ χοῦν σάρκας, * καὶ ὡσεὶ ἄμμον θαλασσῶν, πετεινὰ πτερωτά.

Καὶ ἐπέπεσον ἐν μέσῳ τῆς παρεμβολῆς αὐτῶν, * κύκλῳ τῶν σκηνωμάτων αὐτῶν.

Καὶ ἔφαγον, καὶ ἐνεπλήσθησαν σφόδρα, καὶ τὴν ἐπι-

θυ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

θυμίαν αὐτῶν ἤνεγκεν αὐτοῖς, * οὐκ ἐστερήθησαν ἀπὸ τῆς ἐπιθυμίας αὐτῶν.

Ἔτι τῆς βρώσεως οὔσης ἐν τῷ στόματι αὐτῶν, * καὶ ὀργὴ τοῦ Θεοῦ ἀνέβη ἐπ' αὐτούς.

Καὶ ἀπέκτεινεν ἐν τοῖς πλείοσιν αὐτῶν, * καὶ τοὺς ἐκλεκτοὺς τοῦ Ἰσραὴλ συνεπόδισεν.

Ἐν πᾶσι τούτοις ἥμαρτον ἔτι, * καὶ οὐκ ἐπίστευσαν ἐν τοῖς θαυμασίοις αὐτοῦ.

Καὶ ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι αὐτῶν, * καὶ τὰ ἔτη αὐτῶν μετὰ σπουδῆς.

Ὅταν ἀπέκτεινεν αὐτούς, τότε ἐξεζήτουν αὐτόν, * καὶ ἐπέστρεφον, καὶ ὤρθριζον πρὸς τὸν Θεόν.

Καὶ ἐμνήσθησαν, ὅτι ὁ Θεὸς βοηθὸς αὐτῶν ἐστι, * καὶ ὁ Θεὸς ὁ Ὕψιστος λυτρωτὴς αὐτῶν ἐστι.

Καὶ ἠγάπησαν αὐτὸν ἐν τῷ στόματι αὐτῶν, * καὶ τῇ γλώσσῃ αὐτῶν ἐψεύσαντο αὐτῷ.

Ἡ δὲ καρδία αὐτῶν οὐκ εὐθεῖα μετ' αὐτοῦ, * οὐδὲ ἐπιστώθησαν ἐν τῇ διαθήκῃ αὐτοῦ.

Αὐτὸς δέ ἐστιν οἰκτίρμων, * καὶ ἱλάσκεται ταῖς τῶν ἁμαρτίαις αὐτῶν, καὶ οὐ διαφθερεῖ.

Καὶ πληθυνεῖ τοῦ ἀποστρέψαι τὸν θυμὸν αὐτοῦ, * καὶ οὐχὶ ἐκκαύσει πᾶσαν τὴν ὀργὴν αὐτοῦ.

Καὶ ἐμνήσθη, ὅτι σάρξ εἰσι, * πνεῦμα πορευόμενον, καὶ οὐκ ἐπιστρέφον.

Ποσάκις παρεπίκραναν αὐτὸν ἐν τῇ ἐρήμῳ, * παρώργισαν αὐτὸν ἐν γῇ ἀνύδρῳ;



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Καὶ ἐπέστρεψαν, καὶ ἐπείρασαν τὸν Θεὸν, * καὶ τὸν ἅγιον τοῦ Ἰσραὴλ παρώξυναν.

Καὶ οὐκ ἐμνήσθησαν τῆς χειρὸς αὐτοῦ, * ἡμέρας, ἧς ἐλυτρώσατο αὐτοὺς ἐκ χειρὸς θλίβοντος.

Ὡς ἔθετο ἐν Αἰγύπτῳ τὰ σημεῖα αὐτοῦ, * καὶ τὰ τέρατα αὐτοῦ ἐν πεδίῳ Τάνεως.

Καὶ μετέστρεψεν εἰς αἷμα τοὺς ποταμοὺς αὐτῶν, * καὶ τὰ ὀμβρήματα αὐτῶν, ὅπως μὴ πίωσιν.

Ἐξαπέστειλεν εἰς αὐτοὺς κυνόμυιαν, καὶ κατέφαγεν αὐτοὺς, * καὶ βάτραχον, καὶ διέφθειρεν αὐτούς.

Καὶ ἔδωκε τῇ ἐρυσίβῃ τοὺς καρποὺς αὐτῶν, * καὶ τοὺς πόνους αὐτῶν τῇ ἀκρίδι.

Ἀπέκτεινεν ἐν χαλάζῃ τὴν ἄμπελον αὐτῶν, * καὶ τὰς συκαμίνους αὐτῶν ἐν τῇ πάχνῃ.

Καὶ παρέδωκεν εἰς χάλαζαν τὰ κτήνη αὐτῶν, * καὶ τὴν ὕπαρξιν αὐτῶν τῷ πυρί.

Ἐξαπέστειλεν εἰς αὐτοὺς ὀργὴν θυμοῦ αὐτοῦ, * θυμὸν, καὶ ὀργὴν, καὶ θλίψιν, ἀποστολὴν δι' ἀγγέλων πονηρῶν.

Ὡδοποίησε τρίβον τῇ ὀργῇ αὐτοῦ, καὶ οὐκ ἐφείσατο ἀπὸ θανάτου τῶν ψυχῶν αὐτῶν, * καὶ τὰ κτήνη αὐτῶν εἰς θάνατον συνέκλεισε.

Καὶ ἐπάταξε πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ, * ἀπαρχὴν παντὸς πόνου αὐτῶν ἐν τοῖς σκηνώμασι Χάμ.

Καὶ ἀπῆρεν ὡς πρόβατα τὸν λαὸν αὐτοῦ, * καὶ ἀνήγαγεν αὐτοὺς ὡσεὶ ποίμνιον ἐν ἐρήμῳ.

Καὶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Καὶ ὡδήγησεν αὐτοὺς ἐπ᾽ ἐλπίδι, καὶ οὐκ ἐδειλίασαν, * καὶ τοὺς ἐχθροὺς αὐτῶν ἐκάλυψε θάλασσα.

Καὶ εἰσήγαγεν αὐτοὺς εἰς ὄρος ἁγιάσματος αὐτοῦ, * ὄρος τοῦτο, ὃ ἐκτήσατο ἡ δεξιὰ αὐτοῦ.

Καὶ ἐξέβαλεν ἀπὸ προσώπου αὐτῶν ἔθνη, * καὶ ἐκληροδότησεν αὐτοὺς ἐν σχοινίῳ κληροδοσίας.

Καὶ κατεσκήνωσεν ἐν τοῖς σκηνώμασιν αὐτῶν * τὰς φυλὰς τοῦ Ἰσραήλ.

Καὶ ἐπείρασαν, καὶ παρεπίκραναν τὸν Θεὸν τὸν Ὕψιστον, * καὶ τὰ μαρτύρια αὐτοῦ οὐκ ἐφυλάξαντο.

Καὶ ἀπέστρεψαν, καὶ ἠθέτησαν, καθὼς, καὶ οἱ πατέρες αὐτῶν, * μετεστράφησαν εἰς τόξον στρεβλόν.

Καὶ παρώργισαν αὐτὸν ἐν τοῖς βουνοῖς αὐτῶν, * καὶ ἐν τοῖς γλυπτοῖς αὐτῶν παρεζήλωσαν αὐτόν.

Ἤκουσεν ὁ Θεὸς, καὶ ὑπερεῖδε, * καὶ ἐξουδένωσε σφόδρα τὸν Ἰσραήλ.

Καὶ ἀπώσατο τὴν σκηνὴν Σιλὼμ, * σκήνωμα, ὃ κατεσκήνωσεν ἐν ἀνθρώποις.

Καὶ παρέδωκεν εἰς αἰχμαλωσίαν τὴν ἰσχὺν αὐτῶν, * καὶ τὴν καλλονὴν αὐτῶν εἰς χεῖρας ἐχθρῶν.

Καὶ συνέκλεισεν ἐν ῥομφαίᾳ τὸν λαὸν αὐτοῦ, * καὶ τὴν κληρονομίαν αὐτοῦ ὑπερεῖδε.

Τοὺς νεανίσκους αὐτῶν κατέφαγε πῦρ, * καὶ αἱ παρθένοι αὐτῶν οὐκ ἐπενθήθησαν.

Οἱ ἱερεῖς αὐτῶν ἐν ῥομφαίᾳ ἔπεσον, * καὶ αἱ χῆραι αὐτῶν οὐ κλαυθήσονται.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Καὶ ἐξηγέρθη ὡς ὁ ὑπνῶν Κύριος, * ὡς δυνατὸς, καὶ κεκραιπαληκὼς ἐξ οἴνου.

Καὶ ἐπάταξε τοὺς ἐχθροὺς αὐτοῦ εἰς τὰ ὀπίσω, * ὄνειδος αἰώνιον ἔδωκεν αὐτοῖς.

Καὶ ἀπώσατο τὸ σκήνωμα Ἰωσὴφ, * καὶ τὴν φυλὴν Ἐφραὶμ οὐκ ἐξελέξατο.

Καὶ ἐξελέξατο τὴν φυλὴν Ἰούδα, * τὸ ὄρος τὸ Σιὼν, ὃ ἠγάπησε.

Καὶ ᾠκοδόμησεν ὡς μονοκέρωτος τὸ ἁγίασμα αὐτοῦ, * ἐν τῇ γῇ, ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα.

Καὶ ἐξελέξατο Δαβὶδ τὸν δοῦλον αὐτοῦ, * καὶ ἀνέλαβεν αὐτὸν ἐκ τῶν ποιμνίων τῶν προβάτων.

Ἐξόπισθεν τῶν λοχευομένων ἔλαβεν αὐτὸν, * ποιμαίνειν Ἰακὼβ τὸν δοῦλον αὐτοῦ, καὶ Ἰσραὴλ τὴν κληρονομίαν αὐτοῦ.

Καὶ ἐποίμανεν αὐτοὺς ἐν τῇ ἀκακίᾳ τῆς καρδίας αὐτοῦ, * καὶ ἐν ταῖς συνέσεσι τῶν χειρῶν αὐτοῦ ὡδήγησεν αὐτούς.

Δόξα καὶ νῦν. Ἀλλ. ἀλλ. ἀλλ. Δόξα σοι ὁ Θεὸς γʹ.

Ψαλ. οη. 78.

Ὁ Θεὸς ἤλθοσαν ἔθνη εἰς τὴν κληρονομίαν σου ✝ ἐμίαναν τὸν ναὸν τὸν ἅγιόν σου * ἔθεντο Ἱερουσαλὴμ ὡς ὀπωροφυλάκιον.

Ἔθεντο τὰ θνησιμαῖα τῶν δούλων σου βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, * τὰς σάρκας τῶν ὁσίων σου τοῖς θηρίοις τῆς γῆς.

Ἐξέ-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἐξέχεαν τὸ αἷμα αὐτῶν ὡσεὶ ὕδωρ κύκλῳ Ἱερουσαλήμ, * καὶ οὐκ ἦν ὁ θάπτων. ***

Ἐγενήθημεν ὄνειδος τοῖς γείτοσιν ἡμῶν, * μυκτηρισμὸς, καὶ χλευασμὸς τοῖς κύκλῳ ἡμῶν.

Ἕως πότε Κύριε ὀργισθήσῃ εἰς τέλος, * ἐκκαυθήσεται ὡς πῦρ ὁ ζῆλός σου.

Ἔκχεον τὴν ὀργήν σου ἐπὶ τὰ ἔθνη, τὰ μὴ γινώσκοντά σε, * καὶ ἐπὶ βασιλείας, αἳ τὸ ὄνομά σου οὐκ ἐπεκαλέσαντο.

Ὅτι κατέφαγον τὸν Ἰακὼβ, * καὶ τὸν τόπον αὐτοῦ ἠρήμωσαν.

Μὴ μνησθῇς ἡμῶν ἀνομιῶν ἀρχαίων, * ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου Κύριε, ὅτι ἐπτωχεύσαμεν σφόδρα.

Βοήθησον [1] ἡμῖν ὁ Θεὸς ὁ σωτὴρ ἡμῶν, ἕνεκεν τῆς † δόξης τοῦ ὀνόματός σου, Κύριε ῥῦσαι ἡμᾶς, * καὶ ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν ἕνεκεν τοῦ ὀνόματός σου.

Μήποτε εἴπωσι τὰ ἔθνη, ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν; * καὶ γνωσθήτω ἐν τοῖς ἔθνεσιν ἐνώπιον τῶν ὀφθαλμῶν ἡμῶν.

Ἡ ἐκδίκησις τοῦ αἵματος τῶν δούλων σου τοῦ ἐκκεχυμένου, * εἰσελθέτω ἐνώπιόν σου ὁ στεναγμὸς τῶν πεπεδημένων.

Κατὰ τὴν μεγαλωσύνην τοῦ βραχίονός σου, * περιποίησαι τοὺς υἱοὺς τῶν τεθανατωμένων.

Ἀπόδος τοῖς γείτοσιν ἡμῶν ἑπταπλασίονα εἰς τὸν κόλπον αὐτῶν τὸν ὀνειδισμὸν αὐτῶν, * ὃν ὠνείδισάν σε Κύριε.

Ἡμεῖς

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἡμεῖς δὲ λαός σου, καὶ πρόβατα νομῆς σου, * ἀνθομολογησόμεθά σοι ὁ Θεὸς εἰς τὸν αἰῶνα.
Εἰς γενεὰν, καὶ γενεὰν ἐξαγγελοῦμεν * τὴν αἴνεσίν σου.

Ψαλ. οθʹ. 79.

Ὁ Ποιμαίνων [a] τὸν Ἰσραὴλ πρόσχες, * ὁ ὁδηγῶν, ὡσεὶ πρόβατον τὸν Ἰωσήφ. ☩
Ὁ καθήμενος [1] ἐπὶ τῶν Χερουβὶμ ἐμφάνηθι, * ☩ ἐναντίον Ἐφραὶμ, καὶ Βενιαμὶν, καὶ Μανασσῆ.
Ἐξέγειρον τὴν δυναστείαν σου, * καὶ ἐλθὲ, εἰς τὸ σῶσαι ἡμᾶς.
Ὁ Θεὸς ἐπίστρεψον ἡμᾶς, καὶ ἐπίφανον τὸ πρόσωπόν σου, * καὶ σωθησόμεθα.
Κύριε ὁ Θεὸς τῶν δυνάμεων, * ἕως πότε ὀργίζῃ ἐπὶ τὴν προσευχὴν τῶν δούλων σου.
Ψωμιεῖς ἡμᾶς ἄρτον δακρύων, * καὶ ποτιεῖς ἡμᾶς ἐν δάκρυσιν ἐν μέτρῳ.
Ἔθου ἡμᾶς εἰς ἀντιλογίαν τοῖς γείτοσιν ἡμῶν, * καὶ οἱ ἐχθροὶ ἡμῶν ἐμυκτήρισαν ἡμᾶς.
Κύριε ὁ Θεὸς τῶν δυνάμεων ἐπίστρεψον ἡμᾶς, * καὶ ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα.
Ἄμπελον ἐξ Αἰγύπτου μετῆρας, * ἐξέβαλες ἔθνη, καὶ κατεφύτευσας αὐτήν.
Ὡδοποίησας ἔμπροσθεν αὐτῆς, * καὶ κατεφύτευσας τὰς ῥίζας αὐτῆς, καὶ ἐπλήρωσε τὴν γῆν.
Ἐκάλυψεν ὄρη ἡ σκιὰ αὐτῆς, * καὶ αἱ ἀναδενδράδες αὐτῆς τὰς κέδρους τοῦ Θεοῦ.

Ἐξέ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Εξέτεινε τὰ κλήματα αὐτῆς ἕως θαλάσσης, * καὶ ἕως ποταμῶν τὰς παραφυάδας αὐτῆς.

Ἵνα τί καθεῖλες τὸν φραγμὸν αὐτῆς, * καὶ τρυγῶσιν αὐτὴν πάντες οἱ παραπορευόμενοι τὴν ὁδόν;

Ἐλυμήνατο αὐτὴν ὗς ἐκ δρυμοῦ, * καὶ μονιὸς ἄγριος κατενεμήσατο αὐτήν.

Ὁ Θεὸς τῶν δυνάμεων ἐπίστρεψον δή, καὶ ἐπίβλεψον ἐξ οὐρανοῦ, * καὶ ἴδε, καὶ ἐπίσκεψαι τὴν ἄμπελον ταύτην.

Καὶ κατάρτισαι αὐτὴν, ἣν ἐφύτευσεν ἡ δεξιά σου, * καὶ ἐπὶ υἱὸν ἀνθρώπου, ὃν ἐκραταίωσας σεαυτῷ.

Ἐμπεπυρισμένη πυρὶ, καὶ ἀνεσκαμμένη, * ἀπὸ ἐπιτιμήσεως τοῦ προσώπου σου ἀπολοῦνται.

Γενηθήτω ἡ χείρ σου ἐπ' ἄνδρα δεξιᾶς σου, * καὶ ἐπὶ υἱὸν ἀνθρώπου, ὃν ἐκραταίωσας σεαυτῷ.

Καὶ οὐ μὴ ἀποστῶμεν ἀπὸ σοῦ, * ζωώσεις ἡμᾶς, καὶ τὸ ὄνομά σου ἐπικαλεσόμεθα.

Κύριε ὁ Θεὸς τῶν δυνάμεων ἐπίστρεψον ἡμᾶς, * καὶ ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα.

Δόξα καὶ νῦν. Ἀλλ. ἀλλ.

Ψαλ. π΄. 80.

Ἀγαλλιᾶσθε [1] τῷ Θεῷ τῷ βοηθῷ ἡμῶν, * ἀλαλάξατε τῷ Θεῷ Ἰακώβ. ✠

Λάβετε [2] ψαλμὸν, καὶ δότε τύμπανον, * ψαλτήριον τερπνὸν μετὰ κιθάρας. ✠

Σαλπίσατε ἐν νεομηνίᾳ σάλπιγγι, * ἐν εὐσήμῳ ἡμέρᾳ ἑορτῆς ἡμῶν.

Ὅτι

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὅτι πρόσταγμα τῷ Ἰσραὴλ ἐστι, * κρίμα τῷ Θεῷ Ἰακώβ.

Μαρτύριον ἐν τῷ Ἰωσὴφ ἔθετο αὐτὸν, ἐν τῷ ἐξελθεῖν αὐτὸν ἐκ γῆς Αἰγύπτου, * γλῶσσαν, ἣν οὐκ ἔγνω, ἤκουσεν.

Ἀπέστησεν ἀπὸ ἄρσεων τὸν νῶτον αὐτοῦ, * αἱ χεῖρες αὐτοῦ ἐν τῷ κοφίνῳ ἐδούλευσαν.

Ἐν θλίψει ἐπεκαλέσω με, καὶ ἐῤῥυσάμην σε, * ἐπήκουσά σου ἐν ἀποκρύφῳ καταιγίδος, ἐδοκίμασά σε ἐπὶ ὕδατος ἀντιλογίας.

Ἄκουσον λαός μου, καὶ διαμαρτύρομαί σοι, * Ἰσραὴλ ἐὰν ἀκούσῃς μου, οὐκ ἔσται ἐν σοὶ Θεὸς πρόσφατος, οὐδὲ προσκυνήσεις Θεῷ ἀλλοτρίῳ.

Ἐγὼ γάρ εἰμι Κύριος ὁ Θεός σου, ὁ ἀναγαγών σε ἐκ γῆς Αἰγύπτου, * πλάτυνον τὸ στόμα σου, καὶ πληρώσω αὐτό.

Καὶ οὐκ ἤκουσεν ὁ λαός μου τῆς φωνῆς μου, * καὶ Ἰσραὴλ οὐ προσέσχε μοι.

Καὶ ἐξαπέστειλα αὐτοὺς κατὰ τὰ ἐπιτηδεύματα τῆς καρδίας αὐτῶν, * πορεύσονται ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν.

Εἰ ὁ λαός μου ἤκουσέ μου, * Ἰσραὴλ ταῖς ὁδοῖς μου εἰ ἐπορεύθη.

Ἐν τῷ μηδενὶ ἂν τοὺς ἐχθροὺς αὐτῶν ἐταπείνωσα, * καὶ ἐπὶ τοὺς θλίβοντας αὐτοὺς ἐπέβαλον ἂν τὴν χεῖρά μου.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Οἱ ἐχθροὶ Κυρίου ἐψεύσαντο αὐτῷ, * καὶ ἔσται ὁ καιρὸς αὐτῶν εἰς τὸν αἰῶνα.

Καὶ ἐψώμισεν αὐτοὺς ἐκ στέατος πυροῦ, * καὶ ἐκ πέτρας μέλι ἐχόρτασεν αὐτούς.

Ψαλ. πα΄. 81.

Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν, * ἐν μέσῳ δὲ θεοὺς διακρινεῖ. ***

Ἕως πότε κρίνετε ἀδικίαν, * καὶ πρόσωπα ἁμαρτωλῶν λαμβάνετε;

Κρίνατε ὀρφανῷ, καὶ πτωχῷ, * ταπεινὸν, καὶ πένητα δικαιώσατε.

Ἐξέλεσθε πένητα, καὶ πτωχὸν, * ἐκ χειρὸς ἁμαρτωλοῦ ῥύσασθε αὐτόν.

Οὐκ ἔγνωσαν, οὐδὲ συνῆκαν, ἐν σκότει διαπορεύονται, * σαλευθήτωσαν πάντα τὰ θεμέλια τῆς γῆς.

Ἐγὼ εἶπα, θεοὶ ἐστὲ, * καὶ υἱοὶ Ὑψίστου πάντες.

Ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε, * καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτετε.

Ἀνάστα ὁ Θεὸς, κρῖνον τὴν γῆν, * ὅτι σὺ κατακληρονομήσεις ἐν πᾶσι τοῖς ἔθνεσιν.

Ψαλ πβ΄. 82.

Ὁ Θεὸς τίς ὁμοιωθήσεταί σοι; * μὴ σιγήσῃς, μὴ δὲ καταπραΰνῃς ὁ Θεός.

Ὅτι ἰδοὺ οἱ ἐχθροί σου ἤχησαν, * καὶ οἱ μισοῦντές σε ἦραν κεφαλήν.

Ἐπὶ τὸν λαόν σου κατεπανουργεύσαντο γνώμην, * καὶ ἐβουλεύσαντο κατὰ τῶν ἁγίων σου.

Εἶ-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Εἶπον, δεῦτε καὶ ἐξολοθρεύσωμεν αὐτοὺς ἐξ ἔθνους, * καὶ οὐ μὴ μνησθῇ τὸ ὄνομα Ἰσραὴλ ἔτι.

Ὅτι ἐβουλεύσαντο ἐν ὁμονοίᾳ ἐπὶ τὸ αὐτὸ, * κατὰ σοῦ διαθήκην διέθεντο τὰ σκηνώματα τῶν Ἰδουμαίων, καὶ οἱ Ἰσμαηλῖται.

Μωὰβ, καὶ οἱ Ἀγαρηνοὶ, Γεβὰλ, καὶ Ἀμμὼν, καὶ Ἀμαλὴκ, * ἀλλόφυλοι μετὰ τῶν κατοικούντων Τύρον.

Καὶ γὰρ, καὶ Ἀσσοὺρ συμπαρεγένετο μετ' αὐτῶν, * ἐγενήθησαν εἰς ἀντίληψιν τοῖς υἱοῖς Λώτ.

Ποίησον αὐτοῖς ὡς τῇ Μαδιὰμ, καὶ τῷ Σισάρᾳ, * ὡς τῷ Ἰαβὶμ ἐν τῷ χειμάῤῥῳ Κισσών.

Ἐξολοθρεύθησαν ἐν Ἀενδὼρ, * ἐγενήθησαν ὡσεὶ κόπρος τῇ γῇ.

Θοῦ τοὺς ἄρχοντας αὐτῶν ὡς τὸν Ὠρὴβ, * καὶ Ζὴβ καὶ Ζεβεὲ, καὶ Σαλμανάν.

Πάντας τοὺς ἄρχοντας αὐτῶν, οἵτινες εἶπον, * κληρονομήσωμεν ἑαυτοῖς τὸ ἁγιαστήριον τοῦ Θεοῦ.

Ὁ Θεός μου, θοῦ αὐτοὺς ὡς τροχὸν, * ὡς καλάμην κατὰ πρόσωπον ἀνέμου.

Ὡσεὶ πῦρ, ὃ διαφλέξει δρυμὸν, * ὡσεὶ φλὸξ, ἡ κατακαύσει ὄρη.

Οὕτω καταδιώξεις αὐτοὺς ἐν τῇ καταιγίδι σου, * καὶ ἐν τῇ ὀργῇ σου συνταράξεις αὐτούς.

Πλήρωσον τὰ πρόσωπα αὐτῶν ἀτιμίας, * καὶ ζητήσουσι τὸ ὄνομά σου Κύριε.

Αἰσχυνθήτωσαν, καὶ ταραχθήτωσαν εἰς τὸν αἰῶνα τοῦ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

τῦ αἰῶνος, * καὶ ἐντραπήτωσαν, καὶ ἀπολέσθωσαν.

Καὶ γνώτωσαν, ὅτι ὄνομά σοι Κύριος, * σὺ μόνος Ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν. Δόξα καὶ νῦν. Ἀλλ.

# ΚΑΘΙΣΜΑ ΔΕΚΑΤΟΝ
## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ
# ΤΗΣ ΠΑΡΑΣΚΕΥΗΣ
## ΠΡΩΤΟΝ ΜΕΝ

Ἐν τῇ μεγάλ. μ'. ὅπε λέγονται τὰ κάθ. δύο, ἔξω δὲ αὐτῆς, κάθισμα μόνον, ἐν τοῖς ἤχοις Α'. Γ'. ΠΛ.Α'. ΒΑΡ'.

Ψαλ. πγ'. 83.

Ὡς ἀγαπητὰ τὰ σκηνώματά σε. Εἰς τὴν ἐνάτ. ὥραν φυλ. 147. Ψαλ. πδ'. 84.

Εὐδόκησας Κύριε. ἐκεῖθεν εἰς τ̃ ἐννάτ. ὥραν φύλ. 148. Ψαλ. πε'. 85.

Κλῖνον Κύριε τὸ ὖς σε, καὶ ἐπάκεσον με. Ἐκεῖθ. φύλ. 149.

Ψαλ. πς'. 86.

Οἱ θεμέλιοι αὐτῦ ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις, * ✝ ἀγαπᾷ Κύριος τὰς πύλας Σιὼν ὑπὲρ ✝ πάντα τὰ σκηνώματα Ἰακὼβ.

Δεδοξασμένα ἐλαλήθη περὶ σῦ, * ἡ πόλις τῦ Θεῦ.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Μνησθήσομαι Ῥαὰβ, * καὶ Βαβυλῶνος τοῖς γινώσκουσί με.

Καὶ ἰδοὺ ἀλλόφυλοι, καὶ Τύρος, καὶ λαὸς τῶν Αἰθιόπων, * οὗτοι ἐγεννήθησαν ἐκεῖ.

Μήτηρ Σιὼν ἐρεῖ, ἄνθρωπος, καὶ ἄνθρωπος ἐγεννήθη ἐν αὐτῇ, * καὶ αὐτὸς ἐθεμελίωσεν αὐτὴν ὁ Ὕψιστος. ***

Κύριος διηγήσεται ἐν γραφῇ λαῶν, καὶ ἀρχόντων τούτων τῶν γεγεννημένων ἐν αὐτῇ, * ὡς εὐφραινομένων πάντων ἡ κατοικία ἐν σοί.

Ψαλ. πζ΄. 87.

Κύριε ὁ Θεὸς τῆς σωτηρίας. Λέλεκτ. εἰς τὸν ὄρθ. φύλ. 5.

Ψαλ. πη΄. 88.

Τὰ ἐλέη σου Κύριε, * εἰς τὸν αἰῶνα ᾄσομαι.

Εἰς γενεὰν, καὶ γενεὰν, * ἀπαγγελῶ τὴν ἀλήθειάν σου, ἐν τῷ στόματί μου.

Ὅτι εἶπας, εἰς τὸν αἰῶνα ἔλεος οἰκοδομηθήσεται, * ἐν τοῖς οὐρανοῖς ἑτοιμασθήσεται ἡ ἀλήθειά σου.

Διεθέμην διαθήκην τοῖς ἐκλεκτοῖς μου, * ὤμοσα Δαβὶδ τῷ δούλῳ μου, ἕως τοῦ αἰῶνος ἑτοιμάσω τὸ σπέρμα σου.

Καὶ οἰκοδομήσω εἰς γενεὰν, * καὶ γενεὰν τὸν θρόνον σου.

Ἐξομολογήσονται οἱ οὐρανοὶ τὰ θαυμάσιά σου Κύριε, * καὶ γὰρ τὴν ἀλήθειάν σου ἐν ἐκκλησίᾳ ἁγίων.

Ὅτι



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὅτι τίς ἐν νεφέλαις ἰσωθήσεται τῷ Κυρίῳ; * ὁμοιωθήσεται τῷ Κυρίῳ ἐν υἱοῖς Θεοῦ;

Ὁ Θεὸς ἐνδοξαζόμενος ἐν βουλῇ ἁγίων, * μέγας, καὶ φοβερὸς ἐστὶν ἐπὶ πάντας τοὺς περικύκλῳ αὐτοῦ.

Κύριε ὁ Θεὸς τῶν δυνάμεων τίς ὅμοιός σοι; * δυνατὸς εἶ Κύριε, καὶ ἀλήθειά σου κύκλῳ σου.

Σὺ δεσπόζεις τοῦ κράτους τῆς θαλάσσης, * τὸν δὲ σάλον τῶν κυμάτων αὐτῆς σὺ καταπραΰνεις.

Σὺ ἐταπείνωσας ὡς τραυματίαν ὑπερήφανον, * ἐν τῷ βραχίονι τῆς δυνάμεώς σου διεσκόρπισας τοὺς ἐχθρούς σου.

Σοί εἰσιν οἱ οὐρανοί, καὶ σή ἐστιν ἡ γῆ, * τὴν οἰκουμένην, καὶ τὸ πλήρωμα αὐτῆς σὺ ἐθεμελίωσας, τὸν Βοῤῥᾶν, καὶ τὴν θάλασσαν σὺ ἔκτισας.

Θαβὼρ, καὶ Ἑρμὼν ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται, * σὸς ὁ βραχίων μετὰ δυναστείας. ***

Κραταιωθήτω ἡ χείρ σου, ὑψωθήτω ἡ δεξιά σου, * δικαιοσύνη, καὶ κρίμα ἑτοιμασία τοῦ θρόνου σου.

Ἔλεος, καὶ ἀλήθεια προπορεύσονται πρὸ προσώπου σου, * [1] μακάριος ὁ λαὸς ὁ γινώσκων ἀλαλαγμόν. ☩

Κύριε [2] ἐν τῷ φωτὶ τοῦ προσώπου σου πορεύσονται, ☩ * καὶ ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται ὅλην τὴν ἡμέραν, καὶ ἐν τῇ δικαιοσύνῃ σου ὑψωθήσονται.

Ὅτι καύχημα τῆς δυνάμεως αὐτῶν σὺ εἶ, * καὶ ἐν τῇ εὐδοκίᾳ σου ὑψωθήσεται τὸ κέρας ἡμῶν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὅτι τοῦ Κυρίου ἡ ἀντίληψις, * καὶ τοῦ ἁγίου Ἰσραὴλ βασιλέως ἡμῶν.

Τότε ἐλάλησας ἐν ὁράσει τοῖς υἱοῖς σου, καὶ εἶπας, * ἐθέμην βοήθειαν ἐπὶ δυνατόν, ὕψωσα ἐκλεκτὸν ἐκ τοῦ λαοῦ μου.

Εὗρον Δαβὶδ τὸν δοῦλόν μου, * ἐν ἐλαίῳ ἁγίῳ μου ἔχρισα αὐτόν.

Ἡ γὰρ χείρ μου συναντιλήψεται αὐτῷ, * καὶ ὁ βραχίων μου κατισχύσει αὐτόν.

Οὐκ ὠφελήσει ἐχθρὸς ἐν αὐτῷ, * καὶ υἱὸς ἀνομίας οὐ προσθήσει τοῦ κακῶσαι αὐτόν.

Καὶ συγκόψω ἀπὸ προσώπου αὐτοῦ τοὺς ἐχθροὺς αὐτοῦ, * καὶ τοὺς μισοῦντας αὐτὸν τροπώσομαι.

Καὶ ἡ ἀλήθειά μου, καὶ τὸ ἔλεός μου μετ' αὐτοῦ, * καὶ ἐν τῷ ὀνόματί μου ὑψωθήσεται τὸ κέρας αὐτοῦ.

Καὶ θήσομαι ἐν θαλάσσῃ χεῖρα αὐτοῦ, * καὶ ἐν ποταμοῖς δεξιὰν αὐτοῦ.

Αὐτὸς ἐπικαλέσεταί με, πατήρ μου εἶ σύ, * Θεός μου, καὶ ἀντιλήπτωρ τῆς σωτηρίας μου.

Κἀγὼ πρωτότοκον θήσομαι αὐτόν, * ὑψηλὸν παρὰ τοῖς βασιλεῦσι τῆς γῆς.

Εἰς τὸν αἰῶνα φυλάξω αὐτῷ τὸ ἔλεός μου, * καὶ ἡ διαθήκη μου πιστὴ αὐτῷ.

Καὶ θήσομαι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος τὸ σπέρμα αὐτοῦ, * καὶ τὸν θρόνον αὐτοῦ, ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ.

Ἐὰν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου -
Μουσείο Τυπάλδων Ιακωβάτων

Ἐὰν ἐγκαταλίπωσιν οἱ υἱοὶ αὐτοῦ τὸν νόμον μου, * καὶ τοῖς κρίμασί μου μὴ πορευθῶσιν.

Ἐὰν τὰ δικαιώματά μου βεβηλώσωσι, * καὶ τὰς ἐντολάς μου μὴ φυλάξωσιν.

Ἐπισκέψομαι ἐν ῥάβδῳ τὰς ἀνομίας αὐτῶν, * καὶ ἐν μάστιξι τὰς ἀδικίας αὐτῶν.

Τὸ δὲ ἔλεός μου οὐ μὴ διασκεδάσω ἀπ᾽ αὐτῶν, * οὐδ᾽ οὐ μὴ ἀδικήσω ἐν τῇ ἀληθείᾳ μου.

Οὐδ᾽ οὐ μὴ βεβηλώσω τὴν διαθήκην μου, * καὶ τὰ ἐκπορευόμενα διὰ τῶν χειλέων μου οὐ μὴ ἀθετήσω.

Ἅπαξ ὤμοσα ἐν ἁγίῳ μου, εἰ τῷ Δαβὶδ ψεύσομαι; * τὸ σπέρμα αὐτοῦ εἰς τὸν αἰῶνα μενεῖ.

Καὶ ὁ θρόνος αὐτοῦ ὡς ὁ ἥλιος ἐναντίον μου, * καὶ ὡς ἡ σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα, καὶ ὁ μάρτυς ἐν οὐρανῷ πιστός.

Σὺ δὲ ἀπώσω, καὶ ἐξουδένωσας, * ἀνεβάλου τὸν Χριστόν σου.

Κατέστρεψας τὴν διαθήκην τοῦ δούλου σου, * ἐβεβήλωσας εἰς τὴν γῆν τὸ ἁγίασμα αὐτοῦ.

Καθεῖλες πάντας τοὺς φραγμοὺς αὐτοῦ, * ἔθου τὰ ὀχυρώματα αὐτοῦ δειλίαν.

Διήρπαζον αὐτὸν πάντες οἱ διοδεύοντες ὁδόν, * ἐγενήθη ὄνειδος τοῖς γείτοσιν αὐτοῦ.

Ὕψωσας τὴν δεξιὰν τῶν θλιβόντων αὐτόν, * εὔφρανας πάντας τοὺς ἐχθροὺς αὐτοῦ.

Ἀπέστρεψας τὴν βοήθειαν τῆς ῥομφαίας αὐτοῦ, * καὶ οὐκ ἀντελάβου αὐτοῦ ἐν τῷ πολέμῳ.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Κατέλυσας ἀπὸ καθαρισμοῦ αὐτὸν, * τὸν θρόνον αὐτοῦ, εἰς τὴν γῆν κατέῤῥαξας.

Ἐσμίκρυνας τὰς ἡμέρας τοῦ χρόνου αὐτοῦ, * κατέχεας αὐτοῦ αἰσχύνην.

Ἕως πότε Κύριε ἀποστρέφῃ εἰς τέλος, * ἐκκαυθήσεται ὡς πῦρ ἡ ὀργή σου;

Μνήσθητι τίς μου ἡ ὑπόστασις, * μὴ γὰρ ματαίως ἔκτισας πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων;

Τίς ἐστιν ἄνθρωπος, ὃς ζήσεται, * καὶ οὐκ ὄψεται θάνατον; ῥύσεται τὴν ψυχὴν αὐτοῦ ἐκ χειρὸς ᾅδου;

Ποῦ εἰσι τὰ ἐλέη σου τὰ ἀρχαῖα Κύριε, * ἃ ὤμοσας τῷ Δαβὶδ ἐν τῇ ἀληθείᾳ σου;

Μνήσθητι Κύριε τοῦ ὀνειδισμοῦ τῶν δούλων σου, * οὗ ὑπέσχον ἐν τῷ κόλπῳ μου πολλῶν ἐθνῶν.

Οὗ ὠνείδισαν οἱ ἐχθροί σου Κύριε, * οὗ ὠνείδισαν τὸ ἀντάλλαγμα τοῦ Χριστοῦ σου.

Εὐλογητὸς Κύριος εἰς τὸν αἰῶνα, * γένοιτο γένοιτο. Δόξα καὶ νῦν. Ἀλλ. ἀλλ. ἀλλ. Δόξα σοὶ ὁ Θεὸς γ'.

Ψαλ. πθ'. 89.

ΚΥριε καταφυγή. Λέλεκτ. εἰς τὴν πρώτην ὥραν. φυλ. 120.

Ψαλ. ϛ'. 90.

ΟΚατοικῶν ἐν βοηθείᾳ. Λέλεκτ. εἰς τὴν ἕκτ. ὥραν. φυλ. 143.

Ψαλ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ψαλ. ϛα'. 91.

ΑΓαθὸν τὸ [1] ἐξομολογεῖσθαι τῷ Κυρίῳ, * καὶ τοῦ ψάλλειν τῷ ὀνόματί σου Ὕψιστε.

Τοῦ [2] ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου, * καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα.

Ἐν δεκαχόρδῳ ψαλτηρίῳ, * μετ' ᾠδῆς ἐν κιθάρᾳ.

Ὅτι εὔφρανάς με Κύριε ἐν τῷ ποιήματί σου, * καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν σου ἀγαλλιάσομαι.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου Κύριε, * σφόδρα ἐβαθύνθησαν οἱ διαλογισμοί σου.

Ἀνὴρ ἄφρων οὐ γνώσεται, * καὶ ἀσύνετος οὐ συνήσει ταῦτα.

Ἐν τῷ ἀνατεῖλαι ἁμαρτωλοὺς ὡσεὶ χόρτον, * καὶ διέκυψαν πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν.

Ὅπως ἂν ἐξολοθρευθῶσιν εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, * σὺ δὲ ὕψιστος εἰς τὸν αἰῶνα Κύριε.

Ὅτι ἰδοὺ οἱ ἐχθροί σου Κύριε, ὅτι ἰδοὺ οἱ ἐχθροί σου ἀπολοῦνται, * καὶ διασκορπισθήσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν.

Καὶ ὑψωθήσεται ὡς μονοκέρωτος τὸ κέρας μου, * καὶ τὸ γῆράς μου ἐν ἐλαίῳ πίονι.

Καὶ ἐπεῖδεν ὁ ὀφθαλμός μου ἐν τοῖς ἐχθροῖς μου, * καὶ ἐν τοῖς ἐπανισταμένοις ἐπ' ἐμὲ πονηρευομένοις ἀκούσεται τὸ οὖς μου.

Δίκαιος ὡς φοίνιξ ἀνθήσει, * ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται. ***



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Πεφυτευμένοι ἐν τῷ οἴκῳ Κυρίου, * ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσουσιν.

Ἔτι πληθυνθήσονται ἐν γήρει πίονι, * καὶ εὐπαθοῦντες ἔσονται τοῦ ἀναγγεῖλαι.

Ὅτι εὐθὺς Κύριος, ὁ Θεὸς ἡμῶν, * καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ.

Ψαλ. ϟβ΄. 92.

Ὁ Κύριος [1] ἐβασίλευσεν εὐπρέπειαν ἐνεδύσατο, * [2] ἐνεδύσατο Κύριος δύναμιν, καὶ περιεζώσατο. † †

Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, * ἥτις οὐ σαλευθήσεται.

Ἕτοιμος ὁ θρόνος σου ἀπὸ τότε, * ἀπὸ τοῦ αἰῶνος σὺ εἶ.

Ἐπῆραν οἱ ποταμοὶ Κύριε, ἐπῆραν οἱ ποταμοὶ φωνὰς αὐτῶν, * ἀροῦσιν οἱ ποταμοὶ ἐπιτρίψεις αὐτῶν ἀπὸ φωνῶν ὑδάτων πολλῶν.

Θαυμαστοὶ οἱ μετεωρισμοὶ τῆς θαλάσσης, * θαυμαστὸς ἐν ὑψηλοῖς ὁ Κύριος.

Τὰ μαρτύριά σου ἐπιστώθησαν σφόδρα, * τῷ οἴκῳ σου πρέπει ἁγίασμα Κύριε εἰς μακρότητα ἡμερῶν.

Ψαλ. ϟγ΄. 93.

Θεὸς [1] ἐκδικήσεων Κύριος, * Θεὸς ἐκδικήσεων ἐπαῤῥησιάσατο. †

Ὑψώθητι [2] ὁ Κρίνων τὴν γῆν, * ἀπόδος ἀνταπόδοσιν τοῖς ὑπερηφάνοις. †

Ἕως

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἕως πότε ἁμαρτωλοὶ Κύριε; * ἕως πότε ἁμαρτωλοὶ καυχήσονται;

Φθέγξονται, καὶ λαλήσουσιν ἀδικίαν, * λαλήσουσι πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν.

Τὸν λαόν σου Κύριε ἐταπείνωσαν, * καὶ τὴν κληρονομίαν σου ἐκάκωσαν.

Χήραν, καὶ ὀρφανὸν ἀπέκτειναν, * καὶ προσήλυτον ἐφόνευσαν.

Καὶ εἶπαν, οὐκ ὄψεται Κύριος, * οὐδὲ συνήσει ὁ Θεὸς τοῦ Ἰακώβ.

Σύνετε δὴ ἄφρονες ἐν τῷ λαῷ, * καὶ μωροὶ ποτὲ φρονήσατε.

Ὁ φυτεύσας τὸ οὖς οὐχὶ ἀκούει; * ἢ ὁ πλάσας τὸν ὀφθαλμὸν οὐχὶ κατανοεῖ;

Ὁ παιδεύων ἔθνη, οὐχὶ ἐλέγξει; * ὁ διδάσκων ἄνθρωπον γνῶσιν.

Κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν ἀνθρώπων, * ὅτι εἰσὶ μάταιοι.

Μακάριος ἄνθρωπος, ὃν ἂν παιδεύσῃς Κύριε, * καὶ ἐκ τοῦ νόμου σου διδάξῃς αὐτόν.

Τοῦ πραΰναι αὐτὸν ἀφ ἡμερῶν πονηρῶν, * ἕως οὗ ὀρυγῇ τῷ ἁμαρτωλῷ βόθρος.

Ὅτι οὐκ ἀπώσεται Κύριος τὸν λαὸν αὐτοῦ, * καὶ τὴν κληρονομίαν αὐτοῦ οὐκ ἐγκαταλείψει.

Ἕως οὗ δικαιοσύνη ἐπιστρέψει εἰς κρίσιν, * καὶ ἐχόμενοι αὐτῆς πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Τίς ἀναστήσεταί μοι ἐπὶ πονηρευομένοις; * ἢ τίς συμπαραστήσεταί μοι ἐπὶ τοῖς ἐργαζομένοις τὴν ἀνομίαν.
Εἰ μὴ ὅτι Κύριος ἐβοήθησέ μοι, * παραβραχὺ παρῴκησε τῷ ᾅδῃ ἡ ψυχή μου.
Εἰ ἔλεγον, σεσάλευται ὁ πούς μου, * τὸ ἔλεός σου Κύριε ἐβοήθει μοι.
Κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν μου ἐν τῇ καρδίᾳ μου, * αἱ παρακλήσεις σου εὔφραναν τὴν ψυχήν μου.
Μὴ συμπαρέσεταί σοι θρόνος ἀνομίας, * ὁ πλάσσων κόπον ἐπὶ πρόσταγμα.
Θηρεύσουσιν ἐπὶ ψυχὴν δικαίου, * καὶ αἷμα ἀθῷον καταδικάσονται.
Καὶ ἐγένετό μοι Κύριος εἰς καταφυγὴν, * καὶ ὁ Θεός μου εἰς βοηθὸν ἐλπίδος μου.
Καὶ ἀποδώσει αὐτοῖς Κύριος τὴν ἀνομίαν αὐτῶν, * καὶ κατὰ τὴν πονηρίαν αὐτῶν ἀφανιεῖ αὐτοὺς Κύριος ὁ Θεός.
Δόξα καὶ νῦν. Ἀλλ. ἀλλ.

Ψαλ. ϟδʹ. 94.

Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, * ἀλαλάξωμεν τῷ Θεῷ τῷ σωτῆρι ἡμῶν. *
Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, * καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ. *
Ὅτι Θεὸς μέγας Κύριος, καὶ βασιλεὺς μέγας ἐπὶ πάντας τοὺς Θεοὺς, * ὅτι οὐκ ἀπώσεται Κύριος τὸν λαὸν αὐτοῦ. *

Ὅτι

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὅτι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς, * καὶ τὰ ὕψη τῶν ὀρέων αὐτοῦ εἰσιν.

Ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα, καὶ αὐτὸς ἐποίησεν αὐτήν, * καὶ τὴν ξηρὰν αἱ χεῖρες αὐτοῦ ἔπλασαν.

Δεῦτε προσκυνήσωμεν, καὶ προσπέσωμεν αὐτῷ, * καὶ κλαύσωμεν ἐναντίον Κυρίου τοῦ ποιήσαντος ἡμᾶς.

Ὅτι αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν, * καὶ ἡμεῖς λαὸς αὐτοῦ, καὶ πρόβατα χειρὸς αὐτοῦ.

Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, * μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν.

Ὡς ἐν τῷ παραπικρασμῷ, * κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ.

Οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν, * ἐδοκίμασάν με, καὶ εἶδον τὰ ἔργα μου.

Τεσσαράκοντα ἔτη προσώχθισα τῇ γενεᾷ ἐκείνῃ, * καὶ εἶπα, ἀεὶ πλανῶνται τῇ καρδίᾳ.

Αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου, ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, * εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου.

## Ψαλ. ςε'. 95.

Ἄσατε [1] τῷ Κυρίῳ ᾆσμα καινόν, * ᾄσατε τῷ ☩ Κυρίῳ πᾶσα ἡ γῆ.

Ἄσατε τῷ [2] Κυρίῳ, εὐλογήσατε τὸ ὄνομα αὐτοῦ, * ☩ εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον αὐτοῦ. ***

Ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὴν δόξαν αὐτοῦ, * ἐν πᾶσι τοῖς λαοῖς τὰ θαυμάσια αὐτοῦ.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὅτι μέγας Κύριος, καὶ αἰνετὸς σφόδρα, * φοβερός ἐστιν ὑπὲρ πάντας τοὺς Θεούς.

Ὅτι πάντες οἱ θεοὶ τῶν ἐθνῶν δαιμόνια, * ὁ δὲ Κύριος τοὺς οὐρανοὺς ἐποίησεν.

Ἐξομολόγησις, καὶ ὡραιότης ἐνώπιον αὐτοῦ, * ἁγιωσύνη, καὶ μεγαλοπρέπεια ἐν τῷ ἁγιάσματι αὐτοῦ.

Ἐνέγκατε τῷ Κυρίῳ αἱ πατριαὶ τῶν ἐθνῶν, * ἐνέγκατε τῷ Κυρίῳ δόξαν, καὶ τιμήν, ἐνέγκατε τῷ Κυρίῳ δόξαν ὀνόματι αὐτοῦ.

Ἄρατε θυσίας, καὶ εἰσπορεύεσθε εἰς τὰς αὐλὰς αὐτοῦ, * προσκυνήσατε τῷ Κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ.

Σαλευθήτω ἀπὸ προσώπου αὐτοῦ πᾶσα ἡ γῆ, * εἴπατε ἐν τοῖς ἔθνεσιν, ὅτι Κύριος ἐβασίλευσε.

Καὶ γὰρ κατώρθωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται, * κρινεῖ λαοὺς ἐν εὐθύτητι.

Εὐφραινέσθωσαν οἱ οὐρανοί, καὶ ἀγαλλιάσθω ἡ γῆ, * σαλευθήτω ἡ θάλασσα, καὶ τὸ πλήρωμα αὐτῆς, χαρήσεται τὰ πεδία, καὶ πάντα τὰ ἐν αὐτοῖς.

Τότε ἀγαλλιάσονται πάντα τὰ ξύλα τοῦ δρυμοῦ ἀπὸ προσώπου Κυρίου, * ὅτι ἔρχεται, ὅτι ἔρχεται κρῖναι τὴν γῆν.

Κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, * καὶ λαοὺς ἐν τῇ ἀληθείᾳ αὐτοῦ.

## Ψαλ. ϞϚʹ. 96.

Ὁ Κύριος [1] ἐβασίλευσεν, ἀγαλλιάσθω ἡ γῆ, * [2] εὐφρανθήτωσαν νῆσοι πολλαί. † †



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Νεφέλη, καὶ γνόφος κύκλῳ αὐτοῦ, * δικαιοσύνη, καὶ κρίμα κατόρθωσις τοῦ θρόνου αὐτοῦ.

Πῦρ ἐνώπιον αὐτοῦ προπορεύσεται, * φλογιεῖ κύκλῳ τοὺς ἐχθροὺς αὐτοῦ.

Ἔφαναν αἱ ἀστραπαὶ αὐτοῦ τῇ οἰκουμένῃ, * εἶδε, καὶ ἐσαλεύθη ἡ γῆ.

Τὰ ὄρη ὡσεὶ κηρὸς ἐτάκησαν ἀπὸ προσώπου Κυρίου, * ἀπὸ προσώπου Κυρίου πάσης τῆς γῆς.

Ἀνήγγειλαν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ, * καὶ εἴδοσαν πάντες οἱ λαοὶ τὴν δόξαν αὐτοῦ. ***

Αἰσχυνθήτωσαν πάντες οἱ προσκυνοῦντες τοῖς γλυπτοῖς, * οἱ ἐγκαυχώμενοι ἐν τοῖς εἰδώλοις αὐτῶν.

Προσκυνήσατε αὐτῷ πάντες Ἄγγελοι αὐτοῦ, * ἤκουσε, καὶ εὐφράνθη Σιών.

Καὶ ἠγαλλιάσαντο αἱ θυγατέρες τῆς Ἰουδαίας, * ἕνεκεν τῶν κριμάτων σου Κύριε.

Ὅτι σὺ Κύριος ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν, * σφόδρα ὑπερυψώθης ὑπὲρ πάντας τοὺς Θεούς.

Οἱ ἀγαπῶντες τὸν Κύριον, μισεῖτε πονηρά, * φυλάσσει Κύριος τὰς ψυχὰς τῶν ὁσίων αὐτοῦ, ἐκ χειρὸς ἁμαρτωλοῦ ῥύσεται αὐτούς.

Φῶς ἀνέτειλε τῷ δικαίῳ, * καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ εὐφροσύνη. ***

Εὐφράνθητε δίκαιοι ἐν τῷ Κυρίῳ, * καὶ ἐξομολογεῖσθε τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτοῦ.

Δόξα καὶ νῦν. Ἀλλ. ἀλλ.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

# ΚΑΘΙΣΜΑ ΕΝΔΕΚΑΤΟΝ
## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ
# ΤΗΣ ΑΥΤΗΣ ΠΑΡΑΣΚΕΥ.
## ΔΕΥΤΕΡΟΝ ΜΕΝ

Ἐν τῇ μεγάλ. μ΄. ὅπως λέγονται τὰ κάθ. δύο, ἔξω δὲ αὐτῆς, κάθισμα μόνον, ἐν τοῖς ἤχοις Β΄. Δ΄. ΠΛ.Β΄. ΠΛ.Δ΄.

Ψαλ. ϛζ΄. 97.

Ἄσατε [1] τῷ Κυρίῳ ᾆσμα καινὸν, * ὅτι θαυμαστὰ ἐποίησεν ὁ Κύριος.

Ἔσωσεν [2] αὐτὸν ἡ δεξιὰ αὐτοῦ, * καὶ ὁ βραχίων ὁ ἅγιος αὐτοῦ.

Ἐγνώρισε Κύριος τὸ σωτήριον αὐτοῦ, * ἐναντίον τῶν ἐθνῶν ἀπεκάλυψε τὴν δικαιοσύνην αὐτοῦ. ***

Ἐμνήσθη τοῦ ἐλέους αὐτοῦ τῷ Ἰακὼβ, * καὶ τῆς ἀληθείας αὐτοῦ τῷ οἴκῳ Ἰσραήλ.

Εἴδοσαν πάντα τὰ πέρατα τῆς γῆς, * τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν.

Ἀλαλάξατε τῷ Θεῷ πᾶσα ἡ γῆ, * ᾄσατε, καὶ ἀγαλλιᾶσθε, καὶ ψάλατε.

Ψάλατε τῷ Κυρίῳ ἐν κιθάρᾳ, ἐν κιθάρᾳ, καὶ φωνῇ ψαλμοῦ, * ἐν σάλπιγξιν ἐλαταῖς, καὶ φωνῇ σάλπιγγος κερατίνης.

Ἀλαλάξατε ἐνώπιον τοῦ βασιλέως Κυρίου, * σαλευθήτω

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

θήτω ἡ θάλασσα, καὶ τὸ πλήρωμα αὐτῆς, ἡ οἰκουμένη, καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ.

Ποταμοὶ κροτήσουσι χειρὶ ἐπὶ τὸ αὐτὸ, τὰ ὄρη ἀγαλλιάσονται, ἀπὸ προσώπου Κυρίου, * ὅτι ἔρχεται, ὅτι ἥκει κρῖναι τὴν γῆν.

Κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, * καὶ λαοὺς ἐν εὐθύτητι.

Ψαλ. ϞΗʹ. 98.

Ὁ Κύριος[2] ἐβασίλευσεν, ὀργιζέσθωσαν λαοί, * ✝ ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ, σαλευθήτω ἡ γῆ.

Κύριος ἐν Σιὼν μέγας, * καὶ ὑψηλός ἐστιν ἐπὶ πάντας τοὺς λαούς.

Ἐξομολογησάσθωσαν τῷ ὀνόματί σου τῷ μεγάλῳ, ὅτι φοβερὸν, καὶ ἅγιόν ἐστι, * καὶ τιμὴ βασιλέως κρίσιν ἀγαπᾷ.

Σὺ ἡτοίμασας εὐθύτητας, * κρίσιν, καὶ δικαιοσύνην ἐν Ἰακὼβ σὺ ἐποίησας.

Ὑψοῦτε[1] Κύριον τὸν Θεὸν ἡμῶν, * καὶ προσκυνεῖτε ✝ τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ὅτι ἅγιός ἐστι. * * *

Μωϋσῆς, καὶ Ἀαρὼν ἐν τοῖς Ἱερεῦσιν αὐτοῦ, * καὶ Σαμουὴλ ἐν τοῖς ἐπικαλουμένοις τὸ ὄνομα αὐτοῦ. * * *

Ἐπεκαλοῦντο τὸν Κύριον, καὶ αὐτὸς εἰσήκουσεν αὐτῶν, * ἐν στύλῳ νεφέλης ἐλάλει πρὸς αὐτούς.

Ὅτι ἐφύλασσον τὰ μαρτύρια αὐτοῦ, * καὶ τὰ προστάγματα αὐτοῦ, ἃ ἔδωκεν αὐτοῖς.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου -
Μουσείο Τυπάλδων Ιακωβάτων

Κύριε ὁ Θεὸς ἡμῶν σὺ ἐπήκουες αὐτῶν, * ὁ Θεὸς σὺ εὐίλατος ἐγίνου αὐτοῖς, * καὶ ἐκδικῶν ἐπὶ πάντα τὰ ἐπιτηδεύματα αὐτῶν.

Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν, * καὶ προσκυνεῖτε εἰς ὄρος ἅγιον αὐτοῦ, ὅτι ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν.

Ψαλ. ϟθʹ. 99.

Ἀλαλάξατε ¹ τῷ Θεῷ, πᾶσα ἡ γῆ, * ² δουλεύσατε τῷ Κυρίῳ, ἐν εὐφροσύνῃ. *** ✝ ✝

Εἰσέλθετε ἐνώπιον αὐτοῦ, * ἐν ἀγαλλιάσει.

Γνῶτε ὅτι Κύριος αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν * αὐτὸς ἐποίησεν ἡμᾶς, καὶ οὐχ ἡμεῖς.

Ἡμεῖς δὲ λαὸς αὐτοῦ, * καὶ πρόβατα νομῆς αὐτοῦ.

Εἰσέλθετε εἰς τὰς πύλας αὐτοῦ ἐν ἐξομολογήσει, * εἰς τὰς αὐλὰς αὐτοῦ ἐν ὕμνοις, ἐξομολογεῖσθε αὐτῷ.

Αἰνεῖτε τὸ ὄνομα αὐτοῦ, ὅτι χρηστὸς Κύριος, * εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ, καὶ ἕως γενεᾶς, καὶ γενεᾶς ἡ ἀλήθεια αὐτοῦ.

Ψαλ. ρʹ. 100.

Ἔλεον καὶ κρίσιν ᾄσομαί σοι. λέλεκτ. εἰς τ̃ ὀρθ. αʹ φύλ. 122.

Ψαλ. ραʹ 101.

Κύριε ¹ εἰσάκουσον τῆς προσευχῆς μου, * καὶ ἡ ✝ κραυγή μου πρὸς σὲ ἐλθέτω. * ✝

Μὴ ἀποστρέψῃς ² τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, ἐν ᾗ ἂν ἡμέρᾳ θλίβωμαι, κλῖνον πρός με τὸ οὖς σου.

Ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαι, * ταχὺ ἐπάκουσόν μου.

Ὅτι

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὅτι ἐξέλιπον ὡσεὶ καπνὸς αἱ ἡμέραι μου, * καὶ τὰ ὀστᾶ μου ὡσεὶ φρύγιον συνεφρύγησαν.

Ἐπλήγην ὡσεὶ χόρτος, καὶ ἐξηράνθη ἡ καρδία μου, * ὅτι ἐπελαθόμην τοῦ φαγεῖν τὸν ἄρτον μου.

Ἀπὸ φωνῆς τοῦ στεναγμοῦ, * ἐκολλήθη τὸ ὀστοῦν μου τῇ σαρκί μου.

Ὡμοιώθην πελεκᾶνι ἐρημικῷ, * ἐγενήθην ὡσεὶ νυκτικόραξ ἐν οἰκοπέδῳ.

Ἠγρύπνησα, * καὶ ἐγενόμην ὡς στρουθίον μονάζων ἐπὶ δώματος.

Ὅλην τὴν ἡμέραν ὠνείδιζόν με οἱ ἐχθροί μου, * καὶ οἱ ἐπαινοῦντές με κατ᾽ ἐμοῦ ὤμνυον.

Ὅτι σποδὸν ὡσεὶ ἄρτον ἔφαγον, * καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐκίρνων.

Ἀπὸ προσώπου τῆς ὀργῆς σου, καὶ τοῦ θυμοῦ σου, * ὅτι ἐπάρας κατέρραξάς με.

Αἱ ἡμέραι μου ὡσεὶ σκιὰ ἐκλίθησαν, * κἀγὼ ὡσεὶ χόρτος ἐξηράνθην.

Σὺ δὲ Κύριε εἰς τὸν αἰῶνα μένεις, * καὶ τὸ μνημόσυνόν σου εἰς γενεὰν, καὶ γενεάν.

Σὺ ἀναστὰς οἰκτειρήσεις τὴν Σιών, * ὅτι καιρὸς τοῦ οἰκτειρῆσαι αὐτήν, ὅτι ἥκει καιρός.

Ὅτι εὐδόκησαν οἱ δοῦλοί σου τοὺς λίθους αὐτῆς, * καὶ τὸν χοῦν αὐτῆς οἰκτειρήσουσι.

Καὶ φοβηθήσονται τὰ ἔθνη τὸ ὄνομα Κυρίου, * καὶ πάντες οἱ βασιλεῖς τῆς γῆς τὴν δόξαν σου.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὅτι οἰκοδομήσει Κύριος τὴν Σιών, *καὶ ὀφθήσεται ἐν τῇ δόξῃ αὐτοῦ.

Ἐπέβλεψεν ἐπὶ τὴν προσευχὴν τῶν ταπεινῶν, *καὶ οὐκ ἐξουδένωσε τὴν δέησιν αὐτῶν.

Γραφήτω αὕτη εἰς γενεὰν ἑτέραν, *καὶ λαὸς ὁ κτιζόμενος αἰνέσει τὸν Κύριον.

Ὅτι ἐξέκυψεν ἐξ ὕψους ἁγίου αὐτοῦ, *Κύριος ἐξ οὐρανοῦ ἐπὶ τὴν γῆν ἐπέβλεψε.

Τοῦ ἀκοῦσαι τοῦ στεναγμοῦ τῶν πεπεδημένων, *τοῦ λῦσαι τοὺς υἱοὺς τῶν τεθανατωμένων.

Τοῦ ἀναγγεῖλαι ἐν Σιὼν τὸ ὄνομα Κυρίου, *καὶ τὴν αἴνεσιν αὐτοῦ ἐν Ἱερουσαλήμ.

Ἐν τῷ ἐπισυναχθῆναι λαοὺς ἐπὶ τὸ αὐτό, *καὶ βασιλεῖς τοῦ δουλεύειν τῷ Κυρίῳ.

Ἀπεκρίθη αὐτῷ ἐν ὁδῷ ἰσχύος αὐτοῦ, *τὴν ὀλιγότητα τῶν ἡμερῶν μου ἀνάγγειλόν μοι.

Μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου, *ἐν γενεᾷ γενεῶν τὰ ἔτη σου.

Κατ' ἀρχὰς σὺ Κύριε τὴν γῆν ἐθεμελίωσας, *καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί.

Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις, *καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται.

Καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτούς, καὶ ἀλλαγήσονται, *σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν.

Οἱ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ο υἱοὶ τῶν δούλων σου κατασκηνώσουσι, * καὶ τὸ σπέρμα αὐτῶν εἰς τὸν αἰῶνα κατευθυνθήσεται.

Δόξα καὶ νῦν. Ἀλλ. ἀλλ. ἀλλ. Δόξα σοι ὁ Θεός, γ΄.

Ψαλ. ρβ΄. 102.

Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον. λέλεκτ. εἰς τὸν ὄρθ. φύλ. 7.

Ψαλ. ργ΄. 103.

Εὐλόγει ἡ ψυχή μου. λέλεκτ. εἰς τὴν ἑσπέραν. φύλ. 157.

Ψαλ. ρδ΄. 104.

Ἐξομολογεῖσθε [2] τῷ Κυρίῳ, καὶ ἐπικαλεῖσθε τὸ ✠ ὄνομα αὐτοῦ, * ἀπαγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἔργα αὐτοῦ.

Ἄσατε αὐτῷ, καὶ ψάλατε αὐτῷ, * διηγήσασθε πάντα τὰ θαυμάσια αὐτοῦ.

Ἐπαινεῖσθε ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ, * [1] εὐφρανθήτω καρδία ζητούντων τὸν Κύριον. ✠

Ζητήσατε τὸν Κύριον, καὶ κραταιώθητε, * ζητήσατε τὸ πρόσωπον αὐτοῦ διαπαντός.

Μνήσθητε τῶν θαυμασίων αὐτοῦ, ὧν ἐποίησε, * τὰ τέρατα αὐτοῦ, καὶ τὰ κρίματα τοῦ στόματος αὐτοῦ.

Σπέρμα Ἀβραὰμ δοῦλοι αὐτοῦ, * υἱοὶ Ἰακὼβ ἐκλεκτοὶ αὐτοῦ.

Αὐτὸς Κύριος ὁ Θεὸς ἡμῶν, * ἐν πάσῃ τῇ γῇ τὰ κρίματα αὐτοῦ.

Ἐμνήσθη εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ, * λόγου, οὗ ἐνετείλατο εἰς χιλίας γενεάς.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὃν διέθετο τῷ Ἀβραάμ, * καὶ τοῦ ὅρκου αὐτοῦ τῷ Ἰσαάκ.

Καὶ ἔστησεν αὐτὸν τῷ Ἰακὼβ εἰς πρόσταγμα, * καὶ τῷ Ἰσραὴλ εἰς διαθήκην αἰώνιον.

Λέγων, σοὶ δώσω τὴν γῆν Χαναάν, * σχοίνισμα κληρονομίας ὑμῶν.

Ἐν τῷ εἶναι αὐτοὺς ἀριθμῷ βραχεῖς, * ὀλιγοστοὺς, καὶ παροίκους ἐν αὐτῇ.

Καὶ διῆλθεν ἐξ ἔθνους εἰς ἔθνος, * καὶ ἐκ βασιλείας εἰς λαὸν ἕτερον.

Οὐκ ἀφῆκεν ἄνθρωπον ἀδικῆσαι αὐτοὺς, * καὶ ἤλεγξεν ὑπὲρ αὐτῶν βασιλεῖς.

Μὴ ἅπτεσθε τῶν χριστῶν μου, * καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε.

Καὶ ἐκάλεσε λιμὸν ἐπὶ τὴν γῆν, * πᾶν στήριγμα ἄρτου συνέτριψεν.

Ἀπέστειλεν ἔμπροσθεν αὐτῶν ἄνθρωπον, * εἰς δοῦλον ἐπράθη Ἰωσήφ.

Ἐταπείνωσαν ἐν πέδαις τοὺς πόδας αὐτοῦ, σίδηρον διῆλθεν ἡ ψυχὴ αὐτοῦ, * μέχρι τοῦ ἐλθεῖν τὸν λόγον αὐτοῦ.

Τὸ λόγιον Κυρίου ἐπύρωσεν αὐτὸν, * ἀπέστειλε βασιλεὺς, καὶ ἔλυσεν αὐτὸν, ἄρχων λαοῦ, καὶ ἀφῆκεν αὐτόν.

Κατέστησεν αὐτὸν κύριον τοῦ οἴκου αὐτοῦ, * καὶ ἄρχοντα πάσης τῆς κτήσεως αὐτοῦ.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Τοῦ παιδεῦσαι τοὺς ἄρχοντας αὐτοῦ ὡς ἑαυτὸν, * καὶ τοὺς πρεσβυτέρους αὐτοῦ σοφίσαι.

Καὶ εἰσῆλθεν Ἰσραὴλ εἰς Αἴγυπτον, * καὶ Ἰακὼβ παρῴκησεν ἐν γῇ Χάμ.

Καὶ ηὔξησε τὸν λαὸν αὐτοῦ σφόδρα, * καὶ ἐκραταίωσεν αὐτὸν ὑπὲρ τοὺς ἐχθροὺς αὐτοῦ.

Μετέστρεψε τὴν καρδίαν αὐτοῦ, τοῦ μισῆσαι τὸν λαὸν αὐτοῦ, * τοῦ δολιοῦσθαι ἐν τοῖς δούλοις αὐτοῦ.

Ἐξαπέστειλε Μωϋσῆν τὸν δοῦλον αὐτοῦ, * Ἀαρὼν, ὃν ἐξελέξατο ἑαυτῷ.

Ἔθετο ἐν αὐτοῖς τοὺς λόγους τῶν σημείων αὐτοῦ, * καὶ τῶν τεράτων αὐτοῦ ἐν γῇ Χάμ.

Ἐξαπέστειλε σκότος, καὶ ἐσκότασεν, * ὅτι παρεπίκραναν τοὺς λόγους αὐτοῦ.

Μετέστρεψε τὰ ὕδατα αὐτῶν εἰς αἷμα, * καὶ ἀπέκτεινε τοὺς ἰχθύας αὐτῶν.

Ἐξῆψεν ἡ γῆ αὐτῶν βατράχους * ἐν τοῖς ταμείοις τῶν βασιλέων αὐτῶν.

Εἶπε, καὶ ἦλθε κυνόμυια, * καὶ σκνίπες ἐν πᾶσι τοῖς ὁρίοις αὐτῶν.

Ἔθετο τὰς βροχὰς αὐτῶν χάλαζαν, * πῦρ καταφλέγον ἐν τῇ γῇ αὐτῶν.

Καὶ ἐπάταξε τὰς ἀμπέλους αὐτῶν, καὶ τὰς συκᾶς αὐτῶν, * καὶ συνέτριψε πᾶν ξύλον ὁρίου αὐτῶν.

Εἶπε, καὶ ἦλθεν ἀκρὶς, καὶ βροῦχος, * οὗ οὐκ ἦν ἀριθμός.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Καὶ κατέφαγε πάντα χόρτον ἐν τῇ γῇ αὐτῶν, * καὶ κατέφαγε πάντα τὸν καρπὸν τῆς γῆς αὐτῶν.

Καὶ ἐπάταξε πᾶν πρωτότοκον ἐν τῇ γῇ αὐτῶν, * ἀπαρχὴν παντὸς πόνου αὐτῶν.

Καὶ ἐξήγαγεν αὐτοὺς ἐν ἀργυρίῳ, καὶ χρυσίῳ, * καὶ οὐκ ἦν ἐν ταῖς φυλαῖς αὐτῶν ὁ ἀσθενῶν.

Εὐφράνθη Αἴγυπτος ἐν τῇ ἐξόδῳ αὐτῶν, * ὅτι ἐπέπεσεν ὁ φόβος αὐτῶν ἐπ᾽ αὐτούς.

Διεπέτασε νεφέλην εἰς σκέπην αὐτοῖς, * καὶ πῦρ τοῦ φωτίσαι αὐτοῖς τὴν νύκτα.

Ἤτησαν, καὶ ἦλθεν ὀρτυγομήτρα, * καὶ ἄρτον οὐρανοῦ ἐνέπλησεν αὐτούς.

Διέῤῥηξε πέτραν, καὶ ἐῤῥύησαν ὕδατα, * ἐπορεύθησαν ἐν ἀνύδροις ποταμοί.

Ὅτι ἐμνήσθη τοῦ λόγου τοῦ ἁγίου αὐτοῦ, * τοῦ πρὸς Ἀβραὰμ τὸν δοῦλον αὐτοῦ.

Καὶ ἐξήγαγε τὸν λαὸν αὐτοῦ ἐν ἀγαλλιάσει, * καὶ τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐν εὐφροσύνῃ.

Καὶ ἔδωκεν αὐτοῖς χώρας ἐθνῶν, * καὶ πόνους λαῶν κατεκληρονόμησαν.

Ὅπως ἂν φυλάξωσι τὰ δικαιώματα αὐτοῦ, * καὶ τὸν νόμον αὐτοῦ ἐκζητήσωσιν,

Δόξα καὶ νῦν. Ἀλλ. ἀλλ.

Ψαλ. ρε᾽. 105.

Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι χρηστὸς, * ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Τίς λαλήσει τὰς δυναστείας τοῦ Κυρίου, * ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ.

Μακάριοι οἱ φυλάσσοντες κρίσιν, * καὶ ποιοῦντες δικαιοσύνην ἐν παντὶ καιρῷ.

Μνήσθητι ἡμῶν Κύριε ἐν τῇ εὐδοκίᾳ τοῦ λαοῦ σου, * ἐπίσκεψαι ἡμᾶς ἐν τῷ σωτηρίῳ σου.

Τοῦ ἰδεῖν ἐν τῇ χρηστότητι τῶν ἐκλεκτῶν σου, τοῦ εὐφρανθῆναι ἐν τῇ εὐφροσύνῃ τοῦ ἔθνους σου, * τοῦ ἐπαινεῖσθαι μετὰ τῆς κληρονομίας σου.

Ἡμάρτομεν μετὰ τῶν πατέρων ἡμῶν, * ἠνομήσαμεν, ἠδικήσαμεν.

Οἱ πατέρες ἡμῶν ἐν Αἰγύπτῳ οὐ συνῆκαν τὰ θαυμάσιά σου, * οὐκ ἐμνήσθησαν τοῦ πλήθους τοῦ ἐλέους σου.

Καὶ παρεπίκραναν ἀναβαίνοντες, * ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ.

Καὶ ἔσωσεν αὐτοὺς ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ, * τοῦ γνωρίσαι τὴν δυναστείαν αὐτοῦ.

Καὶ ἐπετίμησε τῇ ἐρυθρᾷ θαλάσσῃ, καὶ ἐξηράνθη, * καὶ ὡδήγησεν αὐτοὺς ἐν ἀβύσσῳ ὡς ἐν ἐρήμῳ.

Καὶ ἔσωσεν αὐτοὺς ἐκ χειρὸς μισοῦντος, * καὶ ἐλυτρώσατο αὐτοὺς ἐκ χειρὸς ἐχθρῶν.

Ἐκάλυψεν ὕδωρ τοὺς θλίβοντας αὐτούς, * εἷς ἐξ αὐτῶν οὐχ ὑπελείφθη.

Καὶ ἐπίστευσαν τῷ λόγῳ αὐτοῦ, * καὶ ᾖσαν τὴν αἴνεσιν αὐτοῦ.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἐτάχυναν, ἐπελάθοντο τῶν ἔργων αὐτοῦ, * οὐχ ὑπέμειναν τὴν βουλὴν αὐτοῦ.

Καὶ ἐπεθύμησαν ἐπιθυμίαν ἐν τῇ ἐρήμῳ, * καὶ ἐπείρασαν τὸν Θεὸν ἐν ἀνύδρῳ.

Καὶ ἔδωκεν αὐτοῖς τὸ αἴτημα αὐτῶν, * ἐξαπέστειλε πλησμονὴν εἰς τὰς ψυχὰς αὐτῶν.

Καὶ παρώργισαν τὸν Μωϋσῆν ἐν τῇ παρεμβολῇ, * τὸν Ἀαρὼν τὸν ἅγιον Κυρίου.

Ἠνοίχθη ἡ γῆ, καὶ κατέπιε Δαθάν, * καὶ ἐκάλυψεν ἐπὶ τὴν συναγωγὴν Ἀβειρών.

Καὶ ἐξεκαύθη πῦρ ἐν τῇ συναγωγῇ αὐτῶν, * φλὸξ κατέφλεξεν ἁμαρτωλούς.

Καὶ ἐποίησαν μόσχον ἐν Χωρήβ, * καὶ προσεκύνησαν τῷ γλυπτῷ.

Καὶ ἠλλάξαντο τὴν δόξαν αὐτοῦ, * ἐν ὁμοιώματι μόσχου ἐσθίοντος χόρτον.

Καὶ ἐπελάθοντο τοῦ Θεοῦ τοῦ σώζοντος αὐτούς, τοῦ ποιήσαντος μεγάλα ἐν Αἰγύπτῳ, * θαυμάσια ἐν γῇ Χάμ, φοβερὰ ἐπὶ θαλάσσης ἐρυθρᾶς.

Καὶ εἶπε τοῦ ἐξολοθρεῦσαι αὐτούς, * εἰ μὴ Μοϋσῆς ὁ ἐκλεκτὸς αὐτοῦ ἔστη ἐν τῇ θραύσει ἐνώπιον αὐτοῦ.

Τοῦ ἀποστρέψαι τὸν θυμὸν αὐτοῦ, τοῦ μὴ ἐξολοθρεῦσαι αὐτούς, * καὶ ἐξουθένωσαν γῆν ἐπιθυμητήν.

Οὐκ ἐπίστευσαν τῷ λόγῳ αὐτοῦ, καὶ ἐγόγγυσαν ἐν τοῖς σκηνώμασιν αὐτῶν, * οὐκ εἰσήκουσαν τῆς φωνῆς Κυρίου.

Καὶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Καὶ ἐπῆρε τὴν χεῖρα αὐτοῦ ἐπ' αὐτοὺς, * τοῦ καταβαλεῖν αὐτοὺς ἐν τῇ ἐρήμῳ.

Καὶ τοῦ καταβαλεῖν τὸ σπέρμα αὐτῶν ἐν τοῖς ἔθνεσι, * καὶ διασκορπίσαι αὐτοὺς ἐν ταῖς χώραις.

Καὶ ἐτελέσθησαν τῷ Βεελφεγὼρ, * καὶ ἔφαγον θυσίας νεκρῶν.

Καὶ παρώξυναν αὐτὸν ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν, * καὶ ἐπληθύνθη ἐν αὐτοῖς ἡ πτῶσις.

Καὶ ἔστη Φινεὲς, καὶ ἐξιλάσατο, * καὶ ἐκόπασεν ἡ θραῦσις.

Καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην, * εἰς γενεὰν, καὶ γενεὰν ἕως τοῦ αἰῶνος.

Καὶ παρώργισαν αὐτὸν ἐπὶ ὕδατος ἀντιλογίας, * καὶ ἐκακώθη Μωϋσῆς δι' αὐτοὺς, ὅτι παρεπίκραναν τὸ πνεῦμα αὐτοῦ.

Καὶ διέστειλεν ἐν τοῖς χείλεσιν αὐτοῦ, * οὐκ ἐξωλόθρευσαν τὰ ἔθνη, ἃ εἶπε Κύριος αὐτοῖς.

Καὶ ἐμίγησαν ἐν τοῖς ἔθνεσι, καὶ ἔμαθον τὰ ἔργα αὐτῶν, * καὶ ἐδούλευσαν τοῖς γλυπτοῖς αὐτῶν, καὶ ἐγενήθη αὐτοῖς εἰς σκάνδαλον.

Καὶ ἔθυσαν τοὺς υἱοὺς αὐτῶν, * καὶ τὰς θυγατέρας αὐτῶν τοῖς δαιμονίοις.

Καὶ ἐξέχεαν αἷμα ἀθῷον, * αἷμα υἱῶν αὐτῶν, καὶ θυγατέρων, ὧν ἔθυσαν τοῖς γλυπτοῖς Χαναάν.

Καὶ ἐφονοκτονήθη ἡ γῆ ἐν τοῖς αἵμασι, * ἐμιάνθη ἐν τοῖς ἔργοις αὐτῶν.

Καὶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Καὶ ἐπόρνευσαν * ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν.

Καὶ ὠργίσθη θυμῷ Κύριος ἐπὶ τὸν λαὸν αὐτοῦ, * καὶ ἐβδελύξατο τὴν κληρονομίαν αὐτοῦ.

Καὶ παρέδωκεν αὐτοὺς εἰς χεῖρας ἐχθρῶν, * καὶ ἐκυρίευσαν αὐτῶν οἱ μισοῦντες αὐτούς.

Καὶ ἔθλιψαν αὐτοὺς οἱ ἐχθροὶ αὐτῶν, * καὶ ἐταπεινώθησαν ὑπὸ τὰς χεῖρας αὐτῶν, πλεονάκις ἐῤῥύσατο αὐτούς.

Αὐτοὶ δὲ παρεπίκραναν αὐτὸν ἐν τῇ βουλῇ αὐτῶν, * καὶ ἐταπεινώθησαν ἐν ταῖς ἀνομίαις αὐτῶν.

Καὶ εἶδε Κύριος ἐν τῷ θλίβεσθαι αὐτούς, * ἐν τῷ αὐτὸν εἰσακοῦσαι τῆς δεήσεως αὐτῶν.

Καὶ ἐμνήσθη τῆς διαθήκης αὐτοῦ, * καὶ μετεμελήθη κατὰ τὸ πλῆθος τοῦ ἐλέους αὐτοῦ.

Καὶ ἔδωκεν αὐτοὺς εἰς οἰκτιρμοὺς * ἐναντίον πάντων τῶν αἰχμαλωτευσάντων αὐτούς.

Σῶσον ἡμᾶς Κύριε ὁ Θεὸς ἡμῶν, * καὶ ἐπισυνάγαγε ἡμᾶς ἐκ τῶν ἐθνῶν.

Τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου τῷ ἁγίῳ, * τοῦ ἐγκαυχᾶσθαι ἐν τῇ αἰνέσει σου.

Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραὴλ ἀπὸ τοῦ αἰῶνος, καὶ ἕως τοῦ αἰῶνος, * καὶ ἐρεῖ πᾶς ὁ λαός, γένοιτο, γένοιτο. ‡

Δόξα καὶ νῦν. Ἀλλ. ἀλλ.

ΣΤΙ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου -
Μουσείο Τυπάλδων Ιακωβάτων

# ΣΤΙΧΟΛΟΓΙΑΙ ΔΕΚΑ

## ΜΙΚΡΑΙ, Η ΜΙΚΡΑ ΔΕΚΑ ΚΑΘΙΣΜΑΤΑ,

Ἀναγινωσκόμεναι

Ἔσω μὲν τῆς μεγάλης μ΄. καθ᾽ ἑκάστην ἡμέραν, εἰς τὴν γ΄. ὥραν, δύο, ἀπὸ τῆς β΄. τῆς ἑβδομάδος ἕως τῆς παρασκευῆς. Ἔξω δὲ τῆς μεγ. μ΄. μία, καὶ μόνως καθ᾽ ἡμέραν, καὶ κατὰ τὸν ἦχ., καὶ τὴν τάξιν τῶν μεγ. καθισμ.

Στιχολ. μικρὰ α΄.

### ΤΗ ΩΡΑ Γ΄. ΤΗΣ Β΄. ΤΗΣ ΕΒΔΟΜΑΔΟΣ

μία μὲν ἐν τοῖς ἤχοις α΄. γ΄. πλ. α΄. βαρ΄.

Ψαλ. ρς΄. 106.

Ἐξομολογεῖσθε [1] τῷ Κυρίῳ, ὅτι χρηστός, * ✠ ὅτι [2] εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. ✠

Εἰπάτωσαν οἱ λελυτρωμένοι ὑπὸ Κυρίου, * οὓς ἐλυτρώσατο ἐκ χειρὸς ἐχθροῦ, καὶ ἐκ τῶν χωρῶν συνήγαγεν αὐτούς.

Ἀπὸ Ἀνατολῶν, καὶ Δυσμῶν, * καὶ Βορρᾶ, καὶ θαλάσσης.

Ἐπλανήθησαν ἐν τῇ ἐρήμῳ ἐν ἀνύδρῳ, * ὁδὸν πόλεως κατοικητηρίου οὐχ εὗρον.

Πεινῶντες, καὶ διψῶντες, * ἡ ψυχὴ αὐτῶν ἐν αὐτοῖς ἐξέλιπεν.

Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτούς, * καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἐῤῥύσατο αὐτούς.

Καὶ ὡδήγησεν αὐτοὺς εἰς ὁδὸν εὐθεῖαν, * τοῦ πορευθῆναι εἰς πόλιν κατοικητηρίου.

Ἐξο-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ, * καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων.

Ὅτι ἐχόρτασε ψυχὴν κενήν, * καὶ ψυχὴν πεινῶσαν ἐνέπλησεν ἀγαθῶν.

Καθημένους ἐν σκότει, καὶ σκιᾷ θανάτου, * πεπεδημένους ἐν πτωχείᾳ, καὶ σιδήρῳ.

Ὅτι παρεπίκραναν τὰ λόγια τοῦ Θεοῦ, * καὶ τὴν βουλὴν τοῦ Ὑψίστου παρώξυναν.

Καὶ ἐταπεινώθη ἐν κόποις ἡ καρδία αὐτῶν, * ἠσθένησαν, καὶ οὐκ ἦν ὁ βοηθῶν.

Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτούς, * καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἔσωσεν αὐτούς.

Καὶ ἐξήγαγεν αὐτοὺς ἐκ σκότους, καὶ σκιᾶς θανάτου, * καὶ τοὺς δεσμοὺς αὐτῶν διέρρηξεν.

Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ, * καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων.

Ὅτι συνέτριψε πύλας χαλκᾶς, * καὶ μοχλοὺς σιδηροῦς συνέθλασεν.

Ἀντελάβετο αὐτῶν ἐξ ὁδοῦ ἀνομίας αὐτῶν, * διὰ γὰρ τὰς ἀνομίας αὐτῶν ἐταπεινώθησαν.

Πᾶν βρῶμα ἐβδελύξατο ἡ ψυχὴ αὐτῶν, * καὶ ἤγγισαν ἕως τῶν πυλῶν τοῦ θανάτου.

Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτούς, * καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἔσωσεν αὐτούς.

Ἀπέστειλε τὸν λόγον αὐτοῦ, καὶ ἰάσατο αὐτούς, * καὶ ἐρρύσατο αὐτοὺς ἐκ τῶν διαφθορῶν αὐτῶν.

Ἐξο-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ, * καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων.

Καὶ θυσάτωσαν αὐτῷ θυσίαν αἰνέσεως, * καὶ ἐξαγγειλάτωσαν τὰ ἔργα αὐτοῦ ἐν ἀγαλλιάσει.

Οἱ καταβαίνοντες εἰς θάλασσαν ἐν πλοίοις, * ποιοῦντες ἐργασίαν ἐν ὕδασι πολλοῖς.

Αὐτοὶ εἶδον τὰ ἔργα Κυρίου, * καὶ τὰ θαυμάσια αὐτοῦ ἐν τῷ βυθῷ.

Εἶπε, καὶ ἔστη πνεῦμα καταιγίδος, * καὶ ὑψώθη τὰ κύματα αὐτῆς.

Ἀναβαίνουσιν ἕως τῶν οὐρανῶν, καὶ καταβαίνουσιν ἕως τῶν ἀβύσσων, * ἡ ψυχὴ αὐτῶν ἐν κακοῖς ἐτήκετο.

Ἐταράχθησαν, ἐσαλεύθησαν, ὡς ὁ μεθύων, * καὶ πᾶσα ἡ σοφία αὐτῶν κατεπόθη.

Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτούς, * καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἐξήγαγεν αὐτούς.

Καὶ ἐπέταξε τῇ καταιγίδι, * καὶ ἔστη εἰς αὔραν, καὶ ἐσίγησαν τὰ κύματα αὐτῆς.

Καὶ εὐφράνθησαν, ὅτι ἡσύχασαν, * καὶ ὡδήγησεν αὐτοὺς ἐπὶ λιμένα θελήματος αὐτοῦ.

Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ, * καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων.

Ὑψωσάτωσαν αὐτὸν ἐν ἐκκλησίᾳ λαοῦ, * καὶ ἐν καθέδρᾳ πρεσβυτέρων αἰνεσάτωσαν αὐτόν.

Ἔθετο ποταμοὺς εἰς ἔρημον, * καὶ διεξόδους ὑδάτων εἰς δίψαν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Γῆν καρποφόρον εἰς ἅλμην, * ἀπὸ κακίας τῶν κατοικούντων ἐν αὐτῇ.

Ἔθετο ἔρημον εἰς λίμνας ὑδάτων, * καὶ γῆν ἄνυδρον εἰς διεξόδους ὑδάτων.

Καὶ κατῴκισεν ἐκεῖ πεινῶντας, * καὶ συνεστήσαντο πόλεις κατοικεσίας.

Καὶ ἔσπειραν ἀγρούς, καὶ ἐφύτευσαν ἀμπελῶνας, * καὶ ἐποίησαν καρπὸν γεννήματος.

Καὶ εὐλόγησεν αὐτούς, καὶ ἐπληθύνθησαν σφόδρα, * καὶ τὰ κτήνη αὐτῶν οὐκ ἐσμίκρυνε.

Καὶ ὠλιγώθησαν, * καὶ ἐκακώθησαν ἀπὸ θλίψεως κακῶν, καὶ ὀδύνης.

Ἐξεχύθη ἐξουδένωσις ἐπ' ἄρχοντας αὐτῶν, * καὶ ἐπλάνησεν αὐτοὺς ἐν ἀβάτῳ, καὶ οὐχ ὁδῷ.

Καὶ ἐβοήθησε πένητι ἐκ πτωχείας, * καὶ ἔθετο ὡς πρόβατα πατριάς.

Ὄψονται εὐθεῖς, καὶ εὐφρανθήσονται, * καὶ πᾶσα ἀνομία ἐμφράξει τὸ στόμα αὐτῆς.

Τίς σοφός, καὶ φυλάξει ταῦτα, * καὶ συνήσουσι τὰ ἐλέη τοῦ Κυρίου; Δόξα καὶ νῦν. Ἀλλ. ἀλλ.

Στιχολογ. μικρὰ β΄.

ΤΗ ΑΥΤΗ ΩΡΑ Γ΄., ΤΗΣ Β΄. ΤΗΣ ΕΒΔΟΜ.

μία δὲ, ἐν τοῖς ἤχοις β΄. δ΄. πλ. β΄. πλ. δ΄.

Ψαλ. ρζ΄. 107.

✠ Ἑτοίμη [2] ἡ καρδία μου ὁ Θεός, * ἑτοίμη ἡ καρδία μου, ᾄσομαι, καὶ ψαλῶ ἐν τῇ δόξῃ μου.

Ἐξε-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἐξεγέρθητι ἡ δόξα μου, ἐξεγέρθητι ψαλτήριον, καὶ κιθάρα, * ἐξεγερθήσομαι ὄρθρου.

Ἐξομολογήσομαί σοι ἐν λαοῖς Κύριε, * ψαλῶ σοι ἐν ἔθνεσιν.

Ὅτι μέγα ἐπάνω τῶν οὐρανῶν τὸ ἔλεός σου, * καὶ ἕως τῶν νεφελῶν ἡ ἀλήθειά σου.

Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ Θεὸς, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου, * ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σου.

Σῶσον τῇ δεξιᾷ σου, καὶ ἐπάκουσόν μου, * ὁ Θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ.

Ὑψωθήσομαι, καὶ διαμεριῶ Σίκιμα, * καὶ τὴν κοιλάδα τῶν σκηνῶν διαμετρήσω.

Ἐμός ἐστι Γαλαὰδ, καὶ ἐμός ἐστι Μανασσῆς, * καὶ Ἐφραῒμ ἀντίληψις τῆς κεφαλῆς μου.

Ἰούδας βασιλεύς μου, * Μωὰβ λέβης τῆς ἐλπίδος μου.

Ἐπὶ τὴν Ἰδουμαίαν ἐπιβαλῶ τὸ ὑπόδημά μου, * ἐμοὶ ἀλλόφυλοι ὑπετάγησαν.

Τίς ἀπάξει με εἰς πόλιν περιοχῆς, * ἢ τίς ὁδηγήσει με ἕως τῆς Ἰδουμαίας.

Οὐχὶ σὺ ὁ Θεὸς ὁ ἀπωσάμενος ἡμᾶς; * καὶ οὐκ ἐξελεύσῃ ὁ Θεὸς ἐν ταῖς δυνάμεσιν ἡμῶν.

Δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως, * καὶ ματαία σωτηρία ἀνθρώπου.

Ἐν τῷ Θεῷ ποιήσομεν δύναμιν, * καὶ αὐτὸς ἐξουδενώσει τοὺς ἐχθροὺς ἡμῶν.

Ψαλ.

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Ψαλ. ρη'. 108.

Ο' Θεὸς, τὴν αἴνεσίν μου μὴ παρασιωπήσῃς, * † ὅτι στόμα ἁμαρτωλοῦ, καὶ στόμα δολίου ἐπ' ἐμὲ ἠνοίχθη.

Ἐλάλησαν κατ' ἐμοῦ γλώσσῃ δολίᾳ, * καὶ λόγοις μίσους ἐκύκλωσάν με, καὶ ἐπολέμησάν με δωρεάν.

Ἀντὶ τοῦ ἀγαπᾶν με, ἐνδιέβαλλόν με, * ἐγὼ δὲ προσηυχόμην.

Καὶ ἔθεντο κατ' ἐμοῦ κακὰ ἀντὶ ἀγαθῶν, * καὶ μῖσος ἀντὶ τῆς ἀγαπήσεώς μου.

Κατάστησον ἐπ' αὐτὸν ἁμαρτωλὸν, * καὶ διάβολος στήτω ἐκ δεξιῶν αὐτοῦ.

Ἐν τῷ κρίνεσθαι αὐτὸν, ἐξέλθοι καταδεδικασμένος, * καὶ ἡ προσευχὴ αὐτοῦ γενέσθω εἰς ἁμαρτίαν.

Γενηθήτωσαν αἱ ἡμέραι αὐτοῦ ὀλίγαι, * καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος.

Γενηθήτωσαν οἱ υἱοὶ αὐτοῦ ὀρφανοὶ, * καὶ ἡ γυνὴ αὐτοῦ χήρα.

Σαλευόμενοι μεταναστήτωσαν οἱ υἱοὶ αὐτοῦ, καὶ ἐπαιτησάτωσαν, * ἐκβληθήτωσαν ἐκ τῶν οἰκοπέδων αὐτῶν.

Ἐξερευνησάτω δανειστὴς πάντα, ὅσα ὑπάρχει αὐτῷ, * καὶ διαρπασάτωσαν ἀλλότριοι τοὺς πόνους αὐτοῦ.

Μὴ ὑπαρξάτω αὐτῷ ἀντιλήπτωρ, * μηδὲ γενηθήτω οἰκτίρμων τοῖς ὀρφανοῖς αὐτοῦ.

Γενηθήτω τὰ τέκνα αὐτοῦ εἰς ἐξολόθρευσιν, * ἐν γενεᾷ μιᾷ ἐξαλειφθείη τὸ ὄνομα αὐτοῦ.

Ἀνα-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἀναμνησθείη ἡ ἀνομία τῶν πατέρων αὐτοῦ ἔναντι Κυρίου, * καὶ ἡ ἁμαρτία τῆς μητρὸς αὐτοῦ μὴ ἐξαλειφθείη.

Γενηθήτωσαν ἐναντίον Κυρίου διαπαντὸς, * καὶ ἐξολοθρευθείη ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν.

Ἀνθ' ὧν οὐκ ἐμνήσθη ποιῆσαι ἔλεος, * καὶ κατεδίωξεν ἄνθρωπον πένητα, καὶ πτωχὸν, καὶ κατανενυγμένον τῇ καρδίᾳ τοῦ θανατῶσαι.

Καὶ ἠγάπησε κατάραν, καὶ ἥξει αὐτῷ, * καὶ οὐκ ἠθέλησεν εὐλογίαν, καὶ μακρυνθήσεται ἀπ' αὐτοῦ.

Καὶ ἐνεδύσατο κατάραν ὡς ἱμάτιον, * καὶ εἰσῆλθεν ὡσεὶ ὕδωρ εἰς τὰ ἔγκατα αὐτοῦ, καὶ ὡσεὶ ἔλεον ἐν τοῖς ὀστέοις αὐτοῦ.

Γενηθήτω αὐτῷ ὡς ἱμάτιον, ὃ περιβάλλεται, * καὶ ὡσεὶ ζώνη, ἣν διαπαντὸς περιζώννυται.

Τοῦτο τὸ ἔργον τῶν ἐνδιαβαλλόντων με παρὰ Κυρίου, * καὶ τῶν λαλούντων πονηρὰ κατὰ τῆς ψυχῆς μου.

Καὶ σὺ Κύριε, Κύριε ποίησον μετ' ἐμοῦ ἕνεκεν τοῦ ὀνόματός σου, * ὅτι χρηστὸν τὸ ἔλεός σου.

Ῥῦσαί με, ὅτι πτωχὸς, καὶ πένης εἰμὶ ἐγὼ, * καὶ ἡ καρδία μου τετάρακται ἐντός μου.

Ὡσεὶ σκιὰ ἐν τῷ ἐκκλῖναι αὐτὴν, ἀντανῃρέθην, * ἐξετινάχθην ὡσεὶ ἀκρίδες.

Τὰ γόνατά μου ἠσθένησαν ἀπὸ νηστείας, * καὶ ἡ σάρξ μου ἠλλοιώθη δι' ἔλαιον.

Κἀγὼ ἐγενήθην ὄνειδος αὐτοῖς, εἴδοσάν με, * ἐσάλευσαν κεφαλὰς αὐτῶν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Βοήθησόν μοι [1] Κύριε ὁ Θεός μου, * σῶσόν με κατὰ τὸ ἔλεός σου.

Καὶ γνώτωσαν, ὅτι ἡ χείρ σου αὕτη, * καὶ σὺ Κύριε ἐποίησας αὐτήν.

Καταράσονται αὐτοί, καὶ σὺ εὐλογήσεις, * οἱ ἐπανιστάμενοί μοι αἰσχυνθήτωσαν, ὁ δὲ δοῦλός σου εὐφρανθήσεται.

Ἐνδυσάσθωσαν οἱ ἐνδιαβάλλοντές με ἐντροπήν, * καὶ περιβαλλέσθωσαν ὡς διπλοΐδα αἰσχύνην αὐτῶν.

Ἐξομολογήσομαι τῷ Κυρίῳ σφόδρα ἐν τῷ στόματί μου, * καὶ ἐν μέσῳ πολλῶν αἰνέσω αὐτόν.

Ὅτι παρέστη ἐκ δεξιῶν πένητος, * τοῦ σῶσαι ἐκ τῶν καταδιωκόντων τὴν ψυχήν μου.

Δόξα καὶ νῦν. Ἀλλ. ἀλλ.

Στιχολογ. γ'.

ΤΗ ΩΡΑ Γ'., ΤΗΣ Γ'. ΤΗΣ ΕΒΔΟΜΑΔΟΣ.

Ἐν τοῖς ἦχ. α'. γ'. πλ. α'. βαρ'.

Ψαλ. ρθ'. 109.

Εἶπεν [2] ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, * ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.

Ῥάβδον δυνάμεως ἐξαποστελεῖ σοι Κύριος ἐκ Σιών, * καὶ κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου.

Μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου, * ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου.

Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου ἐγέννησά σε, * ὤμοσε Κύριος,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ειος, καὶ οὐ μεταμεληθήσεται, σὺ εἶ Ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. ***

Κύριος ἐκ δεξιῶν σου, * συνέθλασεν ἐν ἡμέρᾳ ὀργῆς αὐτοῦ βασιλεῖς.

Κρινεῖ ἐν τοῖς ἔθνεσι, πληρώσει πτώματα, * συνθλάσει κεφαλὰς ἐπὶ γῆς πολλῶν.

Ἐκ χειμάῤῥου ἐν ὁδῷ πίεται, * διὰ τοῦτο ὑψώσει κεφαλήν.

Ψαλ. ρι΄. 110.

Ἐξομολογήσομαί σοι Κύριε ἐν ὅλῃ καρδίᾳ μου, * ἐν βουλῇ εὐθέων, καὶ συναγωγῇ.

Μεγάλα τὰ ἔργα Κυρίου, * ἐξεζητημένα εἰς πάντα τὰ θελήματα αὐτοῦ.

Ἐξομολόγησις, καὶ μεγαλοπρέπεια τὸ ἔργον αὐτοῦ, * καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Μνείαν ἐποιήσατο τῶν θαυμασίων αὐτοῦ, ἐλεήμων, καὶ οἰκτίρμων ὁ Κύριος * τροφὴν ἔδωκε τοῖς φοβουμένοις αὐτόν. ***

Μνησθήσεται εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ, * ἰσχὺν ἔργων αὐτοῦ ἀνήγγειλε τῷ λαῷ αὐτοῦ.

Τοῦ δοῦναι αὐτοῖς κληρονομίαν ἐθνῶν, * ἔργα χειρῶν αὐτοῦ ἀλήθεια, καὶ κρίσις.

Πισταὶ πᾶσαι αἱ ἐντολαὶ αὐτοῦ, ἐστηριγμέναι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, * πεποιημέναι ἐν ἀληθείᾳ, καὶ εὐθύτητι.

Λύτρωσιν ἀπέστειλε τῷ λαῷ αὐτοῦ, * ἐνετείλατο εἰς τὸν αἰῶνα διαθήκην αὐτοῦ. ***



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἅγιον, καὶ φοβερὸν τὸ ὄνομα αὐτοῦ, ] ¹ * ἀρχὴ σοφίας, φόβος Κυρίου. †

Σύνεσις δὲ ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτήν, * ἡ αἴνεσις αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ψαλ. ρια'. III.

ΜΑκάριος ² ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, * ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα. †

Δυνατὸν ἐν τῇ γῇ ἔσται τὸ σπέρμα αὐτοῦ, * γενεὰ εὐθέων εὐλογηθήσεται.

Δόξα, καὶ πλοῦτος ἐν τῷ οἴκῳ αὐτοῦ, * ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ἐξανέτειλεν ἐν σκότει φῶς τοῖς εὐθέσιν, ¹ ἐλεήμων, καὶ οἰκτίρμων, καὶ δίκαιος, * χρηστὸς ἀνὴρ ὁ οἰκτείρων, καὶ κιχρῶν. †

Οἰκονομήσει τοὺς λόγους αὐτοῦ ἐν κρίσει, * ὅτι εἰς τὸν αἰῶνα οὐ σαλευθήσεται.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος, * ἀπὸ ἀκοῆς πονηρᾶς οὐ φοβηθήσεται. ***

Ἑτοίμη ἡ καρδία αὐτοῦ ἐλπίζειν ἐπὶ Κύριον, ἐστήρικται ἡ καρδία αὐτοῦ, * οὐ μὴ φοβηθῇ, ἕως οὗ ἐπίδῃ ἐπὶ τοὺς ἐχθροὺς αὐτοῦ.

Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν, * ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Τὸ κέρας αὐτοῦ ὑψωθήσεται ἐν δόξῃ, * ἁμαρτωλὸς ὄψεται, καὶ ὀργισθήσεται.

Τοὺς ὀδόντας αὐτοῦ βρύξει, καὶ τακήσεται, * ἐπιθυμία ἁμαρτωλῶν ἀπολεῖται.

Στι-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Στιχολ. δ'.

ΤΗ ΑΥΤΗ ΩΡΑ Γ'., ΤΗΣ Γ'. ΤΗΣ ΕΒΔΟΜΑΔ.

ἐν ἤχ. β'. δ'. πλ. β'. πλ. δ'.

Ψαλ. ριβ'. 112.

Αἰνεῖτε [1] παῖδες Κύριον, * αἰνεῖτε τὸ ὄνομα τοῦ Κυρίου.

Εἴη [2] τὸ ὄνομα Κυρίου εὐλογημένον * ἀπὸ τοῦ νῦν, τοῦ καὶ ἕως τοῦ αἰῶνος.

Ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν, * αἰνετὸν τὸ ὄνομα Κυρίου.

Ὑψηλὸς ἐπὶ πάντα τὰ ἔθνη ὁ Κύριος, * ἐπὶ τοὺς οὐρανοὺς ἡ δόξα αὐτοῦ.

Τίς ὡς Κύριος ὁ Θεὸς ἡμῶν, ὁ ἐν ὑψηλοῖς κατοικῶν;* καὶ τὰ ταπεινὰ ἐφορῶν, ἐν τῷ οὐρανῷ, καὶ ἐν τῇ γῇ.

Ὁ ἐγείρων ἀπὸ γῆς πτωχὸν, * καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένητα.

Τοῦ καθίσαι αὐτὸν μετὰ ἀρχόντων, * μετὰ ἀρχόντων λαοῦ αὐτοῦ.

Ὁ κατοικίζων στεῖραν ἐν οἴκῳ, * μητέρα ἐπὶ τέκνοις εὐφραινομένην. Ψαλ. ριγ'. 113.

Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου, * οἴκου Ἰακὼβ ἐκ λαοῦ βαρβάρου.

Ἐγενήθη Ἰουδαία ἁγίασμα αὐτοῦ, * Ἰσραὴλ ἐξουσία αὐτοῦ.

Ἡ θάλασσα εἶδε, καὶ ἔφυγεν, * ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω. *



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Τὰ ὄρη ἐσκίρτησαν ὡσεὶ κριοὶ, * καὶ οἱ βουνοὶ ὡς ἀρνία
προβάτων. *

Τί σοι ἐστὶ θάλασσα, ὅτι ἔφυγες; * καὶ σὺ Ἰορδάνη,
ὅτι ἐστράφης εἰς τὰ ὀπίσω. *

Τὰ ὄρη ὅτι ἐσκιρτήσατε ὡσεὶ κριοὶ, * καὶ οἱ βουνοὶ ὡς
ἀρνία προβάτων.

Ἀπὸ προσώπου Κυρίου ἐσαλεύθη ἡ γῆ, * ἀπὸ προ-
σώπου τοῦ Θεοῦ Ἰακώβ.

Τοῦ στρέψαντος τὴν πέτραν εἰς λύμνας ὑδάτων, * καὶ
τὴν ἀκρότομον εἰς πηγὰς ὑδάτων.

Μὴ ἡμῖν Κύριε, μὴ ἡμῖν, * ἀλλ' ἢ τῷ ὀνόματί σου
δὸς δόξαν ἐπὶ τῷ ἐλέει σου, καὶ τῇ ἀληθείᾳ σου.

Μήποτε εἴπωσι τὰ ἔθνη, ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν; * ὁ
δὲ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ, καὶ ἐν τῇ γῇ, πάντα ὅσα
ἠθέλησεν ἐποίησε.

Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον, καὶ χρυσίον, * ἔργα
χειρῶν ἀνθρώπων.

Στόμα ἔχουσι, καὶ οὐ λαλήσουσιν, * ὀφθαλμοὺς ἔχου-
σι, καὶ οὐκ ὄψονται.

Ὦτα ἔχουσι, καὶ οὐκ ἀκούσονται, * ῥῖνας ἔχουσι, καὶ οὐκ
ὀσφρανθήσονται.

Χεῖρας ἔχουσι, καὶ οὐ ψηλαφήσουσι, πόδας ἔχουσι,
καὶ οὐ περιπατήσουσιν, * οὐ φωνήσουσιν ἐν τῷ λάρυγγι
αὐτῶν.

Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτὰ, * καὶ πάντες
οἱ πεποιθότες ἐπ' αὐτοῖς.

Οἶ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου -
Μουσείο Τυπάλδων Ιακωβάτων

Οἶκος Ἰσραὴλ ἤλπισεν ἐπὶ Κύριον, * βοηθὸς, καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν.

Οἶκος Ἀαρὼν ἤλπισεν ἐπὶ Κύριον βοηθὸς, * καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν.

Οἱ φοβούμενοι τὸν Κύριον ἤλπισαν ἐπὶ Κύριον, * βοηθὸς, καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν.

Κύριος μνησθεὶς ἡμῶν, εὐλόγησεν ἡμᾶς, * εὐλόγησε τὸν οἶκον Ἰσραὴλ, εὐλόγησε τὸν οἶκον Ἀαρών.

Εὐλόγησε τοὺς φοβουμένους τὸν Κύριον, * τοὺς μικροὺς μετὰ τῶν μεγάλων.

Προσθείη Κύριος ἐφ' ὑμᾶς, * ἐφ' ὑμᾶς, καὶ ἐπὶ τοὺς υἱοὺς ὑμῶν.

Εὐλογημένοι [1] ὑμεῖς τῷ Κυρίῳ, * τῷ ποιήσαντι † τὸν οὐρανὸν, καὶ τὴν γῆν.

Ὁ οὐρανὸς [2] τοῦ οὐρανοῦ τῷ Κυρίῳ * τὴν δὲ γῆν ἔδωκε † τοῖς υἱοῖς τῶν ἀνθρώπων.

Οὐχ οἱ νεκροὶ αἰνέσουσί σε Κύριε, * οὐδὲ πάντες οἱ καταβαίνοντες εἰς ᾅδου.

Ἀλλ' ἡμεῖς οἱ ζῶντες εὐλογήσομεν τὸν Κύριον, * ἀπὸ τοῦ νῦν, καὶ ἕως τοῦ αἰῶνος.

## Ψαλ. ριδʹ. 114.

Ἠγάπησα, [2] ὅτι εἰσακούσεται Κύριος * τῆς † φωνῆς τῆς δεήσεώς μου.

Ὅτι ἔκλινε τὸ οὖς αὐτοῦ ἐμοὶ, * καὶ ἐν ταῖς ἡμέραις μου ἐπικαλέσομαι.

Περιέσχον με ὠδῖνες θανάτου, * κίνδυνοι ᾅδου εὕροσάν με.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Θλίψιν, καὶ ὀδύνην εὗρον, * καὶ τὸ ὄνομα Κυρίου ἐπεκαλεσάμην.

Ὦ Κύριε ῥῦσαι τὴν ψυχήν μου, * ἐλεήμων ὁ Κύριος, καὶ δίκαιος, καὶ ὁ Θεὸς ἡμῶν ἐλεεῖ.

Φυλάσσων τὰ νήπια ὁ Κύριος, * ἐταπεινώθην, καὶ ἔσωσέ με. ***

Ἐπίστρεψον ψυχή μου εἰς τὴν ἀνάπαυσίν σου, * ὅτι Κύριος εὐηργέτησέ σε.

Ὅτι ἐξείλετο τὴν ψυχήν μου ἐκ θανάτου, * τοὺς ὀφθαλμούς μου ἀπὸ δακρύων, καὶ τοὺς πόδας μου ἀπὸ ὀλισθήματος.

Εὐαρεστήσω ἐνώπιον Κυρίου * ἐν χώρᾳ ζώντων. ✝ Δόξα καὶ νῦν. Ἀλλ. ἀλλ.

Ψαλ. ριε'. 115.

Ἐπίστευσα, διὸ ἐλάλησα. λέλεκτ. εἰς τὸν ὄρθρο. φύλ. 49. Ψαλ. ρις'. 116.

Αἰνεῖτε τὸν Κύριον πάντα. λέλεκτ. εἰς τὸν ὄρθρο. φύλ. 50. Ψαλ. ριζ'. 117.

Ἐξομολογεῖσθε τῷ Κυρίῳ. λέλεκτ. εἰς τὸν ὄρθρο. φύλ. 50.

## ΚΑΘΙΣΜΑ ΔΩΔΕΚΑΤΟΝ

Λεγόμενον συνήθως, κατὰ τὸ τυπικὸν, ἐν ταῖς τοῦ σαββάτου λιταῖς εἰς τὸν ὄρθρον.

Ψαλ. ριη'. 118.

Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ, * οἱ πορευόμενοι ἐν νόμῳ Κυρίου.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Μακάριοι οἱ ἐξερευνῶντες τὰ μαρτύρια αὐτοῦ * ἐν ὅλῃ καρδίᾳ ἐκζητήσουσιν αὐτόν.

Οὐ γὰρ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, * ἐν ταῖς ὁδοῖς αὐτοῦ ἐπορεύθησαν.

Σὺ ἐνετείλω τὰς ἐντολάς σου * τοῦ φυλάξασθαι σφόδρα.

Ὄφελον κατευθυνθείησαν αἱ ὁδοί μου * τοῦ φυλάξασθαι τὰ δικαιώματά σου.

Τότε οὐ μὴ αἰσχυνθῶ, * ἐν τῷ με ἐπιβλέπειν ἐπὶ πάσας τὰς ἐντολάς σου.

Ἐξομολογήσομαί σοι ἐν εὐθύτητι καρδίας, * ἐν τῷ μεμαθηκέναι με τὰ κρίματα τῆς δικαιοσύνης σου.

Τὰ δικαιώματά σου φυλάξω, * μή με ἐγκαταλίπῃς ἕως σφόδρα.

Ἐν τίνι κατορθώσει νεώτερος τὴν ὁδὸν αὐτοῦ; * ἐν τῷ φυλάξασθαι τοὺς λόγους σου.

Ἐν ὅλῃ καρδίᾳ μου ἐξεζήτησά σε, * μὴ ἀπώσῃ με ἀπὸ τῶν ἐντολῶν σου.

Ἐν τῇ καρδίᾳ μου ἔκρυψα τὰ λόγιά σου, * ὅπως ἂν μὴ ἁμάρτω σοι.

Εὐλογητὸς εἶ Κύριε, * δίδαξόν με τὰ δικαιώματά σου.

Ἐν τοῖς χείλεσί μου * ἐξήγγειλα πάντα τὰ κρίματα τοῦ στόματός σου.

Ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην, * ὡς ἐπὶ παντὶ πλούτῳ.

Ἐν ταῖς ἐντολαῖς σου ἀδολεσχήσω, * καὶ κατανοήσω τὰς ὁδούς σου.

Ἐν

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἐν τοῖς δικαιώμασί σου μελετήσω, * οὐκ ἐπιλήσομαι τῶν λόγων σου.

Ἀνταπόδος τῷ δούλῳ σου, * ζῆσόν με, καὶ φυλάξω τοὺς λόγους σου.

Ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, * καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου.

Πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ, * μὴ ἀποκρύψῃς ἀπ᾽ ἐμοῦ τὰς ἐντολάς σου.

Ἐπεπόθησεν ἡ ψυχή μου * τοῦ ἐπιθυμῆσαι τὰ κρίματά σου ἐν παντὶ καιρῷ.

Ἐπετίμησας ὑπερηφάνοις, * ἐπικατάρατοι οἱ ἐκκλίνοντες ἀπὸ τῶν ἐντολῶν σου.

Περίελε ἀπ᾽ ἐμοῦ ὄνειδος, καὶ ἐξουδένωσιν, * ὅτι τὰ μαρτύριά σου ἐξεζήτησα.

Καὶ γὰρ ἐκάθισαν ἄρχοντες, καὶ κατ᾽ ἐμοῦ κατελάλουν, * ὁ δὲ δοῦλός σου ἠδολέσχει ἐν τοῖς δικαιώμασί σου.

Καὶ γὰρ τὰ μαρτύριά σου μελέτη μου ἐστί, * καὶ αἱ συμβουλίαι μου τὰ δικαιώματά σου.

Ἐκολλήθη τῷ ἐδάφει ἡ ψυχή μου, * ζῆσόν με κατὰ τὸν λόγον σου.

Τὰς ὁδούς μου ἐξήγγειλα, καὶ ἐπήκουσάς μου, * δίδαξόν με τὰ δικαιώματά σου.

Ὁδὸν δικαιωμάτων σου συνέτισόν με, * καὶ ἀδολεσχήσω ἐν τοῖς θαυμασίοις σου.

Ἐνύσταξεν ἡ ψυχή μου ἀπὸ ἀκηδίας, * βεβαίωσόν με ἐν τοῖς λόγοις σου.

Ὁδὸν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὁδὸν ἀδικίας ἀπόστησον ἀπ᾽ ἐμοῦ, * καὶ τῷ νόμῳ σου ἐλέησόν με.

Ὁδὸν ἀληθείας ᾑρετισάμην, * τὰ κρίματά σου οὐκ ἐπελαθόμην.

Ἐκολλήθην τοῖς μαρτυρίοις σου Κύριε, * μή με καταισχύνῃς.

Ὁδὸν [1] ἐντολῶν σου ἔδραμον, * ὅταν ἐπλάτυνας † τὴν καρδίαν μου.

Νομοθέτησόν με Κύριε [2] τὴν ὁδὸν τῶν δικαιωμάτων † σου, * καὶ ἐκζητήσω αὐτὴν διαπαντός.

Συνέτισόν με, καὶ ἐξερευνήσω τὸν νόμον σου, * καὶ φυλάξω αὐτὸν ἐν ὅλῃ καρδίᾳ μου.

Ὁδήγησόν με ἐν τῇ τρίβῳ τῶν ἐντολῶν σου, * ὅτι αὐτὴν ἠθέλησα.

Κλῖνον τὴν καρδίαν μου εἰς τὰ μαρτύριά σου, * καὶ μὴ εἰς πλεονεξίαν.

Ἀπόστρεψον τοὺς ὀφθαλμούς μου, τοῦ μὴ ἰδεῖν ματαιότητα, * ἐν τῇ ὁδῷ σου ζῆσόν με.

Στῆσον τῷ δούλῳ σου τὸ λόγιόν σου, * εἰς τὸν φόβον σου.

Περίελε τὸν ὀνειδισμόν μου, ὃν ὑπώπτευσα, * ὅτι τὰ κρίματά σου χρηστά.

Ἰδοὺ ἐπεθύμησα τὰς ἐντολάς σου, * ἐν τῇ δικαιοσύνῃ σου ζῆσόν με.

Καὶ ἔλθοι ἐπ᾽ ἐμὲ τὸ ἔλεός σου Κύριε, * τὸ σωτήριον σου κατὰ τὸν λόγον σου.

Καὶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Καὶ ἀποκριθήσομαι τοῖς ὀνειδίζουσί μοι λόγον, * ὅτι ἤλπισα ἐπὶ τοῖς λόγοις σου.

Καὶ μὴ περιέλῃς ἐκ τοῦ στόματός μου λόγον ἀληθείας ἕως σφόδρα, * ὅτι ἐπὶ τοῖς κρίμασί σου ἐπήλπισα.

Καὶ φυλάξω τὸν νόμον σου διαπαντὸς, * εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καὶ ἐπορευόμην ἐν πλατυσμῷ, * ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα.

Καὶ ἐλάλουν ἐν τοῖς μαρτυρίοις σου ἐναντίον βασιλέων, * καὶ οὐκ ᾐσχυνόμην.

Καὶ ἐμελέτων ἐν ταῖς ἐντολαῖς σου, * ἃς ἠγάπησα σφόδρα.

Καὶ ἦρα τὰς χεῖράς μου πρὸς τὰς ἐντολάς σου, ἃς ἠγάπησα, * καὶ ἠδολέσχουν τοῖς δικαιώμασί σου.

Μνήσθητι τῶν λόγων σου τῷ δούλῳ σου, * ὧν ἐπήλπισάς με.

Αὕτη με παρεκάλεσεν ἐν τῇ ταπεινώσει μου, * ὅτι τὸ λόγιόν σου ἔζησέ με.

Ὑπερήφανοι παρηνόμουν ἕως σφόδρα, * ἀπὸ δὲ τοῦ νόμου σου οὐκ ἐξέκλινα.

Ἐμνήσθην τῶν κριμάτων σου ἀπ' αἰῶνος Κύριε, * καὶ παρεκλήθην.

Ἀθυμία κατέσχε με ἀπὸ ἁμαρτωλῶν τῶν * ἐγκαταλιμπανόντων τὸν νόμον σου.

Ψαλτὰ ἦσάν μοι τὰ δικαιώματά σου, * ἐν τόπῳ παροικίας μου.

Ἐμνή-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἐμνήσθην ἐν νυκτὶ τοῦ ὀνόματός σου Κύριε, * καὶ ἐφύλαξα τὸν νόμον σου.

Αὕτη ἐγενήθη μοι, * ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα.

Μερίς μου εἶ Κύριε, * εἶπα τοῦ φυλάξασθαι τὸν νόμον σου.

Ἐδεήθην τοῦ προσώπου σου ἐν ὅλῃ τῇ καρδίᾳ μου; * ἐλέησόν με κατὰ τὸ λόγιόν σου.

Διελογισάμην τὰς ὁδούς σου, * καὶ ἐπέστρεψα τοὺς πόδας μου εἰς τὰ μαρτύριά σου.

Ἡτοιμάσθην, καὶ οὐκ ἐταράχθην, * τοῦ φυλάξασθαι τὰς ἐντολάς σου.

Σχοινία ἁμαρτωλῶν περιεπλάκησάν μοι, * καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην.

Μεσονύκτιον ἐξεγειρόμην, * τοῦ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου.

Μέτοχος ἐγώ εἰμι πάντων τῶν φοβουμένων σε, * καὶ τῶν φυλασσόντων τὰς ἐντολάς σου.

Τοῦ ἐλέους σου Κύριε πλήρης ἡ γῆ, * τὰ δικαιώματά σου δίδαξόν με.

Χρηστότητα ἐποίησας μετὰ τοῦ δούλου σου Κύριε, * κατὰ τὸν λόγον σου.

Χρηστότητα, καὶ παιδείαν, καὶ γνῶσιν δίδαξόν με, * ὅτι ταῖς ἐντολαῖς σου ἐπίστευσα.

Πρὸ τοῦ με ταπεινωθῆναι, * ἐγὼ ἐπλημμέλησα, * διὰ τοῦτο τὸ λόγιόν σου ἐφύλαξα.

Χρη-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου -
Μουσείο Τυπάλδων Ιακωβάτων

Χρηστὸς εἶ σὺ Κύριε, * καὶ ἐν τῇ χρηστότητί σου δίδαξόν με τὰ δικαιώματά σου.

Ἐπληθύνθη ἐπ' ἐμὲ ἀδικία ὑπερηφάνων, * ἐγὼ δὲ ἐν ὅλῃ καρδίᾳ μου ἐξερευνήσω τὰς ἐντολάς σου.

Ἐτυρώθη ὡς γάλα ἡ καρδία αὐτῶν, * ἐγὼ δὲ τὸν νόμον σου ἐμελέτησα.

Ἀγαθόν μοι, ὅτι ἐταπείνωσάς με, * ὅπως ἂν μάθω τὰ δικαιώματά σου.

Ἀγαθός μοι ὁ νόμος τοῦ στόματός σου, * ὑπὲρ χιλιάδας χρυσίου, καὶ ἀργυρίου. Δόξα καὶ νῦν. Ἀλλ.

Στάσις α'.

Αἱ χεῖρές σου ἐποίησάν με, καὶ ἔπλασάν με, * συνέτισόν με, καὶ μαθήσομαι τὰς ἐντολάς σου.

Οἱ φοβούμενοί σε ὄψονταί με, * καὶ εὐφρανθήσονται, ὅτι εἰς τοὺς λόγους σου ἐπήλπισα.

Ἔγνων Κύριε, ὅτι δικαιοσύνη τὰ κρίματά σου, * καὶ ἀληθείᾳ ἐταπείνωσάς με.

Γενηθήτω δὴ τὸ ἔλεός σου τοῦ παρακαλέσαι με, * κατὰ τὸ λόγιόν σου τῷ δούλῳ σου.

Ἐλθέτωσάν μοι οἱ οἰκτιρμοί σου, καὶ ζήσομαι, * ὅτι ὁ νόμος σου μελέτη μού ἐστιν.

Αἰσχυνθήτωσαν, ὑπερήφανοι, ὅτι ἀδίκως ἠνόμησαν εἰς ἐμέ, * ἐγὼ δὲ ἀδολεσχήσω ἐν ταῖς ἐντολαῖς σου.

Ἐπιστρεψάτωσάν με οἱ φοβούμενοί σε, * καὶ οἱ γινώσκοντες τὰ μαρτύριά σου.

Γεν-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Γενηθήτω ἡ καρδία μου ἄμωμος ἐν τοῖς δικαιώμασί σου, * ὅπως ἂν μὴ αἰσχυνθῶ.

Ἐκλείπει εἰς τὸ σωτήριόν σου ἡ ψυχή μου, * εἰς τοὺς λόγους σου ἐπήλπισα.

Ἐξέλιπον οἱ ὀφθαλμοί μου εἰς τὸ λόγιόν σου, * λέγοντες, πότε παρακαλέσεις με;

Ὅτι ἐγενήθην ὡς ἀσκὸς ἐν πάχνῃ, * τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην.

Πόσαι εἰσὶν αἱ ἡμέραι τοῦ δούλου σου; * πότε ποιήσεις μοι ἐκ τῶν καταδιωκόντων με κρίσιν;

Διηγήσαντό μοι παράνομοι ἀδολεσχίας, * ἀλλ' οὐχ ὡς ὁ νόμος σου Κύριε.

Πᾶσαι αἱ ἐντολαί σου ἀλήθεια, * ἀδίκως κατεδίωξάν με, βοήθησόν μοι.

Παραβραχὺ συνετέλεσάν με ἐν τῇ γῇ, * ἐγὼ δὲ οὐκ ἐγκατέλιπον τὰς ἐντολάς σου.

Κατὰ τὸ ἔλεός σου ζῆσόν με, * καὶ φυλάξω τὰ μαρτύρια τοῦ στόματός σου.

Εἰς τὸν αἰῶνα Κύριε ὁ λόγος σου * διαμένει ἐν τῷ οὐρανῷ.

Εἰς γενεὰν, καὶ γενεὰν ἡ ἀλήθειά σου. * Ἐθεμελίωσας τὴν γῆν, καὶ διαμένει.

Τῇ διατάξει σου διαμένει ἡμέρα, * ὅτι τὰ σύμπαντα δοῦλα σά.

Εἰ μὴ ὅτι ὁ νόμος σου μελέτη μου ἐστὶ, * τότε ἂν ἀπωλόμην ἐν τῇ ταπεινώσει μου.

Εἰς

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Εἰς τὸν αἰῶνα οὐ μὴ ἐπιλάθωμαι τῶν δικαιωμάτων σου, * ὅτι ἐν αὐτοῖς ἔζησάς με.

Στάσις β'.

Σός εἰμι ἐγώ, σῶσόν με, * ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα.

Ἐμὲ ὑπέμειναν ἁμαρτωλοὶ τοῦ ἀπολέσαι με, * τὰ μαρτύριά σου συνῆκα.

Πάσης συντελείας εἶδον πέρας, * πλατεῖα ἡ ἐντολή σου σφόδρα.

Ὡς ἠγάπησα τὸν νόμον σου, Κύριε, * ὅλην τὴν ἡμέραν μελέτη μου ἐστίν.

Ὑπὲρ τοὺς ἐχθρούς μου ἐσόφισάς με τὴν ἐντολήν σου, * ὅτι εἰς τὸν αἰῶνα ἐμοί ἐστιν.

Ὑπὲρ πάντας τοὺς διδάσκοντάς με συνῆκα, * ὅτι τὰ μαρτύριά σου μελέτη μου ἐστίν.

Ὑπὲρ πρεσβυτέρους συνῆκα, * ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα.

Ἐκ πάσης ὁδοῦ πονηρᾶς ἐκώλυσα τοὺς πόδας μου, * ὅπως ἂν φυλάξω τοὺς λόγους σου.

Ἀπὸ τῶν κριμάτων σου οὐκ ἐξέκλινα, * ὅτι σὺ ἐνομοθέτησάς με.

Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου, * ὑπὲρ μέλι τῷ στόματί μου.

Ἀπὸ τῶν ἐντολῶν σου συνῆκα, * διὰ τοῦτο ἐμίσησα πᾶσαν ὁδὸν ἀδικίας.

Λύχνος τοῖς ποσί μου ὁ νόμος σου, * καὶ φῶς ταῖς τρίβοις μου.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὤμοσα, καὶ ἔστησα τοῦ φυλάξασθαι * τὰ κρίματα τῆς δικαιοσύνης σου.

Ἐταπεινώθην ἕως σφόδρα Κύριε, * ζῆσόν με κατὰ τὸν λόγον σου.

Τὰ ἑκούσια τοῦ στόματός μου εὐδόκησον δὴ Κύριε, * καὶ τὰ κρίματά σου δίδαξόν με.

Ἡ ψυχή μου ἐν ταῖς χερσί σου διαπαντός, * καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην.

Ἔθεντο ἁμαρτωλοὶ παγίδα μοι, * καὶ ἐκ τῶν ἐντολῶν σου οὐκ ἐπλανήθην.

Ἐκληρονόμησα τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα, * ὅτι ἀγαλλίαμα τῆς καρδίας μου εἰσίν.

Ἔκλινα τὴν καρδίαν μου * τοῦ ποιῆσαι τὰ δικαιώματά σου εἰς τὸν αἰῶνα δι' ἀντάμειψιν.

Παρανόμους ἐμίσησα, * τὸν δὲ νόμον σου ἠγάπησα.

Βοηθός μου, καὶ ἀντιλήπτωρ μου εἶ σύ, * εἰς τοὺς λόγους σου ἐπήλπισα.

Ἐκκλίνατε ἀπ' ἐμοῦ πονηρευόμενοι, * καὶ ἐξερευνήσω τὰς ἐντολὰς τοῦ Θεοῦ μου.

Ἀντιλαβοῦ μου κατὰ τὸ λόγιόν σου, καὶ ζῆσόν με, * καὶ μὴ καταισχύνῃς με ἀπὸ τῆς προσδοκίας μου.

Βοήθησόν μοι, καὶ σωθήσομαι, * καὶ μελετήσω ἐν τοῖς δικαιώμασί σου διαπαντός.

Ἐξουδένωσας πάντας τοὺς ἀποστατοῦντας ἀπὸ τῶν δικαιωμάτων σου, * ὅτι ἄδικον τὸ ἐνθύμημα αὐτῶν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Παραβαίνοντας ἐλογισάμην πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς, * διὰ τοῦτο ἠγάπησα τὰ μαρτύριά σου.

Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου, * ἀπὸ γὰρ τῶν κριμάτων σου ἐφοβήθην.

Ἐποίησα κρίμα, καὶ δικαιοσύνην, * μὴ παραδῷς με τοῖς ἀδικοῦσί με.

Ἔκδεξαι τὸν δοῦλόν σου εἰς ἀγαθὸν, * μὴ συκοφαντησάτωσάν με ὑπερήφανοι.

Οἱ ὀφθαλμοί μου ἐξέλιπον εἰς τὸ σωτήριόν σου, * καὶ εἰς τὸ λόγιον τῆς δικαιοσύνης σου.

Ποίησον μετὰ τοῦ δούλου σου κατὰ τὸ ἔλεός σου, * καὶ τὰ δικαιώματά σου δίδαξόν με.

Δοῦλός σου εἰμὶ ἐγὼ, συνέτισόν με, * καὶ γνώσομαι τὰ μαρτύριά σου.

Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ, * διεσκέδασαν τὸν νόμον σου.

Διὰ τοῦτο ἠγάπησα τὰς ἐντολάς σου * ὑπὲρ χρυσίον, καὶ τοπάζιον.

Διὰ τοῦτο πρὸς πάσας τὰς ἐντολάς σου κατωρθούμην, * πᾶσαν ὁδὸν ἄδικον ἐμίσησα.

Θαυμαστὰ τὰ μαρτύριά σου, * διὰ τοῦτο ἐξηρεύνησεν αὐτὰ ἡ ψυχή μου.

Ἡ δήλωσις τῶν λόγων σου φωτιεῖ, * καὶ συνετιεῖ νηπίους.

Τὸ στόμα μου ἤνοιξα, καὶ εἵλκυσα πνεῦμα, * ὅτι τὰς ἐντολάς σου ἐπεπόθουν.

Δόξα καὶ νῦν. Ἀλλ.

Σπά-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Στάσις γ΄.

Ἐπίβλεψον ἐπ᾽ ἐμὲ, καὶ ἐλέησόν με, * κατὰ τὸ κρίμα τῶν ἀγαπώντων τὸ ὄνομά σου.

Τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου, * καὶ μὴ κατακυριευσάτω μου πᾶσα ἀνομία.

Λύτρωσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων, * καὶ φυλάξω τὰς ἐντολάς σου.

Τὸ πρόσωπόν σου ἐπίφανον ἐπὶ τὸν δοῦλόν σου, * καὶ δίδαξόν με τὰ δικαιώματά σου.

Διεξόδους ὑδάτων κατέδυσαν οἱ ὀφθαλμοί μου, * ἐπεὶ οὐκ ἐφύλαξα τὸν νόμον σου.

Δίκαιος εἶ Κύριε, * καὶ εὐθεῖς αἱ κρίσεις σου.

Ἐνετείλω δικαιοσύνην τὰ μαρτύριά σου, * καὶ ἀλήθειαν σφόδρα.

Ἐξέτηξέ με ὁ ζῆλός σου, * ὅτι ἐπελάθοντο τῶν λόγων σου οἱ ἐχθροί μου.

Πεπυρωμένον τὸ λόγιόν σου σφόδρα, * καὶ ὁ δοῦλός σου ἠγάπησεν αὐτό.

Νεώτερος ἐγώ εἰμι, καὶ ἐξουδενωμένος, * τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην.

Ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα, * καὶ ὁ νόμος σου ἀλήθεια.

Θλίψεις, καὶ ἀνάγκαι εὕροσάν με, * αἱ ἐντολαί σου μελέτη μου.

Δικαιοσύνη τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα, * συνέτισόν με, καὶ ζήσομαι.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἐκέκραξα ἐν ὅλῃ καρδίᾳ μου, ἐπάκουσόν μου Κύριε, * τὰ δικαιώματά σου ἐκζητήσω.

Ἐκέκραξά σοι, σῶσόν με, * καὶ φυλάξω τὰ μαρτύριά σου.

Προέφθασα ἐν ἀωρίᾳ, καὶ ἐκέκραξα, * εἰς τοὺς λόγους σου ἐπήλπισα.

Προέφθασαν οἱ ὀφθαλμοί μου πρὸς ὄρθρον, * τοῦ μελετᾷν τὰ λόγιά σου.

Τῆς φωνῆς μου ἄκουσον Κύριε κατὰ τὸ ἔλεός σου, * κατὰ τὸ κρῖμά σου ζῆσόν με.

Προσήγγισαν οἱ καταδιώκοντές με ἀνομίᾳ, * ἀπὸ δὲ τοῦ νόμου σου ἐμακρύνθησαν.

Ἐγγὺς εἶ σὺ Κύριε, * καὶ πᾶσαι αἱ ὁδοί σου ἀλήθεια.

Κατ' ἀρχὰς ἔγνων ἐκ τῶν μαρτυρίων σου, * ὅτι εἰς τὸν αἰῶνα ἐθεμελίωσας αὐτά.

Ἴδε τὴν ταπείνωσίν μου, καὶ ἐξελοῦ με, * ὅτι τοῦ νόμου σου οὐκ ἐπελαθόμην.

Κρῖνον τὴν κρίσιν μου, καὶ λύτρωσαί με, * διὰ τὸν λόγον σου ζῆσόν με.

Μακρὰν ἀπὸ ἁμαρτωλῶν σωτηρία, * ὅτι τὰ δικαιώματά σου οὐκ ἐξεζήτησαν.

Οἱ οἰκτιρμοί σου πολλοὶ Κύριε, * κατὰ τὸ κρῖμά σου ζῆσόν με.

Πολλοὶ οἱ ἐκδιώκοντές με, καὶ θλίβοντές με, * ἐκ τῶν μαρτυρίων σου οὐκ ἐξέκλινα.

Εἶδον

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου -
Μουσείο Τυπάλδων Ιακωβάτων

Εἶδον ἀσυνετοῦντας, καὶ ἐξετηκόμην, * ὅτι τὰ λόγιά σου οὐκ ἐφυλάξαντο.

Ἴδε ὅτι τὰς ἐντολάς σου ἠγάπησα Κύριε, * ἐν τῷ ἐλέει σου ζῆσόν με.

Ἀρχὴ τῶν λόγων σου ἀλήθεια, * καὶ εἰς τὸν αἰῶνα πάντα τὰ κρίματα τῆς δικαιοσύνης σου.

Ἄρχοντες κατεδίωξάν με δωρεάν, * καὶ ἀπὸ τῶν λόγων σου ἐδειλίασεν ἡ καρδία μου.

Ἀγαλλιάσομαι ἐγὼ ἐπὶ τὰ λόγιά σου, * ὡς ὁ εὑρίσκων σκῦλα πολλά.

Ἀδικίαν ἐμίσησα, καὶ ἐβδελυξάμην, * τὸν δὲ νόμον σου ἠγάπησα.

Ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε, * ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου.

Εἰρήνη πολλὴ τοῖς ἀγαπῶσι τὸν νόμον σου, * καὶ οὐκ ἔστιν αὐτοῖς σκάνδαλον.

Προσεδόκων τὸ σωτήριόν σου Κύριε, * καὶ τὰς ἐντολάς σου ἠγάπησα.

Ἐφύλαξεν ἡ ψυχή μου τὰ μαρτύριά σου, * καὶ ἠγάπησεν αὐτὰ σφόδρα.

Ἐφύλαξα τὰς ἐντολάς σου, καὶ τὰ μαρτύριά σου, * ὅτι πᾶσαι αἱ ὁδοί μου ἐναντίον σου Κύριε.

Ἐγγισάτω ἡ δέησίς μου ἐνώπιόν σου Κύριε, * κατὰ τὸ λόγιόν σου συνέτισόν με.

Εἰσέλθοι τὸ ἀξίωμά μου ἐνώπιόν σου Κύριε, * κατὰ τὸ λόγιόν σου ῥῦσαί με.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἐξερεύξαιντο τὰ χείλη μου ὕμνον, * ὅταν διδάξῃς με τὰ δικαιώματά σου.

Φθέγξαιτο ἡ γλῶσσά μου τὰ λόγιά σου, * ὅτι πᾶσαι αἱ ἐντολαί σου δικαιοσύνη.

Γ ενέσθω χείρ σου τοῦ σῶσαί με. * ὅτι τὰς ἐντολάς σου ἡρετισάμην;

Ἐπεπόθησα τὸ σωτήριόν σου Κύριε, * καὶ ὁ νόμος σου μελέτη μου ἐστί.

Ζ ήσεται ἡ ψυχή μου, καὶ αἰνέσει σε, * καὶ τὰ κρίματά σου βοηθήσει μοι.

Ἐπλανήθην ὡς πρόβατον ἀπολωλὸς, * ζήτησον τὸν δοῦλόν σου, ὅτι τὰς ἐντολάς σου οὐκ ἐπελαθόμην.

Δ όξα καὶ νῦν. Ἀλλ. ἀλλ.

Στιχολογ. ε'.

ΤΗ ΩΡΑ Γ'., ΤΗΣ Δ'. ΤΗΣ ΕΒΔΟΜΑΔΟΣ

μία δὲ ἐν τοῖς ἤχοις α'. γ'. πλ. α'. βαρ'.

Ὠδὴ τῶν ἀναβαθμῶν. ριθ'. 119.

Πρὸς [1] Κύριον ἐν τῷ θλίβεσθαί με ἐκέκραξα, * καὶ εἰσήκουσέ μου.

Κ ύριε [2] ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων ἀδίκων, * καὶ ἀπὸ γλώσσης δολίας.

Τ ὶ δοθείη σοι, * καὶ τί προστεθείη σοι πρὸς γλῶσσαν δολίαν;

Τ ὰ βέλη τοῦ δυνατοῦ ἠκονημένα * σὺν τοῖς ἄνθραξι τοῖς ἐρημικοῖς.

Οἴ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Οἴμοι, ὅτι ἡ παροικία μου ἐμακρύνθη, * κατεσκήνωσα μετὰ τῶν σκηνωμάτων Κηδάρ, πολλὰ παρῴκησεν ἡ ψυχή μου.

Μετὰ τῶν μισούντων τὴν εἰρήνην ἤμην εἰρηνικός, * ὅταν ἐλάλουν αὐτοῖς, ἐπολέμουν με δωρεάν.

Ὠδὴ τῶν ἀναβαθμῶν. ρκ'. 120.

Ἦρα τοὺς ² ὀφθαλμούς μου εἰς τὰ ὄρη, * ὅθεν ἥξει ἡ βοήθειά μου.

Ἡ βοήθειά μου παρὰ Κυρίου τοῦ ποιήσαντος τὸν οὐρανόν, * καὶ τὴν γῆν.

Μὴ δῴη εἰς σάλον τὸν πόδα σου, * μὴ δὲ νυστάξῃ ὁ φυλάσσων σε.

Ἰδοὺ οὐ νυστάξει * οὐδὲ ὑπνώσει ὁ φυλάσσων τὸν Ἰσραήλ.

Κύριος ¹ φυλάξοι σε, * Κύριος σκέπη σοι ἐπὶ τὴν χεῖρα δεξιάν σου.

Ἡμέρας ὁ ἥλιος οὐ συγκαύσει σε, * οὐδὲ ἡ σελήνη τὴν νύκτα.

Κύριος φυλάξοι σε ἀπὸ παντὸς κακοῦ, * φυλάξοι τὴν ψυχήν σου ὁ Κύριος.

Κύριος φυλάξοι τὴν εἴσοδόν σου, * καὶ τὴν ἔξοδόν σου, ἀπὸ τοῦ νῦν, καὶ ἕως τοῦ αἰῶνος.

Ὠδὴ τῶν ἀναβαθμῶν. ρκα'. 121.

Εὐφράνθην ² ἐπὶ τοῖς εἰρηκόσι μοι, * εἰς οἶκον τοῦ Κυρίου πορευσόμεθα.

Ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν * ἐν ταῖς αὐλαῖς σου Ἱερουσαλήμ.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἱερουσαλὴμ οἰκοδομουμένη ὡς πόλις, * ἧς ἡ μετοχὴ αὐτῆς ἐπὶ τὸ αὐτό.

Ἐκεῖ γὰρ ἀνέβησαν αἱ φυλαὶ, φυλαὶ Κυρίου, * μαρτύριον τοῦ Ἰσραὴλ, τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματι Κυρίου.

Ὅτι ἐκεῖ ἐκάθισαν θρόνοι εἰς κρίσιν, * θρόνοι ἐπὶ οἶκον Δαβίδ.

Ἐρωτήσατε δὴ τὰ εἰς εἰρήνην τὴν Ἱερουσαλὴμ, * καὶ εὐθηνία τοῖς ἀγαπῶσί σε.

Γενέσθω εἰρήνη ἐν τῇ δυνάμει σου, * καὶ εὐθηνία ἐν ταῖς πυργοβάρεσί σου.

Ἕνεκα τῶν ἀδελφῶν μου, καὶ τῶν πλησίων μου, * ἐλάλουν δὴ εἰρήνην περὶ σοῦ.

Ἕνεκα [1] τοῦ οἴκου Κυρίου τοῦ Θεοῦ ἡμῶν * ἐξεζήτησα τὰ ἀγαθά σοι.

## Ὠδὴ τῶν ἀναβαθμῶν. ρκβʹ. 122.

Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου, * τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ.

Ἰδοὺ ὡς ὀφθαλμοὶ δούλων * εἰς χεῖρας τῶν κυρίων αὐτῶν. *

Ὡς ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς κυρίας αὐτῆς, οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς κύριον τὸν Θεὸν ἡμῶν, ἕως οὗ οἰκτειρήσαι ἡμᾶς.

Ἐλέησον ἡμᾶς Κύριε, ἐλέησον ἡμᾶς, * ὅτι ἐπὶ πολὺ ἐπλήσθημεν ἐξουδενώσεως.

Ἐπιπλεῖον ἐπλήσθη ἡ ψυχὴ ἡμῶν, * τὸ ὄνειδος τοῖς εὐθηνοῦσι, καὶ ἡ ἐξουδένωσις τοῖς ὑπερηφάνοις.

Ὠδὴ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὠδὴ τῶν ἀναβαθμῶν. ρκγ΄. 123.

ΕΙ μὴ ὅτι Κύριος [2] ἦν ἐν ἡμῖν, εἰπάτω δὴ
Ἰσραήλ, * εἰ μὴ, ὅτι Κύριος ἦν ἐν ἡμῖν. ***
Ἐν τῷ ἐπαναστῆναι ἀνθρώπους ἐφ' ἡμᾶς, * ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς.
Ἐν τῷ ὀργισθῆναι τὸν θυμὸν αὐτῶν ἐφ' ἡμᾶς, * ἄρα τὸ ὕδωρ ἂν κατεπόντισεν ἡμᾶς.
Χείμαῤῥον διῆλθεν ἡ ψυχὴ ἡμῶν, * ἄρα διῆλθεν ἡ ψυχὴ ἡμῶν τὸ ὕδωρ τὸ ἀνυπόστατον.
Εὐλογητὸς Κύριος, * ὃς οὐκ ἔδωκεν ἡμᾶς εἰς θήραν τοῖς ὀδοῦσιν αὐτῶν.
Ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐῤῥύσθη * ἐκ τῆς παγίδος τῶν θηρευόντων.
Ἡ παγὶς συνετρίβη, * καὶ ἡμεῖς ἐῤῥύσθημεν.
Ἡ βοήθεια [1] ἡμῶν ἐν ὀνόματι Κυρίου, * τοῦ ποιήσαντος τὸν οὐρανὸν, καὶ τὴν γῆν. Δόξα καὶ νῦν. Ἀλλ.

Στιχολογ. ϛ΄.

ΤΗ ΑΥΤΗ ΩΡΑ Γ΄, ΤΗΣ Δ΄. ΤΗΣ ΕΒΔΟΜ.

μία μὲν ἐν τοῖς ἦχ. β΄ δ΄. πλ. β΄. πλ. δ΄.

Ὠδὴ τῶν ἀναβαθμῶν. ρκδ΄. 124.

ΟΙ πεποιθότες [1] ἐπὶ Κύριον ὡς ὄρος Σιὼν, * οὐ
[2] σαλευθήσεται εἰς τὸν αἰῶνα, ὁ κατοικῶν Ἱερουσαλήμ.
Ὄρη κύκλῳ αὐτῆς, καὶ ὁ Κύριος κύκλῳ τοῦ λαοῦ αὐτοῦ, * ἀπὸ τοῦ νῦν, καὶ ἕως τοῦ αἰῶνος.
Ὅτι οὐκ ἀφήσει Κύριος τὴν ῥάβδον τῶν ἁμαρτωλῶν

ἐπὶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ἐπὶ τὸν κλῆρον τῶν δικαίων, * ὅπως ἂν μὴ ἐκτείνωσιν οἱ δίκαιοι ἐν ἀνομίαις χεῖρας αὐτῶν.

Ἀγάθυνον Κύριε τοῖς ἀγαθοῖς, * καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ.

Τοὺς δὲ ἐκκλίνοντας εἰς τὰς στραγγαλιὰς, ἀπάξει Κύριος μετὰ τῶν ἐργαζομένων τὴν ἀνομίαν, * εἰρήνη ἐπὶ τὸν Ἰσραήλ.

Ὠδὴ τῶν ἀναβαθμῶν. ρκε'. 125.

ΕΝ τῷ [1] ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν ✠ Σιὼν, * ἐγενήθημεν ὡσεὶ παρακεκλημένοι.

Τότε [2] ἐπλήσθη χαρᾶς τὸ στόμα ἡμῶν, * καὶ ἡ γλῶσσα ἡμῶν ἀγαλλιάσεως. ✠

Τότε ἐροῦσιν ἐν τοῖς ἔθνεσιν, * ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μεθ' αὐτῶν.

Ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μεθ' ἡμῶν, * ἐγενήθημεν εὐφραινόμενοι.

Ἐπίστρεψον Κύριε τὴν αἰχμαλωσίαν ἡμῶν, * ὡς χειμάῤῥους ἐν τῷ νότῳ.

Οἱ σπείροντες ἐν δάκρυσιν, * ἐν ἀγαλλιάσει θεριοῦσι.

Πορευόμενοι ἐπορεύοντο, καὶ ἔκλαιον, * βάλλοντες τὰ σπέρματα αὐτῶν.

Ἐρχόμενοι δὲ ἥξουσιν ἐν ἀγαλλιάσει, * αἴροντες τὰ δράγματα αὐτῶν.

Ὠδὴ τῶν ἀναβαθμῶν. ρκϛ'. 126.

ΕΑν μὴ [1] Κύριος οἰκοδομήσῃ οἶκον, * εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες. ✠

Ἐὰν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἐὰν μὴ Κύριος [2] φυλάξῃ πόλιν, * εἰς μάτην † ἠγρύπνησεν ὁ φυλάσσων.

Εἰς μάτην ὑμῖν ἐστὶ τὸ ὀρθρίζειν, * ἐγείρεσθε μετὰ τὸ καθῆσθαι, οἱ ἐσθίοντες ἄρτον ὀδύνης.

Ὅταν δῷ τοῖς ἀγαπητοῖς αὐτοῦ ὕπνον, * ἰδοὺ ἡ κληρονομία Κυρίου, υἱοὶ, ὁ μισθὸς τοῦ καρποῦ τῆς γαστρός.

Ὡσεὶ βέλη ἐν χειρὶ δυνατοῦ, * οὕτως οἱ υἱοὶ τῶν ἐκτετιναγμένων.

Μακάριος, ὃς πληρώσει τὴν ἐπιθυμίαν αὐτοῦ ἐξ αὐτῶν, * οὐ καταισχυνθήσονται, ὅταν λαλῶσι τοῖς ἐχθροῖς αὐτοῦ ἐν πύλαις.

Ὠδὴ τῶν ἀναβαθμῶν. ρκζ΄. 127.

Μακάριοι [2] πάντες οἱ φοβούμενοι τὸν Κύριον, * † οἱ πορευόμενοι ἐν ταῖς ὁδοῖς αὐτοῦ.

Τοὺς πόνους τῶν καρπῶν σου ὅτι φάγεσαι, * μακάριος εἶ, καὶ καλῶς σοι ἔσται.

Ἡ γυνή σου ὡς ἄμπελος εὐθηνοῦσα * ἐν τοῖς κλίτεσι τῆς οἰκίας σου. ***

Οἱ υἱοί σου ὡς νεόφυτα ἐλαιῶν κύκλῳ * τῆς τραπέζης σου.

Ἰδοὺ οὕτως εὐλογηθήσεται ἄνθρωπος * ὁ φοβούμενος τὸν Κύριον.

Εὐλογήσαι σε [1] Κύριος ἐκ Σιών, * καὶ ἴδοις τὰ † ἀγαθὰ Ἱερουσαλὴμ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου.

Καὶ ἴδοις υἱοὺς τῶν υἱῶν σου, * εἰρήνη ἐπὶ τὸν Ἰσραήλ.

Ὠδὴ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὠδὴ τῶν ἀναβαθμῶν. ρκή. 128.

ΠΛεονάκις ² ἐπολέμησάν με ἐκ νεότητός μου, * ✝ εἰπάτω δὴ Ἰσραήλ.

Πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου, * καὶ γὰρ οὐκ ἠδυνήθησάν μοι.

Ἐπὶ τὸν νῶτόν μου ἐτέκταινον οἱ ἁμαρτωλοὶ, * ἐμάκρυναν τὴν ἀνομίαν αὐτῶν.

Κύριος δίκαιος συνέκοψεν αὐχένας ἁμαρτωλῶν, * αἰσχυνθήτωσαν, καὶ ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω πάντες οἱ μισοῦντες Σιών.

Γενηθήτωσαν ὡσεὶ χόρτος δωμάτων, * ὃς πρὸ τοῦ ἐκσπασθῆναι ἐξηράνθη.

Οὗ οὐκ ἐπλήρωσε τὴν χεῖρα αὐτοῦ ὁ θερίζων, * καὶ τὸν κόλπον αὐτοῦ ὁ τὰ δράγματα συλλέγων.

Καὶ οὐκ εἶπαν οἱ παράγοντες, εὐλογία Κυρίου ἐφ' ὑμᾶς, * ¹ εὐλογήκαμεν ὑμᾶς ἐν ὀνόματι Κυρίου. ✝

Δόξα καὶ νῦν. ἀλλ.

Ὠδὴ τῶν ἀναβαθμῶν. ρκθ'. 129.

ἘΚ βαθέων ἐκέκραξά σοι. λέγεται. εἰς τὴν ἑσπ. φύλ. 164.

Στιχολ. ζ'.

ΤΗ ΩΡΑ Γ'. ΤΗΣ Ε'. ΤΗΣ ΕΒΔΟΜΑΔΟΣ

μία μὲν ἐν τοῖς ἦχ. α'. γ'. πλ. α'. βαρ'.

Ὠδὴ τῶν ἀναβαθμῶν. ρλ' 130.

ΚΥ'ριε ² οὐχ ὑψώθη ἡ καρδία μου, * οὐδὲ ἐμετεωρίσθησαν οἱ ὀφθαλμοί μου. ✝

Οὐ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Οὐδὲ ἐπορεύθην ἐν μεγάλοις, * οὐδὲ ἐν θαυμασίοις ὑπὲρ ἐμέ.

Εἰ μὴ ἐταπεινοφρόνουν, * ἀλλὰ ὕψωσα τὴν ψυχήν μου.

Ὡς τὸ ἀπογεγαλακτισμένον ἐπὶ τὴν μητέρα αὐτοῦ, * ὡς ἀνταποδώσεις ἐπὶ τὴν ψυχήν μου.

Ἐλπισάτω [1] Ἰσραὴλ ἐπὶ τὸν Κύριον, * ἀπὸ τοῦ νῦν, καὶ ἕως τοῦ αἰῶνος.

Ὠδὴ τῶν ἀναβαθμῶν. ρλα΄. 131.

ΜΝήσθητι [2] Κύριε τοῦ Δαβίδ, * καὶ πάσης τῆς πραότητος αὐτοῦ.

Ὡς ὤμοσε τῷ Κυρίῳ, * ηὔξατο τῷ Θεῷ Ἰακώβ.

Εἰ εἰσελεύσομαι εἰς σκήνωμα οἴκου μου * εἰ ἀναβήσομαι ἐπὶ κλίνης στρωμνῆς μου.

Εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου, * καὶ τοῖς βλεφάροις μου νυσταγμὸν, καὶ ἀνάπαυσιν τοῖς κροτάφοις μου.

Ἕως οὗ εὕρω τόπον τῷ Κυρίῳ, * σκήνωμα τῷ Θεῷ Ἰακώβ.

Ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν Εὐφραθᾷ, * εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ.

Εἰσελευσόμεθα εἰς τὰ σκηνώματα αὐτοῦ, προσκυνήσομεν εἰς τὸν τόπον, * οὗ ἔστησαν οἱ πόδες αὐτοῦ.

Ἀνάστηθι [1] Κύριε εἰς τὴν ἀνάπαυσίν σου, * σὺ, καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου. * * *

Οἱ ἱερεῖς σου ἐνδύσονται δικαιοσύνην, * καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται. * * *

Ἕνε-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἕνεκεν Δαβὶδ τοῦ δούλου σου, * μὴ ἀποστρέψῃς τὸ πρόσωπον τοῦ Χριστοῦ σου.

Ὤμοσε Κύριος τῷ Δαβὶδ ἀλήθειαν, καὶ οὐ μὴ ἀθετήσει αὐτήν, * ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου.

Ἐὰν φυλάξωνται οἱ υἱοί σου τὴν διαθήκην μου, * καὶ τὰ μαρτύριά μου ταῦτα, ἃ διδάξω αὐτούς.

Καὶ υἱοὶ αὐτῶν ἕως τοῦ αἰῶνος, * καθιοῦνται ἐπὶ τοῦ θρόνου σου.

Ὅτι ἐξελέξατο Κύριος τὴν Σιών, * ᾑρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ.

Αὕτη ἡ κατάπαυσίς μου εἰς αἰῶνα αἰῶνος, * ὧδε κατοικήσω, ὅτι ᾑρετισάμην αὐτήν.

Τὴν θήραν αὐτῆς εὐλογῶν εὐλογήσω, * τοὺς πτωχοὺς αὐτῆς χορτάσω ἄρτων.

Τοὺς ἱερεῖς αὐτῆς ἐνδύσω σωτηρίαν, * καὶ οἱ ὅσιοι αὐτῆς ἀγαλλιάσει ἀγαλλιάσονται.

Ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαβίδ, * ἡτοίμασα λύχνον τῷ Χριστῷ μου. ***

Τοὺς ἐχθροὺς αὐτοῦ ἐνδύσω αἰσχύνην, * ἐπὶ δὲ αὐτὸν ἐξανθήσει τὸ ἁγίασμά μου.

Ὠδὴ τῶν ἀναβαθμῶν. ρλβ'. 132.

Ἰδοὺ δὴ [1] τί καλόν, ἢ τί τερπνόν; * ἀλλ' ἢ τὸ ✠ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό; ***

Ὡς μύρον [2] ἐπὶ κεφαλῆς τὸ καταβαῖνον ἐπὶ πώ- ✠ γωνα, * τὸν πώγωνα τὸν Ἀαρών.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου -
Μουσείο Τυπάλδων Ιακωβάτων

Τὸ καταβαῖνον ἐπὶ τὴν ὤαν τοῦ ἐνδύματος αὐτοῦ, * ὡς δρόσος Ἀερμὼν ἡ καταβαίνουσα ἐπὶ τὰ ὄρη Σιών.
Ὅτι ἐκεῖ ἐνετείλατο Κύριος τὴν εὐλογίαν, * ζωὴν ἕως τοῦ αἰῶνος.

Ὠδὴ τῶν ἀναβαθμῶν. ρλγ'. 133.

Ἰδοὺ δὴ [2] εὐλογεῖτε τὸν Κύριον, * πάντες οἱ † δοῦλοι Κυρίου.
Οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, * ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.
Ἐν ταῖς νυξὶν ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια, * καὶ εὐλογεῖτε τὸν Κύριον.
Εὐλογήσαι σε [1] Κύριος ἐκ Σιών, * ὁ ποιήσας † τὸν οὐρανὸν, καὶ τὴν γῆν.
Δόξα καὶ νῦν. Ἀλλ. ἀλλ.

Στιχολ. η'.

ΤΗ ΑΥΤΗ ΩΡΑ Γ'., ΤΗΣ Ε'. ΤΗΣ ΕΒΔΟΜΑΔ.

μία μὲν, ἐν τοῖς ἦχ. β'. δ'. πλ.β'. πλ.δ'.

Ἀλληλούϊα. ρλδ'. 134.

Αἰνεῖτε τὸ [2] ὄνομα Κυρίου, * αἰνεῖτε δοῦλοι † Κύριον.
Οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, * ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.
Αἰνεῖτε τὸν Κύριον, ὅτι ἀγαθὸς Κύριος, * ψάλατε τῷ ὀνόματι αὐτοῦ, ὅτι καλόν.
Ὅτι τὸν Ἰακὼβ ἐξελέξατο ἑαυτῷ ὁ Κύριος, * Ἰσραὴλ εἰς περιουσιασμὸν ἑαυτῷ.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὅτι ἐγὼ ἔγνωκα, ὅτι μέγας ὁ Κύριος, * καὶ ὁ Κύριος ἡμῶν παρὰ πάντας τοὺς Θεούς.

Πάντα, ὅσα ἠθέλησεν ὁ Κύριος, ἐποίησεν ἐν τῷ οὐρανῷ, καὶ ἐν τῇ γῇ, * ἐν ταῖς θαλάσσαις, καὶ ἐν πάσαις ταῖς ἀβύσσοις. ***

Ἀνάγων νεφέλας ἐξ ἐσχάτου τῆς γῆς, * ἀστραπὰς εἰς ὑετὸν ἐποίησε.

Ὁ ἐξάγων ἀνέμους ἐκ θησαυρῶν αὐτοῦ, * ὃς ἐπάταξε τὰ πρωτότοκα Αἰγύπτου ἀπὸ ἀνθρώπου ἕως κτήνους.

Ἐξαπέστειλε σημεῖα, καὶ τέρατα ἐν μέσῳ σου Αἴγυπτε, * ἐν Φαραώ, καὶ ἐν πᾶσι τοῖς δούλοις αὐτοῦ.

Ὃς ἐπάταξεν ἔθνη πολλά, * καὶ ἀπέκτεινε βασιλεῖς κραταιούς.

Τὸν Σηὼν βασιλέα τῶν Ἀμορραίων, * καὶ τὸν Ὢγ βασιλέα τοῦ Βασάν, καὶ πάσας τὰς βασιλείας Χαναάν.

Καὶ ἔδωκε τὴν γῆν αὐτῶν κληρονομίαν, * κληρονομίαν Ἰσραὴλ λαῷ αὐτοῦ.

Κύριε τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, * καὶ τὸ μνημόσυνόν σου εἰς γενεὰν, καὶ γενεάν.

Ὅτι κρινεῖ Κύριος τὸν λαὸν αὐτοῦ, * καὶ ἐπὶ τοῖς δούλοις αὐτοῦ παρακληθήσεται.

Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον, καὶ χρυσίον, * ἔργα χειρῶν ἀνθρώπων.

Στόμα ἔχουσι, καὶ οὐ λαλήσουσιν, * ὀφθαλμοὺς ἔχουσι, καὶ οὐκ ὄψονται.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὦτα ἔχουσι, καὶ οὐκ ἐνωτισθήσονται, * οὐδὲ γάρ ἐστι πνεῦμα ἐν τῷ στόματι αὐτῶν.
Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτὰ, * καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς.
Οἶκος Ἰσραὴλ εὐλογήσατε τὸν Κύριον, * οἶκος Ἀαρὼν εὐλογήσατε τὸν Κύριον.
Οἶκος Λευὶ εὐλογήσατε τὸν Κύριον, * οἱ φοβούμενοι τὸν Κύριον εὐλογήσατε τὸν Κύριον. ✝
Εὐλογητὸς Κύριος ἐκ Σιὼν, * ὁ κατοικῶν Ἱερουσαλήμ.

Ἀλληλούϊα. ρλε΄. 135.

Ἐξομολογεῖσθε τῷ Κυρίῳ. λέλεκτ. εἰς τὸν ὄρθρο. φύλ. 53.

Ψαλμὸς τῷ Δαβὶδ διὰ Ἱερεμίου. ρλϛ. 136.

Ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος ἐκεῖ ἐκαθίσαμεν, * καὶ ἐκλαύσαμεν ἐν τῷ μνησθῆναι ἡμᾶς τῆς Σιών.
Ἐπὶ ταῖς ἰτέαις ἐν μέσῳ αὐτῆς * ἐκρεμάσαμεν τὰ ὄργανα ἡμῶν.
Ὅτι ἐκεῖ ἐπηρώτησαν ἡμᾶς οἱ αἰχμαλωτεύσαντες ἡμᾶς, * λόγους ᾠδῶν.
Καὶ οἱ ἀπαγαγόντες ἡμᾶς, ὕμνον, * ᾄσατε ἡμῖν ἐκ τῶν ᾠδῶν Σιών.
Πῶς ᾄσωμεν τὴν ᾠδὴν Κυρίου * ἐπὶ γῆς ἀλλοτρίας;
Ἐὰν ἐπιλάθωμαί σου Ἱερουσαλὴμ, * ἐπιληθείη ἡ δεξιά μου.
Κολληθείη ἡ γλῶσσά μου τῷ λάρυγγί μου, * ἐὰν μή σου μνησθῶ.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἐὰν μὴ προανατάξωμαι τὴν Ἱερουσαλὴμ, * ὡς ἐν ἀρχῇ τῆς εὐφροσύνης μου.

Μνήσθητι Κύριε τῶν υἱῶν Ἐδὼμ * τὴν ἡμέραν Ἱερουσαλήμ.

Τῶν λεγόντων, ἐκκενοῦτε, * ἐκκενοῦτε ἕως τῶν θεμελίων αὐτῆς.

Θυγάτηρ Βαβυλῶνος ἡ ταλαίπωρος, * μακάριος, ὃς ἀνταποδώσει σοι τὸ ἀνταπόδομά σου, ὃ ἀνταπέδωκας ἡμῖν.

Μακάριος, ὃς κρατήσει, * καὶ ἐδαφιεῖ τὰ νήπιά σου πρὸς τὴν πέτραν.

Ψαλμὸς τῷ Δαβὶδ Ἀγγαίου, καὶ Ζαχαρίου. ρλζ΄. 137.

Ἐξομολογήσομαί σοι Κύριε ἐν ὅλῃ καρδίᾳ μου, * † καὶ ἐναντίον Ἀγγέλων ψαλῶ σοι.

Ὅτι ἤκουσας πάντα τὰ ῥήματα τοῦ στόματός μου, * προσκυνήσω πρὸς ναὸν ἅγιόν σου, καὶ ἐξομολογήσομαι τῷ ὀνόματί σου.

Ἐπὶ τῷ ἐλέει σου, καὶ τῇ ἀληθείᾳ σου, * ὅτι ἐμεγάλυνας ἐπὶ πᾶν τὸ ὄνομα τὸ ἅγιόν σου.

Ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε, ταχὺ ἐπάκουσόν μου, * πολυωρήσεις με ἐν ψυχῇ μου δυνάμει σου.

Ἐξομολογησάσθωσάν σοι Κύριε πάντες οἱ βασιλεῖς τῆς γῆς, * ὅτι ἤκουσαν πάντα τὰ ῥήματα τοῦ στόματός σου.

Καὶ ᾀσάτωσαν ἐν ταῖς ὁδοῖς Κυρίου, * ὅτι μεγάλη ἡ δόξα Κυρίου.

Ὅτι

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὅτι ὑψηλὸς Κύριος, καὶ τὰ ταπεινὰ ἐφορᾷ, * καὶ τὰ ὑψηλὰ ἀπὸ μακρόθεν γινώσκει.

Ἐὰν πορευθῶ ἐν μέσῳ θλίψεως, ζήσεις με, * ἐπ᾽ ὀργὴν ἐχθρῶν μου ἐξέτεινας χεῖρά σου, καὶ ἔσωσέ με ἡ δεξιά σου.

Κύριος ἀνταποδώσει ὑπὲρ ἐμοῦ, Κύριε τὸ ἔλεός σου εἰς τὸν αἰῶνα,* τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.

Δόξα καὶ νῦν. Ἀλλ. ἀλλ.

Στίχολογ. θ΄.

## ΤΗ ΠΑΡΑΣΚΕΥΗ ΤΗΣ ΕΒΔΟΜΑΔΟΣ

μία μὲν ἐν τοῖς ἦχ. α΄. γ΄. πλ. α΄. βαρ΄

Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαβίδ, Ζαχαρίου ἐν τῇ διασπορᾷ. ρλη΄. 138.

Κύριε ἐδοκίμασάς με, καὶ ἔγνως με, * σὺ ἔγνως τὴν καθέδραν μου, καὶ τὴν ἔγερσίν μου.

Σὺ συνῆκας τοὺς διαλογισμούς μου ἀπὸ μακρόθεν, * τὴν τρίβον μου, καὶ τὴν σχοῖνόν μου σὺ ἐξιχνίασας.

Καὶ πάσας τὰς ὁδούς μου προεῖδες, * ὅτι οὐκ ἔστι δόλος ἐν γλώσσῃ μου.

Ἰδοὺ Κύριε σὺ ἔγνως πάντα τὰ ἔσχατα, καὶ τὰ ἀρχαῖα, * σὺ ἔπλασάς με, καὶ ἔθηκας ἐπ᾽ ἐμὲ τὴν χεῖρά σου.

Ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ,* ἐκραταιώθη, οὐ μὴ δυνώμαι πρὸς αὐτήν.

Ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου, * καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω;



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἐὰν ἀναβῶ εἰς τὸν οὐρανὸν, σὺ ἐκεῖ εἶ, * ἐὰν καταβῶ εἰς τὸν ᾅδην, πάρει.

Ἐὰν ἀναλάβοιμι τὰς πτέρυγάς μου κατ' ὄρθρον, * καὶ κατασκηνώσω εἰς τὰ ἔσχατα τῆς θαλάσσης.

Καὶ γὰρ ἐκεῖ ἡ χείρ σου ὁδηγήσει με, * καὶ καθέξει με ἡ δεξιά σου.

Καὶ εἶπα, ἄρα σκότος καταπατήσει με, * καὶ νὺξ φωτισμὸς ἐν τῇ τρυφῇ μου.

Ὅτι σκότος οὐ σκοτισθήσεται ἀπὸ σοῦ, καὶ νὺξ ὡς ἡμέρα φωτισθήσεται, * ὡς τὸ σκότος αὐτῆς, οὕτω, καὶ τὸ φῶς αὐτῆς.

Ὅτι σὺ ἐκτήσω τοὺς νεφρούς μου, * ἀντελάβου μου ἐκ γαστρὸς μητρός μου.

Ἐξομολογήσομαί σοι, ὅτι φοβερῶς ἐθαυμαστώθης, * θαυμάσια τὰ ἔργα σου, καὶ ἡ ψυχή μου γινώσκει σφόδρα.

Οὐκ ἐκρύβη τὸ ὀστοῦν μου ἀπὸ σοῦ, ὃ ἐποίησας ἐν κρυφῇ, * καὶ ἡ ὑπόστασίς μου ἐν τοῖς κατωτάτοις τῆς γῆς.

Τὸ ἀκατέργαστόν μου εἶδον οἱ ὀφθαλμοί σου, * καὶ ἐπὶ τὸ βιβλίον σου πάντες γραφήσονται, ἡμέραι πλασθήσονται, καὶ οὐθεὶς ἐν αὐτοῖς.

Ἐμοὶ δὲ λίαν ἐτιμήθησαν οἱ φίλοι σου ὁ Θεὸς, * λίαν ἐκραταιώθησαν αἱ ἀρχαὶ αὐτῶν.

Ἐξαριθμήσομαι αὐτοὺς, καὶ ὑπὲρ ἄμμον πληθυνθήσονται, * ἐξηγέρθην, καὶ ἔτι εἰμὶ μετὰ σοῦ.

Ἐὰν ἀποκτείνῃς ἁμαρτωλοὺς ὁ Θεὸς, * ἄνδρες αἱμάτων ἐκκλίνατε ἀπ' ἐμοῦ.

Ὅτι

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὅτι ἐρισταὶ ἐστὲ εἰς διαλογισμοὺς, * λήψονται εἰς ματαιότητα τὰς πόλεις σου.

Οὐχὶ τοὺς μισοῦντάς σε Κύριε ἐμίσησα, * καὶ ἐπὶ τοὺς ἐχθρούς σου ἐξετηκόμην.

Τέλειον μῖσος ἐμίσουν αὐτοὺς, * εἰς ἐχθροὺς ἐγένοντό μοι.

Δοκίμασόν με ὁ Θεὸς, καὶ γνῶθι τὴν καρδίαν μου, * ἔτασόν με, καὶ γνῶθι τὰς τρίβους μου.

Καὶ ἴδε εἰ ὁδὸς ἀνομίας ἐν ἐμοὶ, * καὶ ὁδήγησόν με ἐν ὁδῷ αἰωνίᾳ.

## Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαβίδ. ρλθ΄. 139.

Ἐξελοῦ με Κύριε ἐξ ἀνθρώπου πονηροῦ, * ἀπὸ ἀνδρὸς ἀδίκου ῥῦσαί με.

Οἵτινες ἐλογίσαντο ἀδικίαν ἐν καρδίᾳ, * ὅλην τὴν ἡμέραν παρετάσσοντο πολέμους.

Ἠκόνησαν γλῶσσαν αὐτῶν ὡσεὶ ὄφεως, * ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν.

Φύλαξόν με Κύριε ἐκ χειρὸς ἁμαρτωλοῦ, * ἀπὸ ἀνθρώπων ἀδίκων ἐξελοῦ με.

Οἵτινες διελογίσαντο τοῦ ὑποσκελίσαι τὰ διαβήματά μου, * ἔκρυψαν ὑπερήφανοι παγίδα μοι.

Καὶ σχοινίοις διέτειναν παγίδα τοῖς ποσί μου, * ἐχόμενα τρίβου σκάνδαλον ἔθεντό μοι.

Εἶπα τῷ Κυρίῳ, Θεός μου εἶ σὺ, * ἐνώτισαι Κύριε τὴν φωνὴν τῆς δεήσεώς μου.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Κύριε, Κύριε δύναμις τῆς σωτηρίας μου, * ἐπεσκίασας ἐπὶ τὴν κεφαλήν μου ἐν ἡμέρᾳ πολέμου.
Μὴ παραδῷς με Κύριε ἀπὸ τῆς ἐπιθυμίας μου τῷ ἁμαρτωλῷ, * διελογίσαντο κατ᾽ ἐμοῦ, μὴ ἐγκαταλίπῃς με, μή ποτε ὑψωθῶσιν.
Ἡ κεφαλὴ τοῦ κυκλώματος αὐτῶν, * κόπος τῶν χειλέων αὐτῶν καλύψει αὐτούς.
Πεσοῦνται ἐπ᾽ αὐτοὺς ἄνθρακες ἐν πυρί, * καταβαλεῖς αὐτοὺς ἐν ταλαιπωρίαις, καὶ οὐ μὴ ὑποστῶσιν.
Ἀνὴρ γλωσσώδης οὐ κατευθυνθήσεται ἐπὶ τῆς γῆς, * ἄνδρα ἄδικον κακὰ θηρεύσει εἰς διαφθοράν.
Ἔγνων, ὅτι ποιήσει Κύριος τὴν κρίσιν τῶν πτωχῶν, * καὶ τὴν δίκην τῶν πενήτων.
Πλὴν δίκαιοι ἐξομολογήσονται τῷ ὀνόματί σου, * καὶ κατοικήσουσιν εὐθεῖς σὺν τῷ προσώπῳ σου.

Ψαλμὸς τῷ Δαβίδ. ρμ΄. 140.

Κύριε ἐκέκραξα πρὸς σέ. λέλεκτ. εἰς ἑσπ. φύλ. 162.

Συνέσεως τῷ Δαβὶδ ἐν τῷ εἶναι αὐτὸν ἐν τῷ σπηλαίῳ προσευχόμενον. ρμα΄. 141.

Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα. λέλεκτ. εἰς τὸν ἑσπ. φύλ. 163.

Ψαλμὸς τῷ Δαβίδ, ὅτε κατεδίωκεν αὐτὸν Ἀβεσσαλὼμ ὁ υἱὸς αὐτοῦ. ρμβ΄. 142.

Κύριε εἰσάκουσον τῆς προσευχῆς μου. λέλεκτ. εἰς τὸν ὄρθρ. φύλ. 9.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Ψαλμὸς τῷ Δαβὶδ πρὸς τὸν Γολιάθ. ρμγ΄. 143.

Εὐλογητὸς Κύριος ὁ Θεός μου, * ὁ διδάσκων τὰς χεῖράς μου εἰς παράταξιν, τοὺς δακτύλους μου εἰς πόλεμον.

Ἔλεός μου, καὶ καταφυγή μου, * ἀντιλήπτωρ μου, καὶ ῥύστης μου.

Ὑπερασπιστής μου, καὶ ἐπ᾽ αὐτῷ ἤλπισα, * ὁ ὑποτάσσων τὸν λαόν μου ὑπ᾽ ἐμέ.

Κύριε, τί ἐστιν ἄνθρωπος, ὅτι ἐγνώσθης αὐτῷ; * ἢ υἱὸς ἀνθρώπου, ὅτι λογίζῃ αὐτῷ;

Ἄνθρωπος ματαιότητι ὡμοιώθη, * αἱ ἡμέραι αὐτοῦ ὡσεὶ σκιὰ παράγουσι.

Κύριε κλῖνον οὐρανοὺς, καὶ κατάβηθι, * ἅψαι τῶν ὀρέων καὶ καπνισθήσονται.

Ἄστραψον ἀστραπὴν, καὶ σκορπιεῖς αὐτοὺς ἐξαπέστειλον τὰ βέλη σου, * καὶ συνταράξεις αὐτούς.

Ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ὕψους, * ἐξελοῦ με, καὶ ῥῦσαί με ἐξ ὑδάτων πολλῶν, ἐκ χειρὸς υἱῶν ἀλλοτρίων.

Ὧν τὸ στόμα ἐλάλησε ματαιότητα, * καὶ ἡ δεξιὰ αὐτῶν, δεξιὰ ἀδικίας.

Ὁ Θεὸς ᾠδὴν καινὴν ᾄσομαί σοι, * ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψαλῶ σοι.

Τῷ διδόντι τὴν σωτηρίαν τοῖς βασιλεῦσι, * τῷ λυτρουμένῳ Δαβὶδ τὸν δοῦλον αὐτοῦ ἐκ ῥομφαίας πονηρᾶς.

Ῥῦσαί με, καὶ ἐξελοῦ με ἐκ χειρὸς υἱῶν ἀλλοτρίων, *



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ὧν τὸ στόμα ἐλάλησε ματαιότητα, καὶ ἡ δεξιὰ αὐτῶν, δεξιὰ ἀδικίας.

Ὧν οἱ υἱοὶ αὐτῶν ὡς νεόφυτα ἱδρυμένα * ἐν τῇ νεότητι αὐτῶν.

Αἱ θυγατέρες αὐτῶν κεκαλλωπισμέναι, * περικεκοσμημέναι ὡς ὁμοίωμα ναοῦ.

Τὰ ταμεῖα αὐτῶν πλήρη, * ἐξερευγόμενα ἐκ τούτου εἰς τοῦτο.

Τὰ πρόβατα αὐτῶν πολύτοκα, * πληθύνοντα ἐν ταῖς ἐξόδοις αὐτῶν, οἱ βόες αὐτῶν παχεῖς.

Οὐκ ἔστι κατάπτωμα φραγμοῦ, οὐδὲ διέξοδος, * οὐδὲ κραυγὴ ἐν ταῖς πλατείαις αὐτῶν.

Ἐμακάρισαν τὸν λαὸν, ᾧ ταῦτά ἐστι, * μακάριος ὁ λαὸς, οὗ Κύριος ὁ Θεὸς αὐτοῦ.

Στίχολογ. ί.

## ΤΗ ΑΥΤΗ ΠΑΡΑΣΚΕΥ.

ἐν ἤχ. β'. δ'. πλ. β'. πλ. δ'.

Αἴνεσις τῷ Δαβίδ. ρμδ'. 144.

Ὑψώσω σε ὁ Θεός μου, ὁ βασιλεύς μου, * καὶ εὐλογήσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καθ᾽ ἑκάστην ἡμέραν εὐλογήσω σε, * καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Μέγας Κύριος, καὶ αἰνετὸς σφόδρα, * καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας.

Γενεὰ, καὶ γενεὰ ἐπαινέσει τὰ ἔργα σου, * καὶ τὴν δύναμίν σου ἀπαγγελοῦσι.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Τὴν μεγαλοπρέπειαν τῆς δόξης τῆς ἁγιωσύνης σου λαλήσουσι, * καὶ τὰ θαυμάσιά σου διηγήσονται.

Καὶ τὴν δύναμιν τῶν φοβερῶν σου ἐροῦσι, * καὶ τὴν μεγαλωσύνην σου διηγήσονται.

Μνήμην τοῦ πλήθους τῆς χρηστότητός σου ἐξερεύξονται, * καὶ τῇ δικαιοσύνῃ σου ἀγαλλιάσονται.

Οἰκτίρμων, καὶ ἐλεήμων ὁ Κύριος, * μακρόθυμος, καὶ πολυέλεος.

Χρηστὸς Κύριος τοῖς σύμπασι, * καὶ οἱ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ.

Ἐξομολογησάσθωσάν σοι Κύριε πάντα τὰ ἔργα σου, * καὶ οἱ ὅσιοί σου εὐλογησάτωσάν σε.

Δόξαν τῆς βασιλείας σου ἐροῦσι, * καὶ τὴν δυναστείαν σου λαλήσουσι.

Τοῦ γνωρίσαι τοῖς υἱοῖς τῶν ἀνθρώπων τὴν δυναστείαν σου, * καὶ τὴν δόξαν τῆς μεγαλοπρεπείας τῆς βασιλείας σου.

Ἡ βασιλεία σου, βασιλεία πάντων τῶν αἰώνων, * καὶ ἡ δεσποτεία σου ἐν πάσῃ γενεᾷ, καὶ γενεᾷ.

Πιστὸς Κύριος ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ, * καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ.

Ὑποστηρίζει Κύριος πάντας τοὺς καταπίπτοντας, * καὶ ἀνορθοῖ πάντας τοὺς κατερραγμένους.

Οἱ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι, * καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ.

Ἀνοίγεις σὺ τὴν χεῖρά σου, * καὶ ἐμπιπλᾷς πᾶν ζῶον εὐδοκίας.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δίκαιος Κύριος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ, * καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ.

Ἐγγὺς Κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν, * πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ.

Θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει, * καὶ τῆς δεήσεως αὐτῶν εἰσακούσεται, καὶ σώσει αὐτούς.

Φυλάσσει Κύριος πάντας τοὺς ἀγαπῶντας αὐτὸν, * καὶ πάντας τοὺς ἁμαρτωλοὺς ἐξολοθρεύσει.

Αἴνεσιν Κυρίου λαλήσει τὸ στόμα μου, * καὶ εὐλογείτω πᾶσα σὰρξ τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ, εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ἀλληλούϊα. Ἀγγαίου, καὶ Ζαχαρίου. ρμε΄. 145.

Αἴνει ἡ ψυχή μου τὸν Κύριον, αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου, * ψαλῶ τῷ Θεῷ μου, ἕως ὑπάρχω.

Μὴ πεποίθατε ἐπ' ἄρχοντας, * καὶ ἐφ' υἱοὺς ἀνθρώπων, οἷς οὐκ ἔστι σωτηρία.

Ἐξελεύσεται τὸ πνεῦμα αὐτοῦ, καὶ ἐπιστρέψει εἰς τὴν γῆν αὐτοῦ, * ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολοῦνται πάντες οἱ διαλογισμοὶ αὐτοῦ.

Μακάριος, οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, * ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ.

Τὸν ποιήσαντα τὸν οὐρανὸν, καὶ τὴν γῆν, * τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς.

Τὸν φυλάσσοντα ἀλήθειαν εἰς τὸν αἰῶνα, * ποιοῦντα κρῖμα τοῖς ἀδικουμένοις, διδόντα τροφὴν τοῖς πεινῶσι.

Κύριος λύει πεπεδημένους, * Κύριος σοφοῖ τυφλούς.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Κύριος ἀνορθοῖ κατεῤῥαγμένους, * Κύριος ἀγαπᾷ δικαίους.
Κύριος φυλάσσει τοὺς προσηλύτους, * ὀρφανὸν, καὶ χήραν ἀναλήψεται, καὶ ὁδὸν ἁμαρτωλῶν ἀφανιεῖ.
Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, * ὁ Θεός σου Σιὼν εἰς γενεὰν, καὶ γενεάν.

Ἀλληλούϊα. ρμϛ΄. 146.

ΑἸνεῖτε τὸν Κύριον, ὅτι ἀγαθὸς ψαλμὸς, * τῷ Θεῷ ἡμῶν ἡδυνθείη αἴνεσις.
Οἰκοδομῶν Ἱερουσαλὴμ ὁ Κύριος, * τὰς διασποράς τοῦ Ἰσραὴλ ἐπισυνάξει.
Ὁ ἰώμενος τοὺς συντετριμμένους τὴν καρδίαν, * καὶ δεσμεύων τὰ συντρίμματα αὐτῶν.
Ὁ ἀριθμῶν πλήθη ἄστρων, * καὶ πᾶσιν αὐτοῖς ὀνόματα καλῶν.
Μέγας ὁ Κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ, * καὶ τῆς συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός.
Ἀναλαμβάνων πραεῖς ὁ Κύριος, * ταπεινῶν δὲ ἁμαρτωλοὺς ἕως γῆς.
Ἐξάρξατε τῷ Κυρίῳ ἐν ἐξομολογήσει, * ψάλατε τῷ Θεῷ ἡμῶν ἐν κιθάρᾳ.
Τῷ περιβάλλοντι τὸν οὐρανὸν ἐν νεφέλαις, * τῷ ἑτοιμάζοντι τῇ γῇ ὑετόν.
Τῷ ἐξανατέλλοντι ἐν ὄρεσι χόρτον, * καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων.
Διδόντι τοῖς κτήνεσι τροφὴν αὐτῶν, * καὶ τοῖς νεοσσοῖς τῶν κοράκων τοῖς ἐπικαλουμένοις αὐτόν. Οὐκ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Οὐκ ἐν τῇ δυναστείᾳ τοῦ ἵππου θελήσει, * οὐδὲ ἐν ταῖς κνήμαις τοῦ ἀνδρὸς εὐδοκεῖ.

Εὐδοκεῖ Κύριος ἐν τοῖς φοβουμένοις αὐτὸν, * καὶ ἐν τοῖς ἐλπίζουσιν ἐπὶ τὸ ἔλεος αὐτοῦ.

Ἀλληλούϊα. Ἀγγαίου, καὶ Ζαχαρίου. ρμζ΄. 147.

ΕΠαίνει Ἱερουσαλὴμ τὸν Κύριον, * αἴνει τὸν Θεόν σου Σιών.

Ὅτι ἐνίσχυσε τοὺς μοχλοὺς τῶν πυλῶν σου, * εὐλόγησε τοὺς υἱούς σου ἐν σοί.

Ὁ τιθεὶς τὰ ὅριά σου εἰρήνην, * καὶ στέαρ πυροῦ ἐμπιπλῶν σε.

Ὁ ἀποστέλλων τὸ λόγιον αὐτοῦ τῇ γῇ, * ἕως τάχους δραμεῖται ὁ λόγος αὐτοῦ.

Διδόντος χιόνα αὐτοῦ ὡσεὶ ἔριον, * ὁμίχλην ὡσεὶ σποδὸν πάσσοντος.

Βάλλοντος κρύσταλλον αὐτοῦ ὡσεὶ ψωμούς, * κατὰ πρόσωπον ψύχους αὐτοῦ τίς ὑποστήσεται;

Ἐξαποστελεῖ τὸν λόγον αὐτοῦ, καὶ τήξει αὐτά, * πνεύσει τὸ πνεῦμα αὐτοῦ, καὶ ῥυήσεται ὕδατα.

Ὁ ἀπαγγέλλων τὸ λόγιον αὐτοῦ τῷ Ἰακώβ, * δικαιώματα, καὶ κρίματα αὐτοῦ τῷ Ἰσραήλ.

Οὐκ ἐποίησεν οὕτως παντὶ ἔθνει, * καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐδήλωσεν αὐτοῖς. Δόξα καὶ νῦν. ἀλλ.

Ψαλ. ρμη΄., ρμθ΄., ρν΄. Αἰνεῖτε τὸν Κύριον. Ἄσατε. Αἰνεῖτε τὸν Θεόν. εἰς τοὺς αἰῶ. φύλ. 89. 90. 91.

ΩΔΗ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

# ΩΔΗ ΠΡΩΤΗ

Μωϋσέως ἐν τῇ ἐξόδῳ. α΄. 1.

Ἄρδην βυθίσας Φαραὼ Μωσῆς λέγει.

Ἄσωμεν τῷ Κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται, * ἵππον, καὶ ἀναβάτην ἔῤῥιψεν εἰς θάλασσαν.

Βοηθὸς, καὶ σκεπαστὴς ἐγένετό μοι εἰς σωτηρίαν, οὗτός μου Θεὸς, καὶ δοξάσω αὐτόν, * Θεὸς τοῦ Πατρός μου, καὶ ὑψώσω αὐτόν.

Κύριος συντρίβων πολέμους, Κύριος ὄνομα αὐτῷ, * ἅρματα Φαραὼ, καὶ τὴν δύναμιν αὐτοῦ ἔῤῥιψεν εἰς θάλασσαν.

Ἐπιλέκτους ἀναβάτας τριστάτας * κατεπόντισεν ἐν ἐρυθρᾷ θαλάσσῃ.

Πόντῳ ἐκάλυψεν αὐτούς, * κατέδυσαν εἰς βυθὸν, ὡσεὶ λίθος.

Ἡ δεξιά σου Κύριε δεδόξασται ἐν ἰσχύϊ, * ἡ δεξιά σου χεὶρ Κύριε ἔθραυσεν ἐχθρούς.

Καὶ τῷ πλήθει τῆς δόξης σου * συνέτριψας τοὺς ὑπεναντίους.

Ἀπέστειλας τὴν ὀργήν σου, κατέφαγεν αὐτοὺς ὡσεὶ καλάμην, * καὶ διὰ πνεύματος τοῦ θυμοῦ σου διέστη τὸ ὕδωρ.

Ἐπάγη ὡσεὶ τεῖχος τὰ ὕδατα, * ἐπάγη καὶ τὰ κύματα ἐν μέσῳ τῆς θαλάσσης.

Εἶπεν ὁ ἐχθρὸς, διώξας καταλήψομαι μεριῶ σκῦλα,

ἐμπλή-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ἐμπλήσω ψυχὴν μου, * ἀνελῶ τῇ μαχαίρᾳ μου, κυριεύσει ἡ χείρ μου.

Ἀπέστειλας τὸ πνεῦμά σου, ἐκάλυψεν αὐτοὺς θάλασσα, * ἔδυσαν ὡσεὶ μόλυβδος ἐν ὕδατι σφοδρῷ.

Τίς ὅμοιός σοι ἐν θεοῖς Κύριε; * τίς ὅμοιός σοι, δεδοξασμένος ἐν ἁγίοις, θαυμαστὸς, ἐνδόξως ποιῶν τέρατα;

Ἐξέτεινας τὴν δεξιάν σου, κατέπιεν αὐτοὺς γῆ, * ὡδήγησας τῇ δικαιοσύνῃ σου τὸν λαόν σου τοῦτον, ὃν ἐλυτρώσω.

Παρεκάλεσας τῇ ἰσχύϊ σου εἰς κατάλυμα ἅγιόν σου, * ἤκουσαν ἔθνη, καὶ ὠργίσθησαν, ὠδῖνες ἔλαβον κατοικοῦντας Φιλιστιείμ.

Τότε ἔσπευσαν ἡγεμόνες Ἐδώμ, καὶ ἄρχοντες Μωαβιτῶν, * ἔλαβεν αὐτοὺς τρόμος, ἐτάκησαν πάντες οἱ κατοικοῦντες Χαναάν.

Ἐπιπέσοι ἐπ᾽ αὐτοὺς φόβος, καὶ τρόμος, * μεγέθει βραχίονός σου ἀπολιθωθήτωσαν.

Ἕως ἂν παρέλθῃ ὁ λαός σου Κύριε, * ἕως ἂν παρέλθῃ ὁ λαός σου οὗτος, ὃν ἐκτήσω.

Εἰσαγαγὼν καταφύτευσον αὐτοὺς εἰς ὄρος κληρονομίας σου, * εἰς ἕτοιμον κατοικητήριόν σου, ὃ κατηρτίσω Κύριε, ἁγίασμα Κύριε, ὃ ἡτοίμασαν αἱ χεῖρές σου.

Κύριος βασιλεύων τῶν αἰώνων, καὶ ἐπ᾽ αἰῶνα, καὶ ἔτι, * ὅτι εἰσῆλθεν ἵππος Φαραὼ σὺν ἅρμασι, καὶ ἀναβάταις εἰς θάλασσαν.

Καὶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Καὶ ἐπήγαγεν ἐπ' αὐτοὺς Κύριος τὸ ὕδωρ τῆς θαλάσσης, * οἱ δὲ υἱοὶ Ἰσραὴλ ἐπορεύθησαν διὰ ξηρᾶς ἐν μέσῳ τῆς θαλάσσης. Δόξα καὶ νῦν. ἀλλ.

Ὠδὴ Μωϋσέως ἐν τῷ Δευτερονομίῳ. β'. 2.

ΠΡόσεχε οὐρανὲ, καὶ λαλήσω, * ἀκουέτω γῆ ῥήματα ἐκ στόματός μου.

Προσδοκάσθω ὡς ὑετὸς τὸ ἀπόφθεγμά μου, * καὶ καταβήτω ὡς δρόσος τὰ ῥήματά μου.

Ὡς ὄμβρος ἐπ' ἄγρωστιν, καὶ ὡσεὶ νιφετὸς ἐπὶ χόρτον, * ὅτι ὄνομα Κυρίου ἐκάλεσα, δότε μεγαλωσύνην τῷ Θεῷ ἡμῶν.

Θεὸς ἀληθινὰ τὰ ἔργα αὐτοῦ, * καὶ πᾶσαι αἱ ὁδοὶ αὐτοῦ κρίσις.

Θεὸς πιστὸς, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ, * δίκαιος, καὶ ὅσιος ὁ Κύριος.

Ἡμάρτοσαν οὐκ αὐτῷ τέκνα μωμητὰ, γενεὰ σκολιὰ, * καὶ διεστραμμένη ταῦτα Κυρίῳ ἀνταποδίδοτε;

Οὗτος λαὸς μωρὸς, καὶ οὐχὶ σοφὸς, * οὐκ αὐτὸς οὗτός σου πατὴρ, ἐκτήσατό σε, καὶ ἐποίησέ σε, καὶ ἔπλασέ σε;

Μνήσθητι ἡμέρας αἰῶνος, * συνέτε δὲ ἔτη γενεᾶς γενεῶν.

Ἐπερώτησον τὸν πατέρα σου, καὶ ἀναγγελεῖ σοι, * τοὺς πρεσβυτέρους σου, καὶ ἐροῦσί σοι.

Ὅτε διεμέριζεν ὁ Ὕψιστος ἔθνη, * ὡς διέσπειρεν υἱοὺς Ἀδάμ.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων Θεοῦ, καὶ ἐγενήθη μερὶς Κυρίου, λαὸς αὐτοῦ Ἰακὼβ, * σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ.

Αὐτάρκησεν αὐτὸν ἐν τῇ ἐρήμῳ, * ἐν δίψει καύματος ἐν ἀνύδρῳ.

Ἐκύκλωσεν αὐτὸν, καὶ ἐπαίδευσεν αὐτὸν, * καὶ διεφύλαξεν αὐτὸν ὡς κόρην ὀφθαλμοῦ.

Ὡς ἀετὸς σκεπάσαι νοσσιὰν αὐτοῦ, * καὶ ἐπὶ τοῖς νεοσσοῖς αὐτοῦ ἐπεπόθησεν.

Διεὶς τὰς πτέρυγας αὐτοῦ ἐδέξατο αὐτοὺς, * ἀνέλαβεν αὐτοὺς ἐπὶ τῶν μεταφρένων αὐτοῦ.

Κύριος μόνος ἦγεν αὐτοὺς, * καὶ οὐκ ἦν μετ' αὐτῶν Θεὸς ἀλλότριος.

Ἀνεβίβασεν αὐτοὺς ἐπὶ τὴν ἰσχὺν τῆς γῆς, * ἐψώμισεν αὐτοὺς γεννήματα ἀγρῶν.

Ἐθήλασε μέλι ἐκ πέτρας, * καὶ ἔλαιον ἐκ στερεᾶς πέτρας.

Βούτυρον βοῶν, καὶ γάλα προβάτων, μετὰ στέατος ἀρνῶν, καὶ κριῶν, υἱῶν ταύρων, * καὶ τράγων, μετὰ στέατος νεφρῶν πυροῦ, καὶ αἷμα σταφυλῆς ἔπινον οἶνον.

Καὶ ἔφαγεν Ἰακὼβ, καὶ ἐνεπλήσθη, * καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος.

Ἐλιπάνθη, ἐπαχύνθη, ἐπλατύνθη, * καὶ ἐγκατέλιπε Θεὸν τὸν ποιήσαντα αὐτὸν, καὶ ἀπέστη ἀπὸ Θεοῦ σωτῆρος αὐτοῦ.

Παρώξυνάν με ἐπ' ἀλλοτρίοις, * καὶ ἐν βδελύγμασιν αὐτῶν ἐξεπίκρανάν με.

Ἐθυ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἔθυσαν δαιμονίοις, καὶ οὐ Θεῷ, θεοῖς, οἷς οὐκ ᾔδεισαν, * καινοὶ, καὶ πρόσφατοι ἥκασιν, οἷς οὐκ ᾔδεισαν οἱ πατέρες αὐτῶν.

Θεὸν τὸν γεννήσαντά σε ἐγκατέλιπες, * καὶ ἐπελάθου Θεοῦ τοῦ τρέφοντός σε.

Καὶ εἶδε Κύριος, καὶ ἐζήλωσε, * καὶ παρωξύνθη δι' ὀργὴν υἱῶν αὐτῶν, καὶ θυγατέρων.

Καὶ εἶπεν, ἀποστρέψω τὸ πρόσωπόν μου ἀπ' αὐτῶν, * καὶ δείξω, τί ἔσται αὐτοῖς ἐπ' ἐσχάτων.

Ὅτι γενεὰ ἐξεστραμμένη ἐστὶν, * υἱοὶ, οἷς οὐκ ἔστι πίστις ἐν αὐτοῖς.

Αὐτοὶ παρεζήλωσάν με ἐπ' οὐ Θεῷ, * παρώργισάν με ἐν τοῖς εἰδώλοις αὐτῶν.

Κἀγὼ παραζηλώσω αὐτοὺς ἐπ' οὐκ ἔθνει, * ἐπὶ ἔθνει ἀσυνέτῳ παροργιῶ αὐτούς.

Ὅτι πῦρ ἐκκέκαυται ἐν τοῦ θυμοῦ μου, * καυθήσεται ἕως ᾅδου κατωτάτου.

Καταφάγεται γῆν, καὶ τὰ γεννήματα αὐτῆς, * φλέξει θεμέλια ὀρέων.

Συνάξω εἰς αὐτοὺς κακὰ, * καὶ τὰ βέλη μου συντελέσω εἰς αὐτούς.

Τηκόμενοι λιμῷ, καὶ βρώσει ὀρνέων, * καὶ ὀπισθότονος ἀνίατος.

Ὀδόντας θηρίων ἐπαποστελῶ εἰς αὐτοὺς, * μετὰ θυμοῦ συρόντων ἐπὶ τῆς γῆς.

Ἔξωθεν ἀτεκνώσει αὐτοὺς μάχαιρα, * καὶ ἐκ τῶν ταμιείων φόβος.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Νεανίσκος σὺν παρθένῳ, * θηλάζων μετὰ καθεστηκότος πρεσβύτου.

Εἶπον, διασπερῶ αὐτοὺς, * παύσω δὴ ἐξ ἀνθρώπων τὸ μνημόσυνον αὐτῶν.

Εἰ μὴ δι' ὀργὴν ἐχθρῶν, ἵνα μὴ μακροχρονήσωσι, * καὶ ἵνα μὴ συνεπιθῶνται οἱ ὑπεναντίοι,

Μὴ εἴποισαν, ἡ χεὶρ ἡμῶν ὑψηλὴ, * καὶ οὐχὶ Κύριος ἐποίησε ταῦτα.

Ὅτι ἔθνος ἀπολωλεκὸς βουλῆς ἐστι, * καὶ οὐκ ἔστιν ἐν αὐτοῖς ἐπιστήμη.

Οὐκ ἐφρόνησαν συνιέναι, * ταῦτα πάντα καταδεξάσθωσαν εἰς τὸν ἐπιόντα χρόνον.

Πῶς διώξεται εἷς χιλίους; * καὶ δύο μετακινήσουσι μυριάδας;

Εἰ μὴ ὁ Θεὸς ἀπέδοτο αὐτοὺς, * καὶ ὁ Κύριος παρέδωκεν αὐτούς.

Οὐ γὰρ εἰσιν οἱ θεοὶ αὐτῶν, * ὡς ὁ Θεὸς ἡμῶν, οἱ δὲ ἐχθροὶ ἡμῶν ἀνόητοι.

Ἐκ γὰρ ἀμπέλων Σοδόμων, ἡ ἄμπελος αὐτῶν, * καὶ ἡ κληματὶς αὐτῶν ἐκ Γομόῤῥας.

Ἡ σταφυλὴ αὐτῶν, σταφυλὴ χολῆς, * βότρυς πικρίας αὐτῶν.

Θυμὸς δρακόντων ὁ οἶνος αὐτῶν, * καὶ θυμὸς ἀσπίδων ἀνίατος.

Οὐκ ἰδοὺ ταῦτα πάντα συνῆκται παρ' ἐμοὶ, * καὶ ἐσφράγισται ἐν τοῖς θησαυροῖς μου.

Ἐν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἐν ἡμέρᾳ ἐκδικήσεως ἀνταποδώσω, * ἐν καιρῷ, ὅταν σφαλῇ ὁ πὺς αὐτῶν.

Ὅτι ἐγγὺς ἡμέρα ἀπωλείας αὐτῶν, * καὶ πάρεστιν ἕτοιμα ὑμῖν.

Ὅτι κρινεῖ Κύριος τὸν λαὸν αὐτοῦ, * καὶ ἐπὶ τοῖς δούλοις αὐτοῦ παρακληθήσεται.

Εἶδε γὰρ αὐτοὺς παραλελυμένους, * καὶ ἐκλελοιπότας ἐν ἐπαγωγῇ, καὶ παρειμένους.

Καὶ εἶπε Κύριος, ποῦ εἰσιν οἱ θεοὶ αὐτῶν, * ἐφ' οἷς ἐπεποίθεισαν ἐπ' αὐτοῖς;

Ὧν τὸ στέαρ τῶν θυσιῶν αὐτῶν ἠσθίετε, * καὶ ἐπίνετε τὸν οἶνον τῶν σπονδῶν αὐτῶν.

Ἀναστήτωσαν, καὶ βοηθησάτωσαν ὑμῖν, * καὶ γενηθήτωσαν ὑμῖν σκεπασταί.

Ἴδετε, ἴδετε, ὅτι ἐγώ εἰμι, * καὶ οὐκ ἔστι Θεὸς πλὴν ἐμοῦ.

Ἐγὼ ἀποκτενῶ, καὶ ζῆν ποιήσω, * πατάξω, κἀγὼ ἰάσομαι, καὶ οὐκ ἔστιν, ὃς ἐξελεῖται ἐκ τῶν χειρῶν μου.

Ὅτι ἀρῶ εἰς τὸν οὐρανὸν τὴν χεῖρά μου, * καὶ ὀμοῦμαι τῇ δεξιᾷ μου, καὶ ἐρῶ, ζῶ ἐγὼ εἰς τὸν αἰῶνα.

Ὅτι παροξυνῶ ὡς ἀστραπὴν τὴν μάχαιράν μου, * καὶ ἀνθέξεται κρίματος ἡ χείρ μου.

Καὶ ἀνταποδώσω δίκην τοῖς ἐχθροῖς, * καὶ τοῖς μισοῦσί με ἀνταποδώσω.

Μεθύσω τὰ βέλη μου ἀφ' αἵματος, * καὶ ἡ μάχαιρά μου φάγεται κρέα.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἀφ' αἵματος τραυματιῶν, * καὶ αἰχμαλωσίας, ἀπὸ κεφαλῆς ἀρχόντων ἐθνῶν.
Εὐφράνθητε οὐρανοὶ ἅμα αὐτῷ, * καὶ προσκυνησάτωσαν αὐτῷ πάντες Ἄγγελοι Θεοῦ.
Εὐφράνθητε ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ, * καὶ ἐνισχυσάτωσαν αὐτῷ πάντες υἱοὶ Θεοῦ.
Ὅτι τὸ αἷμα τῶν υἱῶν αὐτοῦ ἐκδικεῖται, * καὶ ἐκδικήσει, καὶ ἀνταποδώσει δίκην τοῖς ἐχθροῖς, καὶ τοῖς μισοῦσιν αὐτὸν ἀνταποδώσει.
Καὶ ἐκκαθαριεῖ Κύριος * τὴν γῆν τοῦ λαοῦ αὐτοῦ.
Δόξα καὶ νῦν. Ἀλλ.

Προσευχὴ Ἄννης μητρὸς Σαμουήλ. Ὠδὴ γ'. 3.

Θεὸν γεραίρει στεῖρα τίκτουσα ξένως.

Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ, Ὑψώθη κέρας μου ἐν Θεῷ μου, * ἐπλατύνθη στόμα μου ἐπ' ἐχθρούς μου, ηὐφράνθην ἐν σωτηρίῳ σου.
Ὅτι οὐκ ἔστιν ἅγιος, ὡς ὁ Κύριος, καὶ οὐκ ἔστι δίκαιος, ὡς ὁ Θεὸς ἡμῶν, * καὶ οὐκ ἔστιν ἅγιος πλὴν σου.
Μὴ καυχᾶσθε, καὶ μὴ λαλεῖτε ὑψηλὰ εἰς ὑπεροχὴν, μὴ δὲ ἐξελθέτω μεγαλοῤῥημοσύνη ἐκ τοῦ στόματος ὑμῶν.
Ὅτι Θεὸς γνώσεων Κύριος, * καὶ Θεὸς ἑτοιμάζων ἐπιτηδεύματα αὐτοῦ.
Τόξον δυνατῶν ἠσθένησε, * καὶ οἱ ἀσθενοῦντες περιεζώσαντο δύναμιν.
Πλήρεις ἄρτων, ἠλαττώθησαν, * καὶ οἱ πεινῶντες παρῆκαν γῆν.

Ὅτι

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὅτι στεῖρα ἔτεκεν ἑπτά, * καὶ ἡ πολλὴ ἐν τέκνοις ἠσθένησε.

Κύριος θανατοῖ, καὶ ζωογονεῖ, * κατάγει εἰς ᾅδου, καὶ ἀνάγει.

Κύριος πτωχίζει, καὶ πλουτίζει, ταπεινοῖ, καὶ ἀνυψοῖ, * ἀνιστᾷ ἀπὸ γῆς πένητα, καὶ ἀπὸ κοπρείας ἐγείρει πτωχόν.

Τοῦ καθίσαι αὐτὸν μετὰ δυναστῶν λαοῦ, * καὶ θρόνου δόξης κατακληρονομεῖν αὐτόν.

Διδοὺς εὐχὴν τῷ εὐχομένῳ, * καὶ εὐλόγησεν ἔτη δικαίου.

Ὅτι οὐκ ἐνισχύει δυνατὸς ἀνὴρ ἐν τῇ ἰσχύι αὐτοῦ, * Κύριος ἀσθενῆ ποιήσει τὸν ἀντίδικον αὐτοῦ, Κύριος ἅγιος.

Μὴ καυχάσθω ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ, καὶ μὴ καυχάσθω ὁ δυνατὸς ἐν τῇ δυνάμει αὐτοῦ, * καὶ μὴ καυχάσθω ὁ πλούσιος ἐν τῷ πλούτῳ αὐτοῦ.

Ἀλλ' ἢ ἐν τούτῳ καυχάσθω ὁ καυχώμενος, * ἐν τῷ συνιεῖν, καὶ γινώσκειν τὸν Κύριον, καὶ ποιεῖν κρίμα, καὶ δικαιοσύνην ἐν μέσῳ τῆς γῆς.

Κύριος ἀνέβη εἰς οὐρανούς, καὶ ἐβρόντησεν, * αὐτὸς κρινεῖ ἄκρα γῆς, δίκαιος ὤν.

Καὶ δώσει ἰσχὺν τοῖς βασιλεῦσιν ἡμῶν, * καὶ ὑψώσει κέρας χριστῶν αὐτοῦ.

## Προσευχὴ Ἀββακοὺμ τοῦ Προφήτου. Ὠδὴ δʹ. 4.

Τὴν τοῦ Λόγου κένωσιν Ἀββακοὺμ φράσον.

Κύριε εἰσακήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην, * Κύριε κατενόησα τὰ ἔργα σου, καὶ ἐξέστην.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Ἐν μέσῳ δύο ζώων γνωσθήσῃ, * ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ.

Ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ, * ἐν τῷ ταραχθῆναι τὴν ψυχήν μου, ἐν ὀργῇ ἐλέους μνησθήσῃ.

Ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει, * καὶ ὁ ἅγιος ἐξ ὄρους κατασκίου δασέως.

Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ, * καὶ τῆς αἰνέσεως αὐτοῦ πλήρης ἡ γῆ.

Καὶ φέγγος αὐτοῦ ὡς φῶς ἔσται, κέρατα ἐν χερσὶν αὐτοῦ, * καὶ ἔθετο ἀγάπην κραταιὰν ἰσχύος αὐτοῦ.

Πρὸ προσώπου αὐτοῦ πορεύσεται λόγος, * καὶ ἐξελεύσεται εἰς παιδείαν κατὰ πόδας αὐτοῦ.

Ἔστη, καὶ ἐσαλεύθη ἡ γῆ, * ἐπέβλεψε, καὶ ἐτάκη ἔθνη.

Διεθρύβη τὰ ὄρη βίᾳ, ἐτάκησαν βουνοὶ αἰώνιοι, * πορείας αἰωνίους αὐτοῦ ἀντὶ κόπων εἶδον.

Σκηνώματα Αἰθιόπων πτοηθήσονται, * σκηναὶ γῆς Μαδιάμ.

Μὴ ἐν ποταμοῖς ὀργισθῇς Κύριε, μὴ ἐν ποταμοῖς ὁ θυμός σου, * ἢ ἐν θαλάσσῃ τὸ ὅρμημά σου;

Ὅτι ἐπιβήσῃ ἐπὶ τοὺς ἵππους σου, * καὶ ἡ ἱππασία σου σωτηρία.

Ἐντείνων ἐντενεῖς τὸ τόξον σου, * ἐπὶ σκῆπτρα, λέγει Κύριος.

Ποταμῶν ῥαγήσεται γῆ, ὄψονταί σε, * καὶ ὠδινήσουσι λαοί.

Σκορπίζων ὕδατα πορείας, * ἔδωκεν ἡ ἄβυσσος φωνὴν αὐτῆς, ὕψος φαντασίας αὐτῆς.

Ἐπήρθη

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου -
Μουσείο Τυπάλδων Ιακωβάτων

Ἐπήρθη ὁ ἥλιος, * καὶ ἡ σελήνη ἔστη ἐν τῇ τάξει αὐτῆς.

Εἰς φῶς βολίδες σου πορεύσονται, * εἰς φέγγος ἀστραπῆς ὅπλων σου.

Ἐν ἀπειλῇ ὀλιγώσεις γῆν, * καὶ ἐν θυμῷ κατάξεις ἔθνη.

Ἐξῆλθες εἰς σωτηρίαν λαοῦ σου, * τοῦ σῶσαι τοὺς Χριστούς σου ἐλήλυθας.

Ἔβαλες εἰς κεφαλὰς ἀνόμων θάνατον, * ἐξήγειρας δεσμοὺς ἕως τραχήλου εἰς τέλος.

Διέκοψας ἐν ἐκστάσει κεφαλὰς δυναστῶν, σεισθήσονται ἐν αὐτοῖς, * διανοίξουσι χαλινοὺς αὐτῶν, ὡς ὁ ἐσθίων πτωχὸς λάθρᾳ.

Καὶ ἐπεβίβασας εἰς θάλασσαν τοὺς ἵππους σου, * ταράσσοντας ὕδατα πολλά.

Ἐφυλαξάμην, καὶ ἐπτοήθη ἡ καρδία μου, * ἀπὸ φωνῆς προσευχῆς χειλέων μου.

Καὶ εἰσῆλθε τρόμος εἰς τὰ ὀστᾶ μου, * καὶ ἐν ἐμοὶ ἐταράχθη ἡ ἰσχύς μου.

Ἀναπαύσομαι ἐν ἡμέρᾳ θλίψεώς μου, * τοῦ ἀναβῆναί με εἰς λαὸν παροικίας μου.

Διότι συκῆ οὐ καρποφορήσει, * καὶ οὐκ ἔσται γεννήματα ἐν ταῖς ἀμπέλοις.

Ψεύσεται ἔργον ἐλαίας, * καὶ τὰ πεδία οὐ ποιήσει βρῶσιν.

Ἐξέλιπον ἀπὸ βρώσεως πρόβατα, * καὶ οὐχ ὑπάρξουσι βόες ἐπὶ φάτναις.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἐγὼ δὲ ἐν τῷ Κυρίῳ ἀγαλλιάσομαι, * χαρήσομαι ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρί μου.

Κύριος ὁ Θεός μου δύναμίς μου, * καὶ τάξει τοὺς πόδας μου εἰς συντέλειαν.

Καὶ ἐπὶ τὰ ὑψηλὰ ἐπιβιβᾷ με, * τοῦ νικῆσαί με ἐν τῇ ᾠδῇ αὐτοῦ.

Προσευχὴ Ἡσαΐου τοῦ Προφήτου. Ὠδὴ ε'. 5.

Ἡσαΐου πρόρρησις, ὡς ἐπὶ τὸ πλεῖον.

Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σὲ ὁ Θεός, * διότι φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς.

Δικαιοσύνην μάθετε οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς, * πέπαυται γὰρ ὁ ἀσεβής, οὐ μὴ μάθῃ δικαιοσύνην, ἐπὶ τῆς γῆς ἀλήθειαν οὐ μὴ ποιήσῃ.

Ἀρθήτω ὁ ἀσεβής, ἵνα μὴ ἴδῃ τὴν δόξαν Κυρίου, * Κύριε ὑψηλός σου ὁ βραχίων, καὶ οὐκ ᾔδεισαν, γνόντες δὲ αἰσχυνθήτωσαν.

Ζῆλος λήψεται λαὸν ἀπαίδευτον, * καὶ νῦν πῦρ τοὺς ὑπεναντίους ἔδεται.

Κύριε ὁ Θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν, * πάντα γὰρ ἀπέδωκας ἡμῖν.

Κύριε ὁ Θεὸς ἡμῶν, κτῆσαι ἡμᾶς, * Κύριε ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν.

Οἱ δὲ νεκροὶ ζωὴν οὐ μὴ ἴδωσιν, * οἱ δὲ ἰατροὶ οὐ μὴ ἀναστήσωσι.

Διὰ τοῦτο ἐπήγαγες, καὶ ἀπώλεσας, * καὶ ἦρας πᾶν ἄρσεν αὐτῶν.

Πρό-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Πρόσθες αὐτοῖς κακὰ Κύριε, * πρόσθες κακὰ τοῖς ἐνδόξοις τῆς γῆς.

Κύριε ἐν θλίψει ἐμνήσθημέν σου, * ἐν θλίψει μικρᾷ ἡ παιδεία σου ἡμῖν.

Καὶ ὡς ἡ ὠδίνουσα ἐγγίζει τοῦ τεκεῖν, * καὶ ἐπὶ τῇ ὠδῖνι αὐτῆς ἐκέκραγεν, οὕτως ἐγενήθημεν τῷ ἀγαπητῷ σου.

Διὰ τὸν φόβον σου Κύριε ἐν γαστρὶ ἐλάβομεν, καὶ ὠδινήσαμεν, * καὶ ἐτέκομεν πνεῦμα σωτηρίας, ὃ ἐποιήσαμεν ἐπὶ τῆς γῆς.

Οὐ πεσούμεθα, * ἀλλὰ πεσοῦνται οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς.

Ἀναστήσονται οἱ νεκροὶ, καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις, * καὶ εὐφρανθήσονται οἱ ἐν τῇ γῇ.

Ἡ γὰρ δρόσος ἡ παρὰ σοῦ, ἴαμα αὐτοῖς ἐστω, * ἡ δὲ γῆ τῶν ἀσεβῶν πεσεῖται.

Βάδιζε λαός μου, εἴσελθε εἰς τὸ ταμεῖόν σου, ἀπόκλεισον τὴν θύραν σου, * ἀποκρύβηθι μικρὸν ὅσον ὅσον, ἕως ἂν παρέλθοι ἡ ὀργὴ Κυρίου. Ὠδὴ ς΄.

Ἐκ θηρὸς ἐκραύγασεν Ἰωνᾶς λέγων.

Ἐβόησα ἐν θλίψει μου πρὸς Κύριον τὸν Θεόν μου, * καὶ εἰσήκουσέ μου.

Ἐκ κοιλίας ᾅδου, κραυγῆς μου, * ἤκουσας φωνῆς μου.

Ἀπέρριψάς με εἰς βάθη καρδίας θαλάσσης, * καὶ ποταμοὶ ἐκύκλωσάν με.

Πάντες οἱ μετεωρισμοί σου, * καὶ τὰ κύματά σου ἐπ' ἐμὲ διῆλθον.

Κἀγὼ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Κἀγὼ εἶπον, ἀπῶσμαι ἐξ ὀφθαλμῶν σου, * ἆρα προσθήσω τοῦ ἐπιβλέψαι με πρὸς ναὸν τὸν ἅγιόν σου;

Περιεχύθη μοι ὕδωρ ἕως ψυχῆς μου, * ἄβυσσος ἐκύκλωσέ με ἐσχάτη.

Ἔδυ ἡ κεφαλή μου εἰς σχισμὰς ὀρέων, * Κατέβην εἰς γῆν, ἧς οἱ μοχλοὶ αὐτῆς κάτοχοι αἰώνιοι.

Καὶ ἀναβήτω ἐκ φθορᾶς ἡ ζωή μου * πρὸς σὲ Κύριε ὁ Θεός μου.

Ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὴν ψυχήν μου, * τοῦ Κυρίου ἐμνήσθην.

Καὶ ἔλθοι πρὸς σὲ ἡ προσευχή μου, * πρὸς ναὸν τὸν ἅγιόν σου.

Φυλασσόμενοι μάταια, καὶ ψευδῆ, * ἔλεον αὐτοῖς ἐγκατέλιπον.

Ἐγὼ δὲ μετὰ φωνῆς αἰνέσεως, καὶ ἐξομολογήσεως θύσω σοι, * ὅσα ηὐξάμην ἀποδώσω εἰς σωτηρίαν μου τῷ Κυρίῳ.

## Προσευχὴ τῶν ἁγίων τριῶν παίδων. ᾨδὴ ζ. 7.

Αἶνος φλόγα σβέννυσι τῶν τριῶν παίδων

Εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, * καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας.

Ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν, οἷς ἐποίησας ἡμῖν, * καὶ πάντα τὰ ἔργα σου ἀληθινά, καὶ εὐθεῖαι αἱ ὁδοί σου.

Καὶ πᾶσαι αἱ κρίσεις σου ἀληθεῖς, * καὶ κρίματα ἀληθείας ἐποίησας.

Κατὰ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Κατὰ πάντα, ἃ ἐπήγαγες ἡμῖν, * καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν τῶν πατέρων ἡμῶν Ἱερουσαλήμ.

Ὅτι ἐν ἀληθείᾳ, καὶ κρίσει ἐπήγαγες ταῦτα πάντα ἐφ' ἡμᾶς, * διὰ τὰς ἁμαρτίας ἡμῶν.

Ὅτι ἡμάρτομεν, καὶ ἠνομήσαμεν, ἀποστῆναι ἀπὸ σοῦ, * καὶ ἐξημάρτομεν ἐν πᾶσι, καὶ τῶν ἐντολῶν σου οὐκ ἠκούσαμεν.

Οὐ δὲ συνετηρήσαμεν οὐ δὲ ἐποιήσαμεν καθὼς ἐνετείλω ἡμῖν, * ἵνα εὖ ἡμῖν γένηται.

Καὶ πάντα, ὅσα ἐποίησας ἡμῖν, * καὶ πάντα ὅσα ἐπήγαγες ἡμῖν, ἀληθινῇ κρίσει ἐποίησας.

Καὶ παρέδωκας ἡμᾶς εἰς χεῖρας ἐχθρῶν ἀνόμων, ἐχθίστων, ἀποστατῶν, * καὶ βασιλεῖ ἀδίκῳ, καὶ πονηροτάτῳ παρὰ πᾶσαν τὴν γῆν.

Καὶ νῦν οὐκ ἔστιν ἡμῖν ἀνοῖξαι τὸ στόμα, * αἰσχύνη, καὶ ὄνειδος ἐγενήθημεν τοῖς δούλοις σου, καὶ τοῖς σεβομένοις σε.

Μὴ δὴ παραδῴης ἡμᾶς εἰς τέλος, διὰ τὸ ὄνομά σου, καὶ μὴ διασκεδάσῃς τὴν διαθήκην σου, * καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν.

Διὰ Ἀβραὰμ τὸν ἠγαπημένον ὑπὸ σοῦ, * καὶ διὰ Ἰσαὰκ τὸν δοῦλόν σου, καὶ Ἰσραὴλ τὸν ἅγιόν σου.

Οἷς ἐλάλησας πληθῦναι τὸ σπέρμα αὐτῶν, * ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ, καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης.

Ὅτι Δέσποτα, ἐσμικρύνθημεν παρὰ πάντα τὰ ἔθνη, * καὶ ἐσμὲν ταπεινοὶ ἐν πάσῃ τῇ γῇ σήμερον διὰ τὰς ἁμαρτίας ἡμῶν.

Καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Καὶ οὐκ ἔστιν ἐν τῷ καιρῷ τούτῳ ἄρχων, καὶ προφήτης καὶ ἡγούμενος, οὐδὲ ὁλοκαύτωσις, οὐδὲ θυσία, οὐδὲ προσφορὰ, οὐδὲ θυμίαμα, * οὐ τόπος τοῦ καρπῶσαι ἐνώπιόν σου, καὶ εὑρεῖν ἔλεος.

Ἀλλ' ἐν ψυχῇ συντετριμμένῃ, καὶ πνεύματι ταπεινώσεως,* προσδεχθείημεν ὡς ἐν ὁλοκαυτώμασι κριῶν καὶ ταύρων, καὶ ὡς ἐν μυριάσιν ἀρνῶν πιόνων.

Οὕτω γενέσθω ἡ θυσία ἡμῶν, ἐνώπιόν σου σήμερον, καὶ ἐκτελείσθω ὄπισθέν σου, * ὅτι οὐκ ἔστιν αἰσχύνη τοῖς πεποιθόσιν ἐπὶ σοί.

Καὶ νῦν ἐξακολουθοῦμεν ἐν ὅλῃ καρδίᾳ, καὶ φοβούμεθά σε, * καὶ ζητοῦμεν τὸ πρόσωπόν σου, μὴ καταισχύνῃς ἡμᾶς.

Ἀλλὰ ποίησον μεθ' ἡμῶν κατὰ τὴν ἐπιείκειάν σου, καὶ κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου, * ἐξελοῦ ἡμᾶς κατὰ τὰ θαυμάσιά σου, καὶ δὸς δόξαν τῷ ὀνόματί σου Κύριε.

Καὶ ἐντραπείησαν πάντες, * οἱ ἐνδεικνύμενοι τοῖς δούλοις σου κακά.

Καὶ καταισχυνθείησαν * ἀπὸ πάσης δυναστείας.

Καὶ ἡ ἰσχὺς αὐτῶν συντριβείη, καὶ γνώτωσαν, ὅτι σὺ εἶ Κύριος ὁ Θεὸς μόνος,* καὶ ἔνδοξος ἐφ' ὅλην τὴν οἰκουμένην.

Καὶ οὐ διέλιπον οἱ ἐμβάλλοντες αὐτοὺς ὑπηρέται τοῦ βασιλέως, * καίοντες τὴν κάμινον νάφθῃ, πίσσῃ, καὶ στυππίῳ, καὶ κληματίδι.

Καὶ διεχεῖτο ἡ φλὸξ ἐπάνω τῆς καμίνου, * ἐπὶ πήχεις τεσσαράκοντα ἐννέα.

Καὶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Καὶ διώδευσε καὶ ἐνεπύρισεν, * οὓς εὗρε περὶ τὴν κάμινον τῶν Χαλδαίων.

Ὁ δὲ Ἄγγελος Κυρίου συγκατέβη ἅμα * τοῖς περὶ τὸν Ἀζαρίαν εἰς τὴν κάμινον.

Καὶ ἐξετίναξε τὴν φλόγα τοῦ πυρὸς * ἐκ τῆς καμίνου.

Καὶ ἐποίησε τὸ μέσον τῆς καμίνου, * ὡς πνεῦμα δρόσου διασυρίζον.

Καὶ οὐχ ἥψατο αὐτῶν καθόλου τὸ πῦρ, * οὐδὲ ἐλύπησεν, οὐδὲ παρηνώχλησεν αὐτούς.

Τότε οἱ τρεῖς, ὡς ἐξ ἑνὸς στόματος, ὕμνουν, * καὶ εὐλόγουν, καὶ ἐδόξαζον τὸν Θεὸν ἐν τῇ καμίνῳ λέγοντες.

Ἡ τῶν τριῶν ὕμνησις, ἣν ᾖδον νέοι.

Εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, * καὶ ὑπερύμνητος, καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.

Καὶ εὐλογημένον τὸ ὄνομα τῆς δόξης σου τὸ ἅγιον, * τὸ ὑπερύμνητον, καὶ ὑπερυψούμενον εἰς τοὺς αἰῶνας.

Εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς ἁγίας δόξης σου, * ὁ ὑπερύμνητος, καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.

Εὐλογημένος εἶ ὁ βλέπων ἀβύσσους, καθήμενος ἐπὶ τῶν Χερουβίμ, * ὁ ὑπερύμνητος, καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.

Εὐλογημένος εἶ ἐπὶ θρόνου δόξης τῆς βασιλείας σου, * ὁ ὑπερύμνητος, καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.

Εὐλογημένος εἶ ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, * ὁ ὑπερύμνητος. καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὕμνος τῶν ἁγίων τριῶν παίδων. Ὠδὴ η'. 8.

Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον, * ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε Ἄγγελοι Κυρίου, οὐρανοὶ Κυρίου τὸν Κύριον, * ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε ὕδατα πάντα, τὰ ὑπεράνω τῶν οὐρανῶν, πᾶσαι αἱ δυνάμεις Κυρίου τὸν Κύριον, * ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε ἥλιος, καὶ σελήνη, ἄστρα τοῦ οὐρανοῦ τὸν Κύριον, * ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶας.

Εὐλογεῖτε πᾶς ὄμβρος, καὶ δρόσος, πάντα τὰ πνεύματα τὸν Κύριον, * ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε πῦρ, καὶ καῦμα, ψῦχος, καὶ καύσων τὸν Κύριον, * ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε δρόσοι, καὶ νιφετοὶ, πάγοι, καὶ ψῦχος τὸν Κύριον, * ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε πάχναι, καὶ χιόνες, ἀστραπαὶ, καὶ νεφέλαι τὸν Κύριον, * ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν τοὺς αἰῶνας.

Εὐλογεῖτε φῶς, καὶ σκότος, νύκτες, καὶ ἡμέραι τὸν Κύριον, * ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε ἡ γῆ, ὄρη, καὶ βουνοὶ, πάντα τὰ φυόμενα ἐν αὐτῇ τὸν Κύριον, * ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐ-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Εὐλογεῖτε πηγαὶ, θάλασσαι, καὶ ποταμοὶ, κήτη, καὶ πάντα τὰ κινούμενα ἐν τοῖς ὕδασι τὸν Κύριον, * ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, τὰ θηρία, καὶ πάντα τὰ κτήνη, τὸν Κύριον, * ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε υἱοὶ τῶν ἀνθρώπων, εὐλογείτω Ἰσραὴλ, τὸν Κύριον, * ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε ἱερεῖς Κυρίου, δοῦλοι Κυρίου, τὸν Κύριον, * ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε πνεύματα, καὶ ψυχαὶ δικαίων, ὅσιοι καὶ ταπεινοὶ τῇ καρδίᾳ τὸν Κύριον, * ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε Ἀνανία, Ἀζαρία, Μισαὴλ τὸν Κύριον, * ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε Ἀπόστολοι, Προφῆται, καὶ Μάρτυρες Κυρίου, τὸν Κύριον, * ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογοῦμεν Πατέρα, Υἱὸν, καὶ ἅγιον Πνεῦμα τὸν Κύριον, * ὑμνοῦμεν, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Αἰνοῦμεν, εὐλογοῦμεν, προσκυνοῦμεν τὸν Κύριον, ὑμνοῦντες, * καὶ ὑπερυψοῦντες αὐτὸν εἰς τοὺς αἰῶνας.

Αἴνεσις Μητρὸς Παρθένου κόρης. Ὠδὴ θ'. 9.

Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον. λέλεκτ. εἰς τὸν ὄρθρ. φύλ. 72.

Προ-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Προσευχὴ τοῦ προφήτου Ζαχαρίου.

Ὁ Ζαχαρίας εὐλογεῖ παιδὸς τόκον.

Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ, * ὅτι ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ.

Καὶ ἤγειρε κέρας σωτηρίας ἡμῖν, * ἐν τῷ οἴκῳ Δαβὶδ τοῦ παιδὸς αὐτοῦ.

Καθὼς ἐλάλησε διὰ στόματος τῶν ἁγίων, * τῶν ἀπ' αἰῶνος προφητῶν αὐτοῦ.

Σωτηρίαν ἐξ ἐχθρῶν ἡμῶν, * καὶ ἐκ χειρὸς πάντων τῶν μισούντων ἡμᾶς.

Ποιῆσαι ἔλεος μετὰ τῶν πατέρων ἡμῶν, * μνησθῆναι διαθήκης ἁγίας αὐτοῦ.

Ὅρκον ὃν ὤμοσε πρὸς Ἀβραὰμ τὸν πατέρα ἡμῶν, * τοῦ δοῦναι ἡμῖν ἀφόβως ἐκ χειρὸς τῶν ἐχθρῶν ἡμῶν ῥυσθέντας.

Λατρεύειν αὐτῷ ἐν ὁσιότητι, καὶ δικαιοσύνῃ, * ἐνώπιον αὐτοῦ πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν.

Καὶ σὺ παιδίον, προφήτης Ὑψίστου κληθήσῃ, * προπορεύσῃ γὰρ πρὸ προσώπου Κυρίου, ἑτοιμάσαι ὁδοὺς αὐτοῦ.

Τοῦ δοῦναι γνῶσιν σωτηρίας τῷ λαῷ αὐτοῦ, * ἐν ἀφέσει ἁμαρτιῶν αὐτῶν, διὰ σπλάγχνα ἐλέους Θεοῦ ἡμῶν.

Ἐν οἷς ἐπεσκέψατο ἡμᾶς ἀνατολὴ ἐξ ὕψους, * ἐπιφᾶναι τοῖς ἐν σκότει, καὶ σκιᾷ θανάτου καθημένοις.

Τοῦ κατευθῦναι τοὺς πόδας ἡμῶν, * εἰς ὁδὸν εἰρήνης.

Τέλος τοῦ Ψαλτηρίου, καὶ τῶν Ὠδῶν.

ΕΥΑΓ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἀγαθὸν τό. ψαλ. ϛα'. φύλ. 359
Ἀγαλλιᾶσθαι δίκαιοι. ψ. λβ'. φ. 277
Ἀγαλλιᾶσθαι τῷ Θεῷ. ψ. π'. φ. 349
Ἀγαπήσω. ψ. ιζ'. φ. 258
Αἴνει ἡ. ψ. ρμε'. φ. 426
Αἰνεῖτε παῖδες. ψ. ριβ'. φ. 389
Αἰνεῖτε τ̀ κύρ. ψ. ρις'. φ. 50
Αἰνεῖτε τὸ ὄνομα. ψ. ρλδ'. φ. 415
Αἰνεῖτε τ̀. ψ. ρμς'. φ. 427
Αἰνεῖτε τ̀ κύρ. ἐκ τῶν οὐραν. ψ. ρμη'. φ. 89
Αἰνεῖτε τ̀ Θε. ψ. ρν'. φ. 91
Ἀκούσατε. ψ. μη'. φ. 302
Ἀλαλάξατε τῷ κυρίῳ. ψ. ξε'. φ. 318
Ἀλαλάξατε τῷ Θεῷ. ψ. ϛθ'. φ. 368
Ἀναστήτω. ψ. ξζ'. φ. 320
Ἄσατε. ψ. ρμθ'. φ. 90
Ἄσατε τῷ κυρίῳ ἆσμα καινόν. ψ. ϛε'. φ. 363
Ἄσατε τῷ κυρίῳ ᾆσμα καιν. ψ. ϛζ'. φ. 366
Γνωστὸς ἐν. ψ. οε'. φ. 337
Δεῦτε ἀγαλλ. ψ. ϛδ'. φ. 362
Δίκασον. ψ. λδ'. φ. 380
Ἐὰν μή. ψ. ρκς'. φ. 410
Εἰ ἀληθῶς. ψ. νζ'. φ. 310
Εἰ μὴ ὅτι. ψ. ρκγ'. φ. 409
Εἶπα φυλ. ψ. λη'. φ. 288
Εἶπεν ἄφρων. ψ. νβ'. φ. 307
Εἶπεν ἄφρ. ψ. ιγ'. φ. 255
Εἶπεν ὁ κύρ. ψ. ρθ'. φ. 386
Εἰσάκουσον κύρ. ψ. ιϛ'. φ. 134
Εἰσάκουσον ὁ Θεός. ψ. ξ'. φ. 314
Εἰσάκ. ὁ Θεὸς φωνῆς μου. ψ. ξγ'. φ. 316
Ἐκ βαθέων. ψ. ρκθ'. φ. 164
Ἐλέησόν με ὁ Θεὸς κτ. ψ. ν'. φ. 137
Ἐλέησόν με ὁ Θεὸς ὅτι κατεπάτ. ψ. νε'. φ. 308



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἐλέησόν με ὁ Θεὸς ἐλέησόν με. ψ. νϛ΄. φ.309
Ἔλεον καὶ κρ. ψ. ρ΄. φ.122
Ἐνέγκατε. ψ. κη΄. φ.273
Ἐν ἐξόδῳ. ψ. ριγ΄. φ.389
Ἐν τῷ ἐπικ. ψ. δ΄. φ.221
Ἐν τῷ ἐπ. ψ. ρκε΄. φ.410
Ἐνώπισαι ὁ. ψ. νδ΄. φ.141
Ἐξελοῦμαι ἐκ. ψ. νη΄. φ.311
Ἐξελοῦμε κύρ. ψ. ρλθ΄. φ.421
Ἐξηρεύξατο ἡ. ψ. μδ΄. φ.297
Ἐξομολογεῖσθαι τῷ κυρίῳ, καὶ. ψ. ρδ΄. φ.371
Ἐξομολ. τῷ κυρίῳ ὅτι Χρηστός. ψ. ρε΄. φ.374
Ἐξομολ. τῷ κυρίῳ ὅτι. ψ. ρϛ΄. φ.379
Ἐξομολ. τῷ. κυρ. ψ. ριζ΄. φ.50
Ἐξομολ. τῷ κυρ. ψ. ρλε΄. φ.53
Ἐξομολογ. ψ. θ. φ.250
Ἐξομολογ. ψ. οδ΄. φ.336
Ἐξομολογ. ψ. ρί. φ.387
Ἐξομολογήσ. ψ. ρλζ΄. φ.418
Ἐπαίνει. ψ. ρμζ΄. φ.428
Ἐπακούσαι. ψ. ιθ΄. φ.264
Ἐπὶ τῷ κυρ. ψ. ι΄. φ.254
Ἐπὶ σοὶ κύρ. ἤλπ. ψ. ο΄. φ.327
Ἐπὶ σοὶ κύρ. ἤλπ. μὴ καταισχ. ψ. λ΄. φ.224
Ἐπίσευσα. ψ. ριε΄. φ.49
Ἐπὶ τῶν ποταμ. ψ. ρλϛ΄. φ.417
Ἑτοίμη. ψ. ρζ΄. φ.382
Εὐδόκησ. ψ. πδ΄. φ.148
Εὐλόγει ἡ ψυχή μου τὸν κυρ. καὶ. ψ. ρβ΄. φ.7
Εὐλ. ἡ ψυχ. κύριον, κυρ. ψ. ργ΄. φ.157
Εὐλογήσω τὸν κύρ. ψ. λγ΄. φ.279
Εὐλογητὸς κύρ. ψ. ρμγ΄. φ.423
Εὐφράνθην. ψ. ρκα. φ.407
Ἕως πότε. ψ. ιβ΄. φ.223
Ἠγάπησα. ψ. ριδ΄. φ.391
Ἦρα τοὺς. ψ. ρκ. φ.407


Θεὸς

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Θεὸς ἐκδικήσ. ψ. ϛγ'. φ.360
Θεὸς Θεῶν. ψ. μθ'. φ.304
Ἰδοὺ δὴ τί. ψ. ρλϐ'. φ.414
Ἰδοὺ δὴ. ψ. ρλγ. φ.415
Ἵνα τί ἐφρ. ψ. β'. φ.246
Ἵνα τί ὁ Θ. ψ. ογ'. φ.334
Κλῖνον κύρ. ψ. πε'. φ.149
Κρῖνόν με. ψ. κε'. φ.271
Κρῖνόν μοι. ψ. μβ'. φ.294
Κύριε ἐδοκ. ψ. ρλη'. φ.419
Κ. εἰσάκουσ. ψ. ρα'. φ.368
Κ. εἰσάκουσ. ψ. ρμβ'. φ.9
Κ. ἐκέκρ. ψ. ρμ'. φ.162
Κ. ἐν τῇ δυν. ψ. κ'. φ.265
Κ. καταφυγ. ψ. πθ'. φ.120
Κ. μὴ τῷ θυμ. ψ. ϛ'. φ.2
Κ. μὴ τῷ. ψ. λζ'. φ.2
Κ. ὁ Θεὸς. ψ. ζ'. φ.247
Κ. ὁ Θεὸς τ. ψ. πζ'. φ.5
Κ. ὁ κύριος. ψ. η'. φ.249
Κ. ἐκ ὑψ. ψ. ρλ'. φ.412
Κύρ. τί ἐπληθ. ψ. γ'. φ.2
Κ. τίς παρ. ψ. ιδ'. φ.256
Κ. ποιμαίν. ψ. κϐ'. φ.269
Κ. φωτισμ. ψ. κϛ'. φ.194
Μακαρ. ἀνὴρ ὡς οὐκ ἐπορεύθ. ψ. α'. φ.245
Μακαρ. ἀνὴρ ὁ φοβούμενος. ψ. ρια'. φ.388
Μακ. ὁ συν. ψ. μ'. φ.292
Μακ. οἱ ἄμ. ψ. ριη'. φ.392
Μακάριοι πάντες. ψ. ρκζ'. φ.411
Μ. ὧν ἀφεί. ψ. λα'. φ.276
Μέγας κύρ. ψ. μζ'. φ.301
Μὴ παραζ. ψ. λϛ'. φ.284
Μνήσθητι κ. ψ. ρλα'. φ.413
Ὁ Θεὸς ὁ Θεὸς. ψ. κα'. φ.266
Ὁ Θεὸς ἐν τοῖς ὠσίν. ψ. μγ'. φ.295
Ὁ Θεὸς ἡμῶν καταφυγὴ. ψ. με'. φ.299
Ὁ Θ. Θεῶν. ψ. μθ'. φ.304
Ὁ Θ. ἐν τῷ. ψ. νγ'. φ.141
Ὁ Θ. ἀπώσ. ψ. νθ'. φ.313
Ὁ Θεὸς. ψ. ξβ'. φ.4
Ὁ Θ. οἰκτ. ψ. ξϛ'. φ.202
Ὁ Θ. εἰς. ψ. ξθ'. φ.196
Ὁ Θ. τὸ. ψ. οα'. φ.330
Ὁ Θ. ἤλθοσ. ψ. οη'. φ.346



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὁ Θ ἐστ. ψ.πα΄. φ.351
Ὁ Θ. τίς.ψ.πβ΄. φ.351
Ὁ Θ. τὴν. ψ.ρη΄. φ.384
Οἱ θεμέλ.ψ.πϛ΄. φ.353
Οἱ οὐρανοὶ. ψ.ιη΄. φ.263
Οἱ πεποιθ.ψ.ρκδ΄.φ.409
Ὁ κατοικῶν.ψ.ϟ΄.φ.143
Ὁ κύρ. ἐβασίλευσεν εὐπρεπ. ψ.ϟβ΄. φ.360
Ὁ κύρ.ἐβασ.ἀγαλλιάσθω ψ.ϟϛ΄. φ.364
Ὁ κύρ. ἐβασιλ. ὀργιζέσθωσ. ψ.ϟη΄. φ.367
Ὃν τρόπον.ψ.μα΄.φ.293
Ὁ ποιμαίν.ψ.οθ΄.φ.348
Οὐχὶ τῷ Θ.ψ.ξα΄.φ.315
Πάντα τὰ.ψ.μϛ΄.φ.300
Πλεονάκις.ψ.ρκη΄.φ.412
Πρὸς κύρ. ψ.ριθ΄. φ.406
Πρὸς σὲ κύρ.ψ.κδ΄.φ.135
Πρὸς σε ἦρα.ψ.ρκβ΄ φ.408
Πρὸς σὲ κύρ.ψ.κζ΄.φ.272
Προσέχετε. ψ.οζ΄. φ.340
Σοὶ πρέπει.ψ.ξδ΄.φ.317
Σῶσόν με κ.ψ.ια΄.φ.254
Σῶσόν με ὁ.ψ.ξη΄.φ.324
Τὰ ἐλέη σου.ψ.πη΄.φ.354
Τὰ ῥήματά. ψ.ε΄. φ.119
Τί ἐγκαυχᾷ.ψ.να΄.φ.306
Τοῦ κυρίου.ψ.κγ΄.φ.270
Ὑπομένων ψ.λθ΄.φ.289
Ὑψώσωσε.ψ.κθ΄ φ.274
Ὑψώσω σε ὁ Θεός μου. ψ.ρμδ΄. φ.424
Φησὶν ὁ πα.ψ.λε΄.φ.283
Φύλαξόν με.ψ.ιε΄.φ.257
Φωνῇ μου. ψ.οϛ΄. φ.338
Φωνῇ μου.ψ.ρμα΄. φ.163
Ὡς ἀγαθὸς.ψ.οβ΄.φ.331
Ὡς ἀγαπ.ψ.πγ΄.φ.147

ΠΙΝΑΞ ΤΟΝ ᾠδῶν.

Ἄσωμεν τῷ.ᾠ.α΄. φ.429
Πρόσεχε οὐρ. ᾠ.β΄. φ.431
Ἐστερεώθη ἡ.ᾠ.γ΄. φ.436
Κύριε εἰσακ.ᾠ.δ΄. φ.437
Ἐκ νυκτὸς. ᾠ.ε΄. φ.440
Ἐβόησα. ᾠ.ϛ΄. φ.441
Εὐλογ.εἶ κύρ.ᾠ.ζ΄.φ.442
Εὐλογ. εἶ κυρ. φ.445
Εὐλογεῖτε. ᾠ.η΄. φ.446
Μεγαλυνεῖ. ᾠ.θ΄. φ.72
Εὐλογητὸς κύρ. φ.448

ΕΥΑΓ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

## ΕΥΑΓΓΕΛΙΑ ΕΩΘΙΝΑ

Ἐν τοῖς τῶν Κυριακῶν ὄρθροις λεγόμενα.

### ΕΩΘΙΝΟΝ Α΄. κατὰ Ματθαῖον.

Τῷ καιρῷ ἐκείνῳ, οἱ ἕνδεκα Μαθηταὶ ἐπορεύθησαν εἰς τὴν Γαλιλαίαν, εἰς τὸ ὄρος οὗ ἐτάξατο αὐτοῖς ὁ Ἰησοῦς. Καὶ ἰδόντες αὐτὸν, προσεκύνησαν αὐτῷ· οἱ δὲ ἐδίστασαν. Καὶ προσελθὼν ὁ Ἰησοῦς, ἐλάλησεν αὐτοῖς, λέγων· ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ, καὶ ἐπὶ γῆς. Πορευθέντες οὖν, μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος· διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν: καὶ ἰδοὺ, ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος. Ἀμήν.

### ΕΩΘΙΝΟΝ Β΄. κατὰ Μάρκον.

Τῷ καιρῷ ἐκείνῳ, διαγενομένου τοῦ σαββάτου, Μαρία ἡ Μαγδαληνὴ, καὶ Μαρία ἡ τοῦ Ἰακώβου, καὶ Σαλώμη ἠγόρασαν ἀρώματα, ἵνα ἐλθοῦσαι ἀλείψωσι τὸν Ἰησοῦν. Καὶ λίαν πρωῒ τῆς μιᾶς σαββάτων ἔρχονται ἐπὶ τὸ μνημεῖον, ἀνατείλαντος τοῦ ἡλίου. Καὶ ἔλεγον πρὸς ἑαυτάς· τίς ἀποκυλίσει ἡμῖν τὸν λίθον ἐκ τῆς θύρας τοῦ μνημείου; Καὶ ἀναβλέψασαι, θεωροῦσιν ὅτι ἀποκεκύλισται ὁ λίθος· ἦν γὰρ μέγας σφόδρα. Καὶ εἰσελθοῦσαι εἰς τὸ μνημεῖον, εἶδον νεανίσκον καθήμενον ἐν τοῖς δεξιοῖς, περιβεβλημένον στολὴν λευκὴν, καὶ ἐξεθαμβήθησαν. Ὁ δὲ λέγει αὐταῖς· μὴ ἐκ-



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ἐκθαμβεῖσθε, Ἰησοῦν ζητεῖτε τὸν Ναζαρηνὸν τὸν ἐσαυρωμένον· ἠγέρθη, οὐκ ἔστιν ὧδε· ἴδε ὁ τόπος, ὅπου ἔθηκαν αὐτόν. Ἀλλ᾽ ὑπάγετε, εἴπατε τοῖς μαθηταῖς αὐτοῦ, καὶ τῷ Πέτρῳ, ὅτι προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν, ἐκεῖ αὐτὸν ὄψεσθε, καθὼς εἶπεν ὑμῖν. Καὶ ἐξελθοῦσαι ταχὺ, ἔφυγον ἀπὸ τοῦ μνημείου· εἶχε δὲ αὐτὰς τρόμος καὶ ἔκστασις. καὶ οὐδὲν εἶπον· ἐφοβοῦντο γάρ.

## ΕΩΘΙΝΟΝ Γʹ. κατὰ Μάρκον.

Τῷ καιρῷ ἐκείνῳ ἀναστὰς ὁ Ἰησοῦς πρωῒ πρώτῃ σαββάτου, ἐφάνη πρῶτον Μαρίᾳ τῇ Μαγδαληνῇ ἀφ᾽ ἧς ἐκβεβλήκει ἑπτὰ δαιμόνια. Ἐκείνη δὲ πορευθεῖσα, ἀπήγγειλε τοῖς μετ᾽ αὐτοῦ γενομένοις, πενθοῦσι καὶ κλαίουσι. Κἀκεῖνοι ἀκούσαντες ὅτι ζῇ, καὶ ἐθεάθη ὑπ᾽ αὐτῆς, ἠπίστησαν. Μετὰ δὲ ταῦτα δυσὶν ἐξ αὐτῶν περιπατοῦσιν ἐφανερώθη ἐν ἑτέρᾳ μορφῇ, πορευομένοις εἰς ἀγρόν. Κἀκεῖνοι ἀπελθόντες, ἀπήγγειλαν τοῖς λοιποῖς, οὐδὲ ἐκείνοις ἐπίστευσαν. Ὕστερον, ἀνακειμένοις αὐτοῖς τοῖς ἕνδεκα ἐφανερώθη, καὶ ὠνείδισε τὴν ἀπιστίαν αὐτῶν, καὶ σκληροκαρδίαν, ὅτι τοῖς θεασαμένοις αὐτὸν ἐγηγερμένον οὐκ ἐπίστευσαν. Καὶ εἶπεν αὐτοῖς, πορευθέντες εἰς τὸν κόσμον ἅπαντα, κηρύξατε τὸ εὐαγγέλιον πάσῃ τῇ κτίσει. Ὁ πιστεύσας καὶ βαπτισθεὶς, σωθήσεται, ὁ δὲ ἀπιστήσας, κατακριθήσεται. Σημεῖα δὲ τοῖς πιστεύσασι ταῦτα παρακολουθήσει. ἐν τῷ ὀνόματί μου δαιμόνια ἐκβαλοῦσι. γλώσσαις λαλήσουσι καιναῖς, ὄφεις ἀροῦσι, κἂν θα-

νάσι-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

νάσιμόν τι πίωσιν, ȣ̓ μὴ αὐτοὺς βλάψει, ἐπὶ ἀῤῥώστους χεῖρας ἐπιθήσουσι, καὶ καλῶς ἕξουσιν. Ὁ μὲν οὖν Κύριος μετὰ τὸ λαλῆσαι αὐτοῖς, ἀνελήφθη εἰς τὸν οὐρανὸν, καὶ ἐκάθησεν ἐκ δεξιῶν τοῦ Θεοῦ. Ἐκεῖνοι δὲ ἐξελθόντες, ἐκήρυξαν πανταχοῦ, τοῦ Κυρίου συνεργοῦντος, καὶ τὸν λόγον βεβαιοῦντος διὰ τῶν ἐπακολουθούντων σημείων. Ἀμήν.

## ΕΩΘΙΝΟΝ Δ'. κατὰ Λουκᾶν.

Τῇ μιᾷ τῶν σαββάτων, ὄρθρου βαθέως ἦλθον Γυναῖκες ἐπὶ τὸ μνῆμα, φέρουσαι ἃ ἡτοίμασαν ἀρώματα, καί τινες σὺν αὐταῖς. Εὗρον δὲ τὸν λίθον ἀποκεκυλισμένον ἀπὸ τοῦ μνημείου. Καὶ εἰσελθοῦσαι, οὐχ εὗρον τὸ σῶμα τοῦ Κυρίου Ἰησοῦ. Καὶ ἐγένετο ἐν τῷ διαπορεῖσθαι αὐτὰς περὶ τούτου,, καὶ ἰδοὺ, ἄνδρες δύο ἐπέστησαν αὐταῖς ἐν ἐσθήσεσιν ἀστραπτούσαις. Ἐμφόβων δὲ γενομένων αὐτῶν, καὶ κλινουσῶν τὸ πρόσωπον εἰς τὴν γῆν, εἶπον πρὸς αὐτὰς, τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; Οὐκ ἔστιν ὧδε, ἀλλ' ἠγέρθη, μνήσθητε ὡς ἐλάλησεν ὑμῖν, ἔτι ὢν ἐν τῇ Γαλιλαίᾳ, λέγων, ὅτι δεῖ τὸν Υἱὸν τοῦ ἀνθρώπου παραδοθῆναι εἰς χεῖρας ἀνθρώπων ἁμαρτωλῶν, καὶ σταυρωθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι. Καὶ ἐμνήσθησαν τῶν ῥημάτων αὐτοῦ. Καὶ ὑποστρέψασαι ἀπὸ τοῦ μνημείου, ἀπήγγειλαν πάντα ταῦτα τοῖς ἕνδεκα, καὶ πᾶσι τοῖς λοιποῖς. Ἦσαν δὲ ἡ Μαγδαληνὴ Μαρία, καὶ Ἰωάννα, καὶ Μαρία Ἰακώβου, καὶ αἱ λοιπαὶ σὺν αὐταῖς,



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

αἱ ἔλεγον πρὸς τοὺς Ἀποστόλους ταῦτα. Καὶ ἐφάνησαν ἐνώπιον αὐτῶν ὡσεὶ λῆρος τὰ ῥήματα αὐτῶν, καὶ ἠπίστουν αὐταῖς. Ὁ δὲ Πέτρος ἀναστὰς, ἔδραμεν ἐπὶ τὸ μνημεῖον, καὶ παρακύψας, βλέπει τὰ ὀθόνια κείμενα μόνα, καὶ ἀπῆλθε πρὸς ἑαυτὸν, θαυμάζων τὸ γεγονός.

## ΕΩΘΙΝΟΝ Ε΄. κατὰ Λουκᾶν.

Τῷ καιρῷ ἐκείνῳ ὁ Πέτρος ἀναστὰς, ἔδραμεν ἐπὶ τὸ μνημεῖον· καὶ παρακύψας, βλέπει τὰ ὀθόνια κείμενα μόνα, καὶ ἀπῆλθε πρὸς ἑαυτὸν, θαυμάζων τὸ γεγονός. Καὶ ἰδοὺ, δύο ἐξ αὐτῶν ἦσαν πορευόμενοι ἐν αὐτῇ τῇ ἡμέρᾳ εἰς Κώμην ἀπέχουσαν σταδίους ἑξήκοντα ἀπὸ Ἱερουσαλὴμ, ᾗ ὄνομα Ἐμμαοὺς. Καὶ αὐτοὶ ὡμίλουν πρὸς ἀλλήλους περὶ πάντων τῶν συμβεβηκότων τούτων. Καὶ ἐγένετο ἐν τῷ ὁμιλεῖν αὐτοὺς καὶ συζητεῖν, καὶ αὐτὸς ὁ Ἰησοῦς ἐγγίσας, συνεπορεύετο αὐτοῖς. Οἱ δὲ ὀφθαλμοὶ αὐτῶν ἐκρατοῦντο τοῦ μὴ ἐπιγνῶναι αὐτόν. Εἶπε δὲ πρὸς αὐτούς. τίνες οἱ λόγοι οὗτοι, οὓς ἀντιβάλλετε πρὸς ἀλλήλους περιπατοῦντες, καὶ ἐστὲ σκυθρωποί; Ἀποκριθεὶς δὲ ὁ εἷς, ᾧ ὄνομα Κλεόπας, εἶπε πρὸς αὐτόν· σὺ μόνος παροικεῖς ἐν Ἱερουσαλὴμ, καὶ οὐκ ἔγνως τὰ γενόμενα ἐν αὐτῇ, ἐν ταῖς ἡμέραις ταύταις; Καὶ εἶπεν αὐτοῖς· ποῖα; Οἱ δὲ εἶπον αὐτῷ· τὰ περὶ Ἰησοῦ τοῦ Ναζαραίου, ὃς ἐγένετο ἀνὴρ προφήτης, δυνατὸς ἐν ἔργῳ καὶ λόγῳ ἐναντίον τοῦ Θεοῦ, καὶ παντὸς τοῦ λαοῦ· ὅπως τε παρέδωκαν αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ ἄρχοντες ἡμῶν εἰς

κρί-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

κρίμα θανάτου, καὶ ἐσταύρωσαν αὐτόν· ἡμεῖς δὲ ἠλπίζομεν, ὅτι αὐτός ἐστιν ὁ μέλλων λυτροῦσθαι τὸν Ἰσραήλ, ἀλλά γε σὺν πᾶσι τούτοις, τρίτην ταύτην ἡμέραν ἄγει σήμερον, ἀφ᾽ οὗ ταῦτα ἐγένετο. Ἀλλὰ καὶ Γυναῖκές τινες ἐξ ἡμῶν ἐξέστησαν ἡμᾶς, γενόμεναι ὄρθριαι ἐπὶ τὸ μνημεῖον. Καὶ μὴ εὑροῦσαι τὸ σῶμα αὐτοῦ, ἦλθον, λέγουσαι καὶ ὀπτασίαν Ἀγγέλων ἑωρακέναι, οἳ λέγουσιν αὐτὸν ζῆν. Καὶ ἀπῆλθόν τινες τῶν σὺν ἡμῖν ἐπὶ τὸ μνημεῖον, καὶ εὗρον οὕτω, καθὼς καὶ αἱ Γυναῖκες εἶπον· αὐτὸν δὲ οὐκ εἶδον. Καὶ αὐτὸς εἶπε πρὸς αὐτούς· ὦ ἀνόητοι καὶ βραδεῖς τῇ καρδίᾳ, τοῦ πιστεύειν ἐπὶ πᾶσιν οἷς ἐλάλησαν οἱ προφῆται. Οὐχὶ ταῦτα ἔδει παθεῖν τὸν Χριστόν, καὶ εἰσελθεῖν εἰς τὴν δόξαν αὐτοῦ; Καὶ ἀρξάμενος ἀπὸ Μωσέως, καὶ ἀπὸ πάντων τῶν προφητῶν, διηρμήνευεν αὐτοῖς ἐν πάσαις ταῖς γραφαῖς τὰ περὶ αὐτοῦ. Καὶ ἤγγισαν εἰς τὴν Κώμην οὗ ἐπορεύοντο· καὶ αὐτὸς προσεποιεῖτο πορρωτέρω πορεύεσθαι. Καὶ παρεβιάσαντο αὐτόν, λέγοντες· μεῖνον μεθ᾽ ἡμῶν, ὅτι πρὸς ἑσπέραν ἐστί, καὶ κέκλικεν ἡ ἡμέρα· καὶ εἰσῆλθε τοῦ μεῖναι σὺν αὐτοῖς. Καὶ ἐγένετο ἐν τῷ κατακλιθῆναι αὐτὸν μετ᾽ αὐτῶν, λαβὼν τὸν ἄρτον, εὐλόγησε, καὶ κλάσας ἐπεδίδου αὐτοῖς. Αὐτῶν δὲ διηνοίχθησαν οἱ ὀφθαλμοί, καὶ ἐπέγνωσαν αὐτόν. καὶ αὐτὸς ἄφαντος ἐγένετο ἀπ᾽ αὐτῶν. Καὶ εἶπον πρὸς ἀλλήλους· οὐχὶ ἡ καρδία ἡμῶν καιομένη ἦν ἐν ἡμῖν, ὡς ἐλάλει ἡμῖν

ἐν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ἐν τῇ ὁδῷ, καὶ ὡς διήνοιγεν ἡμῖν τὰς γραφάς; Καὶ ἀναστάντες αὐτῇ τῇ ὥρᾳ, ὑπέστρεψαν εἰς Ἱερουσαλήμ· καὶ εὗρον συνηθροισμένους τοὺς ἕνδεκα, καὶ τοὺς σὺν αὐτοῖς, λέγοντας· ὅτι ἠγέρθη ὁ Κύριος ὄντως, καὶ ὤφθη Σίμωνι. Καὶ αὐτοὶ ἐξηγοῦντο τὰ ἐν τῇ ὁδῷ, καὶ ὡς ἐγνώσθη αὐτοῖς ἐν τῇ κλάσει τοῦ ἄρτου.

## ΕΩΘΙΝΟΝ ς΄. κατὰ Λουκᾶν.

Τῷ καιρῷ ἐκείνῳ ἀναστὰς ὁ Ἰησοῦς ἐκ νεκρῶν, ἔστη ἐν μέσῳ τῶν Μαθητῶν αὐτοῦ, καὶ λέγει αὐτοῖς· εἰρήνη ὑμῖν. Πτοηθέντες δὲ καὶ ἔμφοβοι γενόμενοι, ἐδόκουν πνεῦμα θεωρεῖν. Καὶ εἶπεν αὐτοῖς· τί τεταραγμένοι ἐστὲ, καὶ διατί διαλογισμοὶ ἀναβαίνουσιν ἐν ταῖς καρδίαις ὑμῶν; Ἴδετε τὰς χεῖράς μου καὶ τοὺς πόδας μου, ὅτι αὐτὸς ἐγώ εἰμι· ψηλαφήσατέ με καὶ ἴδετε, ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα. Καὶ τοῦτο εἰπὼν, ἐπέδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τοὺς πόδας. Ἔτι δὲ ἀπιστούντων αὐτῶν ἀπὸ τῆς χαρᾶς, καὶ θαυμαζόντων, εἶπεν αὐτοῖς· ἔχετέ τι βρώσιμον ἐνθάδε; Οἱ δὲ ἐπέδωκαν αὐτῷ ἰχθύος ὀπτοῦ μέρος, καὶ ἀπὸ μελισσίου κηρίου. Καὶ λαβὼν, ἐνώπιον αὐτῶν ἔφαγεν. Εἶπε δὲ αὐτοῖς· οὗτοι οἱ λόγοι οὓς ἐλάλησα πρὸς ὑμᾶς ἔτι ὢν σὺν ὑμῖν; ὅτι δεῖ πληρωθῆναι πάντα τὰ γεγραμμένα ἐν τῷ νόμῳ Μωσέως, καὶ προφήταις, καὶ ψαλμοῖς περὶ ἐμοῦ. Τότε διήνοιξεν αὐτῶν τὸν νοῦν τοῦ συνιέναι τὰς γραφάς· Καὶ εἶπεν αὐτοῖς· ὅτι οὕτω γέγραπται, καὶ οὕτως ἔδει παθεῖν τὸν Χρι-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Χριστὸν, καὶ ἀναστῆναι ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ, καὶ κηρυχθῆναι ἐπὶ τῷ ὀνόματι αὐτοῦ μετάνοιαν, καὶ ἄφεσιν ἁμαρτιῶν εἰς πάντα τὰ ἔθνη, ἀρξάμενον ἀπὸ Ἱερουσαλήμ. Ὑμεῖς δὲ ἐστε μάρτυρες τούτων. Καὶ ἰδοὺ, ἐγὼ ἀποστέλλω τὴν ἐπαγγελίαν τοῦ Πατρός μου ἐφ' ὑμᾶς· ὑμεῖς δὲ καθίσατε ἐν τῇ πόλει Ἱερουσαλὴμ, ἕως οὗ ἐνδύσησθε δύναμιν ἐξ ὕψους. Ἐξήγαγε δὲ αὐτοὺς ἔξω εἰς Βηθανίαν· καὶ ἐπάρας τὰς χεῖρας αὐτοῦ, εὐλόγησεν αὐτούς. Καὶ ἐγένετο ἐν τῷ εὐλογεῖν αὐτὸν αὐτοὺς, διέστη ἀπ' αὐτῶν, καὶ ἀνεφέρετο εἰς τὸν οὐρανόν. Καὶ αὐτοὶ προσκυνήσαντες αὐτὸν, ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ μετὰ χαρᾶς μεγάλης. Καὶ ἦσαν διαπαντὸς ἐν τῷ Ἱερῷ, αἰνοῦντες, καὶ εὐλογοῦντες τὸν Θεόν. Ἀμήν.

## ΕΩΘΙΝΟΝ Ζ'. κατὰ Ἰωάννην.

ΤΗ μιᾷ τῶν σαββάτων Μαρία ἡ Μαγδαληνὴ ἔρχεται πρωῒ σκοτίας ἔτι οὔσης, εἰς τὸ μνημεῖον· καὶ βλέπει τὸν λίθον ἠρμένον ἐκ τοῦ μνημείου. Τρέχει οὖν καὶ ἔρχεται πρὸς Σίμωνα Πέτρον, καὶ πρὸς τὸν ἄλλον Μαθητὴν ὃν ἐφίλει ὁ Ἰησοῦς, καὶ λέγει αὐτοῖς· ἦραν τὸν Κύριον ἐκ τοῦ μνημείου, καὶ οὐκ οἴδαμεν ποῦ ἔθηκαν αὐτόν. Ἐξῆλθεν οὖν ὁ Πέτρος, καὶ ὁ ἄλλος μαθητὴς, καὶ ἤρχοντο εἰς τὸ μνημεῖον. Ἔτρεχον δὲ οἱ δύο ὁμοῦ, καὶ ὁ ἄλλος Μαθητὴς προέδραμε τάχιον τοῦ Πέτρου, καὶ ἦλθε πρῶτος εἰς τὸ μνημεῖον. Καὶ παρακύψας βλέπει κείμενα τὰ ὀθόνια· οὐ μέντοι εἰσῆλθεν. Ἔρχεται οὖν Σίμων Πέτρος ἀκολουθῶν αὐτῷ, καὶ εἰσῆλθεν εἰς τὸ μνημεῖον.

καὶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

καὶ θεωρεῖ τὰ ὀθόνια κείμενα, καὶ τὸ σουδάριον ὃ ἦν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, οὐ μετὰ τῶν ὀθονίων κείμενον, ἀλλὰ χωρὶς ἐντετυλιγμένον εἰς ἕνα τόπον. Τότε οὖν εἰσῆλθε καὶ ὁ ἄλλος Μαθητὴς, ὁ ἐλθὼν πρῶτος εἰς τὸ μνημεῖον, καὶ εἶδε, καὶ ἐπίστευσεν. Οὐδέπω γὰρ ᾔδεισαν τὴν γραφὴν, ὅτι δεῖ αὐτὸν ἐκ νεκρῶν ἀναστῆναι. Ἀπῆλθον οὖν πάλιν πρὸς ἑαυτοὺς οἱ Μαθηταί.

## ΕΩΘΙΝΟΝ Η΄. κατὰ Ἰωάννην.

ΤΩι καιρῷ ἐκείνῳ, Μαρία εἱστήκει πρὸς τὸ μνημεῖον κλαίουσα ἔξω. Ὡς οὖν ἔκλαιε, παρέκυψεν εἰς τὸ μνημεῖον, καὶ θεωρεῖ δύο Ἀγγέλους ἐν λευκοῖς, καθεζομένους, ἕνα πρὸς τῇ κεφαλῇ, καὶ ἕνα πρὸς τοῖς ποσὶν, ὅπου ἔκειτο τὸ σῶμα τοῦ Ἰησοῦ. Καὶ λέγουσιν αὐτῇ ἐκεῖνοι· γύναι, τί κλαίεις; Λέγει αὐτοῖς· ὅτι ἦραν τὸν Κύριόν μου, καὶ οὐκ οἶδα ποῦ ἔθηκαν αὐτόν. Καὶ ταῦτα εἰποῦσα, ἐστράφη εἰς τὰ ὀπίσω, καὶ θεωρεῖ τὸν Ἰησοῦν ἑστῶτα· καὶ οὐκ ᾔδει ὅτι ὁ Ἰησοῦς ἐστι. Λέγει αὐτῇ ὁ Ἰησοῦς· γύναι, τί κλαίεις; τίνα ζητεῖς; Ἐκείνη, δοκοῦσα ὅτι ὁ κηπουρός ἐστι, λέγει αὐτῷ. Κύριε, εἰ σὺ ἐβάστασας αὐτὸν, εἰπέ μοι ποῦ ἔθηκας αὐτὸν· κἀγὼ αὐτὸν ἀρῶ. Λέγει αὐτῇ ὁ Ἰησοῦς. Μαρία· στραφεῖσα ἐκείνη λέγει αὐτῷ. Ῥαββουνὶ, ὃ λέγεται, Διδάσκαλε. Λέγει αὐτῇ ὁ Ἰησοῦς· μή μου ἅπτου· οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν Πατέρα μου· πορεύου δὲ πρὸς τοὺς ἀδελφούς μου, καὶ εἰπὲ αὐτοῖς· ἀναβαίνω πρὸς τὸν Πατέρα μου, καὶ Πατέρα ὑμῶν, καὶ Θεόν μου, καὶ Θεὸν ὑμῶν. Ἔρχεται Μά-

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Μαρία ἡ Μαγδαληνὴ ἀπαγγέλλουσα τοῖς μαθηταῖς ὅτι ἑώρακε τὸν Κύριον καὶ ταῦτα εἶπεν αὐτῇ.

## ΕΩΘΙΝΟΝ Θʹ. κατὰ Ἰωάννην.

Οὔσης ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ τῇ μιᾷ τῶν σαββάτων, καὶ θυρῶν κεκλεισμένων, ὅπου ἦσαν οἱ μαθηταὶ συνηγμένοι διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἦλθεν ὁ Ἰησοῦς, καὶ ἔστη εἰς τὸ μέσον, καὶ λέγει αὐτοῖς· εἰρήνη ὑμῖν. Καὶ τοῦτο εἰπὼν, ἔδειξεν αὐτοῖς τὰς χεῖρας, καὶ τὴν πλευρὰν αὐτοῦ. Ἐχάρησαν οὖν οἱ μαθηταὶ ἰδόντες τὸν Κύριον. Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς πάλιν· εἰρήνη ὑμῖν· καθὼς ἀπέσταλκέ με ὁ Πατὴρ, κἀγὼ πέμπω ὑμᾶς. Καὶ τοῦτο εἰπὼν, ἐνεφύσησε, καὶ λέγει αὐτοῖς· λάβετε Πνεῦμα ἅγιον, Ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς, ἄν τινων κρατῆτε, κεκράτηνται. Θωμᾶς δὲ, εἷς ἐκ τῶν δώδεκα, ὁ λεγόμενος Δίδυμος, οὐκ ἦν μετ᾽ αὐτῶν ὅτε ἦλθεν ὁ Ἰησοῦς. Ἔλεγον οὖν αὐτῷ οἱ ἄλλοι μαθηταί· ἑωράκαμεν τὸν Κύριον· ὁ δὲ εἶπεν αὐτοῖς· ἐὰν μὴ ἴδω ἐν ταῖς χερσὶν αὐτοῦ τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὸν δάκτυλόν μου εἰς τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὴν χεῖρά μου εἰς τὴν πλευρὰν αὐτοῦ, οὐ μὴ πιστεύσω. Καὶ μεθ᾽ ἡμέρας ὀκτὼ πάλιν ἦσαν ἔσω οἱ μαθηταὶ αὐτοῦ, καὶ Θωμᾶς μετ᾽ αὐτῶν. Ἔρχεται ὁ Ἰησοῦς τῶν θυρῶν κεκλεισμένων, καὶ ἔστη εἰς τὸ μέσον, καὶ εἶπεν· εἰρήνη ὑμῖν. Εἶτα λέγει τῷ Θωμᾷ· φέρε τὸν δάκτυλόν σου ὧδε, καὶ ἴδε τὰς χεῖράς μου· καὶ φέρε τὴν χεῖρά σου, καὶ βάλε εἰς τὴν πλευράν

μου·

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

μου· καὶ μὴ γίνου ἄπιστος, ἀλλὰ πιστός. Καὶ ἀπεκρίθη Θωμᾶς, καὶ εἶπεν αὐτῷ· ὁ Κύριός μου, καὶ ὁ Θεός μου. Λέγει αὐτῷ ὁ Ἰησοῦς· ὅτι ἑώρακάς με, Θωμᾶ, πεπίστευκας· μακάριοι οἱ μὴ ἰδόντες, καὶ πιστεύσαντες. Πολλὰ μὲν οὖν, καὶ ἄλλα σημεῖα ἐποίησεν ὁ Ἰησοῦς ἐνώπιον τῶν μαθητῶν αὐτοῦ, ἃ οὐκ ἔστι γεγραμμένα ἐν τῷ βιβλίῳ τούτῳ. Ταῦτα δὲ γέγραπται, ἵνα πιστεύσητε, ὅτι ὁ Ἰησοῦς ἐστὶν ὁ Χριστὸς, ὁ Υἱὸς τοῦ Θεοῦ. καὶ ἵνα πιστεύοντες ζωὴν ἔχητε ἐν τῷ ὀνόματι αὐτοῦ.

## ΕΩΘΙΝΟΝ Ι'. κατὰ Ἰωάννην.

Τῷ καιρῷ ἐκείνῳ, ἐφανέρωσεν ἑαυτὸν πάλιν ὁ Ἰησοῦς τοῖς μαθηταῖς αὐτοῦ, ἐγερθεὶς ἐκ νεκρῶν, ἐπὶ τῆς θαλάσσης τῆς Τιβεριάδος· ἐφανέρωσε δὲ οὕτως. Ἦσαν ὁμοῦ Σίμων Πέτρος, καὶ Θωμᾶς ὁ λεγόμενος Δίδυμος, καὶ Ναθαναὴλ ὁ ἀπὸ Κανᾶ τῆς Γαλιλαίας, καὶ οἱ τοῦ Ζεβεδαίου, καὶ ἄλλοι ἐκ τῶν μαθητῶν αὐτοῦ δύο. Λέγει αὐτοῖς Σίμων Πέτρος· ὑπάγω ἁλιεύειν. Λέγουσιν αὐτῷ, ἐρχόμεθα καὶ ἡμεῖς σὺν σοί. Ἐξῆλθον, καὶ ἀνέβησαν εἰς τὸ πλοῖον εὐθὺς, καὶ ἐν ἐκείνῃ τῇ νυκτὶ ἐπίασαν οὐδέν. Πρωΐας δὲ ἤδη γενομένης, ἔστη ὁ Ἰησοῦς εἰς τὸν αἰγιαλὸν· οὐ μέντοι ᾔδεισαν οἱ Μαθηταὶ ὅτι Ἰησοῦς ἐστι. Λέγει οὖν αὐτοῖς ὁ Ἰησοῦς· παιδία, μή τι προσφάγιον ἔχετε; Ἀπεκρίθησαν αὐτῷ· οὔ. Ὁ δὲ εἶπεν αὐτοῖς· βάλλετε εἰς τὰ δεξιὰ μέρη τοῦ πλοίου τὸ δίκτυον, καὶ εὑρήσετε. Ἔβαλον οὖν, καὶ οὐκ ἔτι αὐτὸ ἑλκύσαι ἴσχυσαν ἀπὸ τοῦ πλήθους τῶν ἰχθύων. Λέγει οὖν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

οὖν ὁ Μαθητὴς ἐκεῖνος ὃν ἠγάπα ὁ Ἰησοῦς, τῷ Πέτρῳ· ὁ Κύριός ἐστι. Σίμων οὖν Πέτρος, ἀκούσας ὅτι ὁ Κύριος ἐστι, τὸν ἐπενδύτην διεζώσατο, ἦν γὰρ γυμνὸς, καὶ ἔβαλεν ἑαυτὸν εἰς τὴν θάλασσαν. Οἱ δὲ ἄλλοι μαθηταὶ τῷ πλοιαρίῳ ἦλθον, οὐ γὰρ ἦσαν μακρὰν ἀπὸ τῆς γῆς, ἀλλ' ὡς ἀπὸ πηχῶν διακοσίων, σύροντες τὸ δίκτυον τῶν ἰχθύων. Ὡς οὖν ἀπέβησαν εἰς τὴν γῆν, βλέπουσιν ἀνθρακιὰν κειμένην, καὶ ὀψάριον ἐπικείμενον, καὶ ἄρτον. Λέγει αὐτοῖς ὁ Ἰησοῦς, ἐνέγκατε ἀπὸ τῶν ὀψαρίων ὧν ἐπιάσατε νῦν. Ἀνέβη Σίμων Πέτρος· καὶ εἵλκυσε τὸ δίκτυον ἐπὶ τῆς γῆς, μεστὸν ἰχθύων μεγάλων ἑκατὸν πεντήκοντα τριῶν· καὶ τοσούτων ὄντων, οὐκ ἐσχίσθη τὸ δίκτυον. Λέγει αὐτοῖς ὁ Ἰησοῦς· δεῦτε, ἀριστήσατε· οὐδεὶς δὲ ἐτόλμα τῶν μαθητῶν ἐξετάσαι αὐτὸν, σὺ τίς εἶ; εἰδότες, ὅτι ὁ Κύριός ἐστιν. Ἔρχεται οὖν ὁ Ἰησοῦς, καὶ λαμβάνει τὸν ἄρτον, καὶ δίδωσιν αὐτοῖς, καὶ τὸ ὀψάριον ὁμοίως. Τοῦτο ἤδη τρίτον ἐφανερώθη ὁ Ἰησοῦς τοῖς μαθηταῖς αὐτοῦ, ἐγερθεὶς ἐκ νεκρῶν.

## ΕΩΘΙΝΟΝ ΙΑ'. κατὰ Ἰωάννην.

Τῷ καιρῷ ἐκείνῳ ἐφανέρωσεν ἑαυτὸν ὁ Ἰησοῦς τοῖς μαθηταῖς αὐτοῦ, ἐγερθεὶς ἐκ νεκρῶν· καὶ λέγει τῷ Σίμωνι Πέτρῳ. Σίμων Ἰωνᾶ, ἀγαπᾷς με πλεῖον τούτων; λέγει αὐτῷ· ναὶ Κύριε· σὺ οἶδας ὅτι φιλῶ σε. Λέγει αὐτῷ· βόσκε τὰ ἀρνία μου. Λέγει αὐτῷ πάλιν δεύτερον· Σίμων Ἰωνᾶ, ἀγαπᾷς με; Λέγει αὐτῷ

ναὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

ναὶ Κύριε· σὺ οἶδας ὅτι φιλῶ σε. Λέγει αὐτῷ· ποίμανε τὰ πρόβατά μου. Λέγει αὐτῷ τὸ τρίτον. Σίμων Ἰωνᾶ, φιλεῖς με; Ἐλυπήθη ὁ Πέτρος ὅτι εἶπεν αὐτῷ τὸ τρίτον, φιλεῖς με; καὶ εἶπεν αὐτῷ. Κύριε, σὺ πάντα οἶδας, σὺ γινώσκεις ὅτι φιλῶ σε. Λέγει αὐτῷ ὁ Ἰησοῦς· βόσκε τὰ πρόβατά μου. Ἀμὴν ἀμὴν λέγω σοι, ὅτε ἦς νεώτερος, ἐζώννυες σεαυτὸν, καὶ περιεπάτεις ὅπου ἤθελες· ὅταν δὲ γηράσῃς, ἐκτενεῖς τὰς χεῖράς σου, καὶ ἄλλος σε ζώσει, καὶ οἴσει ὅπου οὐ θέλεις. Τοῦτο δὲ εἶπε, σημαίνων ποίῳ θανάτῳ δοξάσῃ τὸν Θεόν. Καὶ τοῦτο εἰπὼν, λέγει αὐτῷ, ἀκολούθει μοι. Ἐπιστραφεὶς δὲ ὁ Πέτρος, βλέπει τὸν μαθητὴν ὃν ἠγάπα ὁ Ἰησοῦς, ἀκολουθοῦντα, ὃς καὶ ἀνέπεσεν ἐν τῷ δείπνῳ ἐπὶ τὸ στῆθος αὐτοῦ, καὶ εἶπε· Κύριε, τίς ἐστιν ὁ παραδιδούς σε; Τοῦτον ἰδὼν ὁ Πέτρος, λέγει τῷ Ἰησοῦ· Κύριε, οὗτος δὲ τί; Λέγει αὐτῷ ὁ Ἰησοῦς· ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρός σε; σὺ ἀκολούθει μοι. Ἐξῆλθεν οὖν ὁ λόγος οὗτος εἰς τοὺς ἀδελφοὺς, ὅτι ὁ μαθητὴς ἐκεῖνος οὐκ ἀποθνήσκει· καὶ οὐκ εἶπεν αὐτῷ ὁ Ἰησοῦς, ὅτι οὐκ ἀποθνήσκει· ἀλλ᾽, ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρός σε. Οὗτός ἐστιν ὁ μαθητὴς ὁ μαρτυρῶν περὶ τούτων, καὶ γράψας ταῦτα· καὶ οἴδαμεν ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία αὐτοῦ. Ἔστι δὲ καὶ ἄλλα πολλὰ ὅσα ἐποίησεν ὁ Ἰησοῦς, ἅτινα ἐὰν γράφηται καθ᾽ ἓν, οὐδὲ αὐτὸν οἶμαι τὸν κόσμον χωρῆσαι τὰ γραφόμενα βιβλία. Ἀμήν.

ΑΚΑ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

# ΑΚΑΘΙΣΤΟΣ ΥΜΝΟΣ

Ψαλλόμενος κατὰ τὸ ἡμέτερον Τυπικὸν, τῇ εἰκοστῇ τοῦ Μαρτίου μηνὸς, εἰς τιμὴν, καὶ δόξαν τοῦ εὐαγγελισμοῦ τῆς ὑπεραγίας Θεοτόκου, ἀντὶ τοῦ ἀποδείπνου.

ὁ Ἱερεὺς λέγει.

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ὁ χορὸς. Ἀμήν.

Ἐν εἰρήνῃ τοῦ κυρίου. καὶ τὰ λοιπὰ, ὡς ἔθος.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, τῷ πατρὶ, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι, νῦν, καὶ ἀεὶ. ὁ χορ. Ἀμήν. Τροπ. ἦχ. β'.

Εὐσπλαγχνίας ὑπάρχουσα πηγὴ, συμπαθείας ἀξίωσον ἡμᾶς θεοτόκε, βλέψον εἰς λαὸν τὸν ἁμαρτήσαντα, δεῖξον ὡς ἀεὶ τὴν δυναστείαν σου, εἰς σὲ γὰρ ἐλπίζοντες, τὸ χαῖρε βοῶμεν σοι, ὡς ποτὲ ὁ Γαβριὴλ ὁ τῶν ἀσωμάτων ἀρχιστράτηγος.

Καὶ λέγονται τὰ πάντα, ὡς ἐν τῷ ἀποδείπνῳ τῆς Παρακλήσεως, μέχρι τοῦ, Θεὸς κύριος, ὅπερ ψάλλεται ὡς ἔθος, καὶ ἔπειτα τὸ τροπάριον, ἦχ. πλ. δ'.

Τὸ προσταχθὲν μυστικῶς λαβὼν ἐν γνώσει, ἐν τῇ σκηνῇ τοῦ Ἰωσὴφ σπουδῇ ἐπέστη, ὁ ἀσώματος λέγων τῇ ἀπειρογάμῳ, ὁ κλίνας τῇ καταβάσει τοὺς οὐρανοὺς, χωρεῖται ἀναλλοιώτως ὅλος ἐν σοὶ, ὃν καὶ βλέπων ἐν μήτρᾳ σου, λαβόντα δούλου μορφὴν, ἐξίσταμαι κραυγάζειν σοι. Χαῖρε νύμφη ἀνύμφευτε.

λέγεται ἐκ γ'.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Κοντάκιον, ἦχ. πλ. δʹ.

Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια. Ὡς λυτρωθεῖσα τῶν δεινῶν εὐχαριστήρια. Ἀναγράφω σοι ἡ πόλις σου θεοτόκε. Ἀλλ᾽ ὡς ἔχουσα τὸ κράτος ἀπροσμάχητον. Ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον. Ἵνα κράζω σοι. Χαῖρε νύμφη ἀνύμφευτε. ἅπαξ.

Οἱ οἶκοι.

Ἄγγελος πρωτοστάτης, οὐρανόθεν ἐπέμφθη, εἰπεῖν τῇ θεοτόκῳ τὸ χαῖρε. Καὶ σὺν τῇ ἀσωμάτῳ φωνῇ, σωματούμενόν σε θεωρῶν κύριε, ἐξίστατο, καὶ ἵστατο κραυγάζων, πρὸς αὐτὴν τοιαῦτα.

Χαῖρε, δι᾽ ἧς ἡ χαρὰ ἐκλάμψει. Χαῖρε, δι᾽ ἧς ἡ ἀρὰ ἐκλείψει. Χαῖρε τοῦ πεσόντος Ἀδὰμ ἡ ἀνάκλησις, Χαῖρε τῶν δακρύων τῆς Εὔας ἡ λύτρωσις. Χαῖρε ὕψος δυσανάβατον ἀνθρωπίνοις λογισμοῖς. Χαῖρε βάθος δυσθεώρητον καὶ ἀγγέλων ὀφθαλμοῖς. Χαῖρε, ὅτι ὑπάρχεις βασιλέως καθέδρα. Χαῖρε, ὅτι βαστάζεις τὸν βαστάζοντα πάντα. Χαῖρε ἀστὴρ ἐμφαίνων τὸν ἥλιον. Χαῖρε γαστὴρ ἐνθέου σαρκώσεως. Χαῖρε, δι᾽ ἧς νεουργεῖται ἡ κτίσις. Χαῖρε, δι᾽ ἧς προσκυνεῖται ὁ πλάστης.

Χαῖρε νύμφη ἀνύμφευτε. ὁ ἄλλος χορὸς λέγει.

Χαῖρε νύμφη ἀνύμφευτε. καὶ οὕτως ἀεί.

Βλέπουσα ἡ ἁγία, ἑαυτὴν ἐν ἁγνείᾳ, φησὶ τῷ Γαβριὴλ θαρσαλέως, τὸ παράδοξόν σου τῆς φωνῆς, δυσπαράδεκτόν μου τῇ ψυχῇ φαίνεται, ἀσπόρου

γὰρ

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσεία Τυπάλδων Ιακωβάτων

τῆς συλλήψεως, τὴν κύησιν πῶς λέγεις, κράζων·
Ἀλληλούϊα.

Ὁ ἕτερος χορὸς, Ἀλληλούϊα. καὶ οὕτως ἀεί.

ΓΝῶσιν ἄγνωστον γνῶναι, ἡ παρθένος ζητοῦσα, ἐβόησε πρὸς τὸν λειτουργοῦντα, ἐκ λαγόνων ἁγνῶν υἱὸν, πῶς ἐστὶ τεχθῆναι δυνατὸν, λέξον μοι; πρὸς ἣν ἐκεῖνος ἔφησεν, ἐν φόβῳ πλὴν, κραυγάζων οὕτως.

Χαῖρε βουλῆς ἀποῤῥήτου μύστις. Χαῖρε σιγῆς δεομένων πίστις. Χαῖρε τῶν θαυμάτων Χριστοῦ τὸ προοίμιον. Χαῖρε τῶν δογμάτων αὐτοῦ τὸ κεφάλαιον. Χαῖρε κλίμαξ ἐπουράνιε, δι' ἧς κατέβη ὁ Θεός. Χαῖρε γέφυρα μετάγουσα τοὺς ἐκ γῆς πρὸς οὐρανόν. Χαῖρε τὸ τῶν ἀγγέλων πολυθρύλλητον θαῦμα. Χαῖρε τὸ τῶν δαιμόνων πολυθρήνητον τραῦμα. Χαῖρε τὸ φῶς ἀῤῥήτως γεννήσασα. Χαῖρε τὸ πῶς μηδένα διδάξασα. Χαῖρε σοφῶν ὑπερβαίνουσα γνῶσιν. Χαῖρε πιστῶν καταυγάζουσα φρένας.

Χαῖρε νύμφη ἀνύμφευτε. δίς.

ΔΎναμις τοῦ ὑψίστου, ἐπεσκίασε τότε, πρὸς σύλληψιν τῇ ἀπειρογάμῳ, καὶ τὴν εὔκαρπον ταύτης νηδὺν, ὡς ἀγρὸν ὑπέδειξεν ἡδὺν ἅπασι, τοῖς θέλουσι θερίζειν σωτηρίαν, ἐν τῷ ψάλλειν οὕτως. Ἀλληλ.

Καὶ ἕτ. ὁ χορ. Ἀλλ.

ΕΧουσα θεοδόχον, ἡ παρθένος τὴν μήτραν, ἀνέδραμε πρὸς τὴν Ἐλισάβετ, τὸ δὲ βρέφος ἐκείνης εὐθὺς, ἐπιγνοῦν τὸν ταύτης ἀσπασμὸν ἔχαιρε, καὶ



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ἄλμασιν ὡς ᾄσμασιν, ἐβόα πρὸς τὴν Θεοτόκον.

Χαῖρε βλαστοῦ ἀμαράντου κλῆμα. Χαῖρε καρποῦ ἀκηράτου κτῆμα. Χαῖρε γεωργὸν γεωργοῦσα φιλάνθρωπον. Χαῖρε φυτουργὸν τῆς ζωῆς ἡμῶν φύουσα. Χαῖρε ἄρουρα βλαστάνουσα εὐφορίαν οἰκτιρμῶν. Χαῖρε τράπεζα βαστάζουσα εὐθηνίαν ἱλασμῶν. Χαῖρε, ὅτι λειμῶνα τῆς τρυφῆς ἀναθάλλεις. Χαῖρε, ὅτι λιμένα τῶν ψυχῶν ἑτοιμάζεις. Χαῖρε δεκτὸν πρεσβείας θυμίαμα. Χαῖρε παντὸς τοῦ κόσμου ἐξίλασμα. Χαῖρε Θεοῦ πρὸς θνητοὺς εὐδοκία. Χαῖρε θνητῶν πρὸς Θεὸν παρρησία.

Χαῖρε νύμφη ἀνύμφευτε. δίς.

Ζάλην ἔνδοθεν ἔχων, λογισμῶν ἀμφιβόλων, ὁ σώφρων Ἰωσὴφ ἐταράχθη, πρὸς τὴν ἄγαμόν σε θεωρῶν, καὶ κλεψίγαμον ὑπονοῶν ἄμεμπτε, μαθὼν δέ σου τὴν σύλληψιν, ἐκ Πνεύματος ἁγίου, ἔφη. Ἀλλ. δίς.

Καὶ πάλιν, Τῇ ὑπερμάχῳ. εἶτα.

Ἤκουσαν οἱ ποιμένες, τῶν ἀγγέλων ὑμνούντων, τὴν ἔνσαρκον Χριστοῦ παρουσίαν, καὶ δραμόντες ὡς πρὸς ποιμένα, θεωροῦσι τοῦτον, ὡς ἀμνὸν ἄμωμον, ἐν τῇ γαστρὶ Μαρίας βοσκηθέντα, ἣν ὑμνοῦντες εἶπον.

Χαῖρε ἀμνοῦ καὶ ποιμένος μήτηρ. Χαῖρε αὐλὴ λογικῶν προβάτων. Χαῖρε ἀοράτων ἐχθρῶν ἀμυντήριον. Χαῖρε παραδείσου θυρῶν ἀνοικτήριον. Χαῖρε, ὅτι τὰ οὐράνια συναγάλλεται τῇ γῇ. Χαῖρε, ὅτι

τὰ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

τὰ ἐπίγεια συγχορεύει οὐρανοῖς. Χαῖρε τῶν ἀποστόλων τὸ ἀσίγητον στόμα. Χαῖρε τῶν ἀθλοφόρων τὸ ἀνίκητον θάρσος. Χαῖρε στεῤῥὸν τῆς πίστεως ἔρεισμα. Χαῖρε λαμπρὸν τῆς χάριτος γνώρισμα. Χαῖρε, δι᾽ ἧς ἐγυμνώθη ὁ ἅδης. Χαῖρε, δι᾽ ἧς ἐνεδύθημεν δόξαν.

Χαῖρε νύμφη ἀνύμφευτε. δίς.

Θεοδρόμον ἀστέρα, θεωρήσαντες μάγοι, τῇ τούτου ἠκολούθησαν αἴγλῃ· καὶ ὡς λύχνον κρατοῦντες αὐτὸν, δι᾽ αὐτοῦ ἠρεύνων, κραταιὸν ἄνακτα· καὶ φθάσαντες τὸν ἄφθαστον, ἐχάρησαν αὐτῷ βοῶντες. Ἀλληλούϊα.

Ἴδον παῖδες χαλδαίων, ἐν χερσὶ τῆς παρθένου, τὸν πλάσαντα χειρὶ τοὺς ἀνθρώπους· καὶ δεσπότην νοοῦντες αὐτὸν, εἰ καὶ δούλου ἔλαβε μορφὴν, ἔσπευσαν τοῖς δώροις θεραπεῦσαι, καὶ βοῆσαι τῇ εὐλογημένῃ.

Χαῖρε ἀστέρος ἀδύτου μήτηρ. Χαῖρε αὐγὴ μυστικῆς ἡμέρας. Χαῖρε τῆς ἀπάτης τὴν κάμινον σβέσασα. Χαῖρε τῆς Τριάδος τοὺς μύστας φωτίζουσα. Χαῖρε τύραννον ἀπάνθρωπον ἐκβαλοῦσα τῆς ἀρχῆς. Χαῖρε κύριον φιλάνθρωπον ἐπιδείξασα Χριστόν. Χαῖρε ἡ τῆς βαρβάρου λυτρουμένη θρησκείας. Χαῖρε ἡ τοῦ βορβόρου ῥυομένη τῶν ἔργων. Χαῖρε πυρὸς προσκύνησιν παύσασα. Χαῖρε φλογὸς παθῶν ἀπαλλάττουσα. Χαῖρε πιστῶν ὁδηγὲ σωφροσύνης. Χαῖρε πασῶν γενεῶν εὐφροσύνη.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Χαῖρε νύμφη ἀνύμφευτε. δίς.

Κήρυκες θεοφόροι, γεγονότες οἱ μάγοι, ὑπέστρεψαν εἰς τὴν Βαβυλῶνα· ἐκτελέσαντές σου τὸν χρησμὸν, καὶ κηρύξαντές σε τὸν Χριστὸν ἅπασιν· ἀφέντες τὸν Ἡρώδην ὡς ληρώδη, μὴ εἰδότα ψάλλειν·

Ἀλλ. δίς.

Λάμψας ἐν τῇ Αἰγύπτῳ, φωτισμὸν ἀληθείας, ἐδίωξας τοῦ ψεύδους τὸ σκότος· τὰ γὰρ εἴδωλα ταύτης σωτὴρ, μὴ ἐνέγκαντά σου, τὴν ἰσχὺν πέπτωκεν· οἱ τούτων δὲ ῥυσθέντες, ἐβόων πρὸς τὴν θεοτόκον.

Χαῖρε ἀνόρθωσις τῶν ἀνθρώπων. Χαῖρε κατάπτωσις τῶν δαιμόνων. Χαῖρε τῆς ἀπάτης τὴν πλάνην πατήσασα. Χαῖρε τῶν εἰδώλων τὸν δόλον ἐλέγξασα. Χαῖρε θάλασσα ποντίσασα φαραὼ τὸν νοητόν. Χαῖρε πέτρα ἡ ποτίσασα τοὺς διψῶντας τὴν ζωήν. Χαῖρε πύρινε στύλε ὁδηγῶν τοὺς ἐν σκότει. Χαῖρε σκέπη τοῦ κόσμου πλατυτέρα νεφέλης. Χαῖρε τροφὴ τοῦ μάννα διάδοχε. Χαῖρε τρυφῆς ἁγίας διάκονε. Χαῖρε ἡ γῆ τῆς ἐπαγγελίας. Χαῖρε, ἐξ ἧς ῥέει μέλι καὶ γάλα.

Χαῖρε νύμφη ἀνύμφευτε. δίς.

Μέλλοντος Συμεῶνος, τοῦ παρόντος αἰῶνος, μεθίστασθαι τοῦ ἀπατεῶνος· ἐπεδόθης ὡς βρέφος αὐτῷ, ἀλλ' ἐγνώσθης τούτῳ, καὶ Θεὸς τέλειος· διόπερ ἐξεπλάγη σου, τὴν ἄρρητον σοφίαν, κράζων·

Ἀλλ. δίς.

Τῇ ὑπερμάχῳ στρατηγῷ. ζήτει ἄνω.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσεία Τυπάλδων Ιακωβάτων

Καὶ λέγεται ὁ κανὼν τῆς θεοτόκου. ἦχ. δ'. ᾠδ. α'.

ΑΝοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται πνεύματος, καὶ λόγον ἐρεύξομαι τῇ βασιλίδι μητρί, καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος, ταύτης τὰ θαύματα.

ΧΡιστοῦ βίβλον ἔμψυχον, ἐσφραγισμένην σε πνεύματι, ὁ μέγας ἀρχάγγελος ἁγνὴ θεώμενος, ἐπεφώνει σοι, χαῖρε χαρᾶς δοχεῖον, δι᾽ ἧς τῆς προμήτορος, ἀρὰ λυθήσεται.

ΑΔὰμ ἐπανόρθωσις, χαῖρε παρθένε θεόνυμφε, τοῦ ᾅδου ἡ νέκρωσις, χαῖρε πανάμωμε, τὸ παλάτιον, τοῦ μόνου βασιλέως, χαῖρε θρόνε πύρινε, τοῦ παντοκράτορος.

ΡΟ῾δον τὸ ἀμάραντον, χαῖρε ἡ μόνη βλαστήσασα, τὸ μῆλον τὸ εὔοσμον, χαῖρε ἡ τέξασα, τὸ ὀσφράδιον, τοῦ πάντων βασιλέως, χαῖρε ἀπειρόγαμε, κόσμου διάσωσμα.

ΑΓνείας θησαύρισμα, χαῖρε δι᾽ ἧς ἐκ τοῦ πτώματος, ἡμῶν ἐξανέστημεν, χαῖρε ἡδύπνοον, κρῖνον δέσποινα, πιστοὺς εὐωδιάζον, θυμίαμα εὔοσμον, μύρον πολύτιμον.

ᾠδ. γ'.

ΤΟὺς σοὺς ὑμνολόγους θεοτόκε, ἡ ζῶσα καὶ ἄφθονος πηγή, θίασον συγκροτήσαντας πνευματικὸν στερέωσον, ἐπὶ τῇ θείᾳ δόξῃ σου, στεφάνων δόξης ἀξίωσον.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Σ Τάχυν ἡ βλαστήσασα τὸν θεῖον, ὡς χώρα ἀνήροτος σαφῶς, χαῖρε ἔμψυχε τράπεζα, ἄρτον ζωῆς χωρήσασα, χαῖρε τοῦ ζῶντος ὕδατος, πηγὴ ἀκένωτος δέσποινα.

Δ Α'μαλις τὸν μόσχον ἡ τεκοῦσα, τὸν ἄμωμον, χαῖρε τοῖς πιστοῖς, χαῖρε ἀμνὰς κυήσασα, Θεοῦ ἀμνὸν τὸν αἴροντα, κόσμου παντὸς τὰ πταίσματα, χαῖρε θερμὸν ἱλαστήριον.

Ο Ρθρος φαεινὸς χαῖρε ἡ μόνη, τὸν ἥλιον φέρουσα Χριστὸν, φωτὸς κατοικητήριον, χαῖρε τὸ σκότος λύσασα, καὶ τοὺς ζοφώδεις δαίμονας, ὁλοτελῶς ἐκμειώσασα.

Χ Αῖρε πύλη μόνη ἣν ὁ Λόγος διώδευσε μόνος, ἡ μοχλοὺς, καὶ πύλας ᾅδου δέσποινα, τῷ τόκῳ σου συντρίψασα, χαῖρε ἡ θεία εἴσοδος, τῶν σωζομένων πανύμνητε. Τῇ ὑπερμάχῳ.

Ν Ε'αν ἔδειξε κτίσιν, ἐμφανίσας ὁ κτίστης, ἡμῖν τοῖς ὑπ' αὐτοῦ γενομένοις· ἐξ ἀσπόρου βλαστήσας γαστρὸς, καὶ φυλάξας ταύτην, ὥσπερ ἦν ἄφθορον· ἵνα τὸ θαῦμα βλέποντες, ὑμνήσωμεν αὐτὴν, βοῶντες. Χαῖρε τὸ ἄνθος τῆς ἀφθαρσίας. Χαῖρε τὸ στέφος τῆς ἐγκρατείας. Χαῖρε ἀναστάσεως τύπον ἐκλάμπουσα. Χαῖρε τῶν ἀγγέλων τὸν βίον ἐμφαίνουσα. Χαῖρε δένδρον ἀγλαόκαρπον, ἐξ οὗ τρέφονται πιστοί. Χαῖρε ξύλον εὐσκιόφυλλον, ἐξ οὗ σκέπονται πολλοί. Χαῖρε κυοφοροῦσα ὁδηγὸν πλανωμένοις. Χαῖρε ἀπογεννῶσα

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

δυνᾶσα λυτρωτὴν αἰχμαλώτοις. Χαῖρε κριτοῦ δικαίου δυσώπησις. Χαῖρε πολλῶν πταιόντων συγχώρησις. Χαῖρε στολὴ τῶν γυμνῶν παῤῥησία. Χαῖρε στοργὴ πάντα πόθον νικῶσα.

Χαῖρε νύμφη ἀνύμφευτε. δίς.

ΞΕ'νον τόκον ἰδόντες, ξενωθῶμεν τοῦ κόσμου, τὸν νοῦν εἰς οὐρανὸν μεταθέντες· διὰ τοῦτο γὰρ ὁ ὑψηλὸς Θεὸς, ἐπὶ γῆς ἐφάνη ταπεινὸς ἄνθρωπος· βουλόμενος ἑλκῦσαι πρὸς τὸ ὕψος, τοὺς αὐτῷ βοῶντας. Ἀλλ. δίς.

ΟΛος ἦν ἐν τοῖς κάτω, καὶ τῶν ἄνω οὐδ᾽ ὅλως, ἀπῆν ὁ ἀπερίγραπτος Λόγος· συγκατάβασις γὰρ θεϊκὴ, οὐ μετάβασις δὲ τοπικὴ γέγονε· καὶ τόκος ἐκ παρθένου θεολήπτου, ἀκουούσης ταῦτα.

Χαῖρε Θεοῦ ἀχωρήτου χώρα. Χαῖρε σεπτοῦ μυστηρίου θύρα. Χαῖρε τῶν ἀπίστων ἀμφίβολον ἄκουσμα. Χαῖρε τῶν πιστῶν ἀναμφίβολον καύχημα. Χαῖρε ὄχημα πανάγιον τοῦ ἐπὶ τῶν χερουβὶμ. Χαῖρε οἴκημα πανάριστον τοῦ ἐπὶ τῶν σεραφὶμ. Χαῖρε ἡ τἀναντία εἰς ταὐτὸ ἀγαγοῦσα. Χαῖρε ἡ παρθενίαν, καὶ λοχίαν ζευγνῦσα. Χαῖρε, δι᾽ ἧς ἐλύθη παράβασις. Χαῖρε, δι᾽ ἧς ἠνοίχθη παράδεισος. Χαῖρε ἡ κλεῖς τῆς Χριστοῦ βασιλείας. Χαῖρε ἐλπὶς ἀγαθῶν αἰωνίων.

Χαῖρε νύμφη ἀνύμφευτε. δίς.

ΠΑ῀σα φύσις ἀγγέλων, κατεπλάγη τὸ μέγα, τῆς σῆς ἐνανθρωπήσεως ἔργον· τὸν ἀπρόσιτον γὰρ ὡς Θεὸν,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Θεὸν, ἐθεώρει πᾶσι, προσιτὸν ἄνθρωπον· ἡμῖν μὲν συνδιάγοντα, ἀκούοντα δὲ, παρὰ πάντων οὕτως· Ἀλλ. δίς.

Ῥήτορας πολυφθόγγους, ὡς ἰχθύας ἀφώνους, ὁρῶμεν ἐπὶ σοὶ Θεοτόκε· ἀποροῦσι γὰρ λέγειν τὸ πῶς, καὶ παρθένος μένεις, καὶ τεκεῖν ἴσχυσας· ἡμεῖς δὲ τὸ μυστήριον θαυμάζοντες, πιστῶς βοῶμεν.

Χαῖρε σοφίας Θεοῦ δοχεῖον. Χαῖρε προνοίας αὐτοῦ ταμεῖον. Χαῖρε φιλοσόφους ἀσόφους δεικνύουσα. Χαῖρε τεχνολόγους ἀλόγους ἐλέγχουσα. Χαῖρε, ὅτι ἐμωράνθησαν οἱ δεινοὶ συζητηταί. Χαῖρε, ὅτι ἐμαράνθησαν οἱ τῶν μύθων ποιηταί. Χαῖρε τῶν Ἀθηναίων τὰς πλοκὰς διασπάσασα. Χαῖρε τῶν ἁλιέων τὰς σαγήνας πληροῦσα. Χαῖρε βυθοῦ ἀγνοίας ἐξέλκουσα. Χαῖρε πολλοὺς ἐν γνώσει φωτίζουσα. Χαῖρε ὁλκὰς τῶν θελόντων σωθῆναι. Χαῖρε λιμὴν τῶν τοῦ βίου πλωτήρων. Χαῖρε νύμφη ἀνύμφευτε. δίς.

Σῶσαι θέλων τὸν κόσμον, ὁ τῶν ὅλων κοσμήτωρ, πρὸς τοῦτον αὐτεπάγγελτος ἦλθε· καὶ ποιμὴν ὑπάρχων ὡς Θεὸς, δι' ἡμᾶς ἐφάνη, καθ' ἡμᾶς ἄνθρωπος· ὁμοίῳ γὰρ, τὸ ὅμοιον καλέσας, ὡς Θεὸς ἀκούει· Ἀλλ. δίς.

Καὶ πάλιν Τῇ ὑπερμάχῳ στρατηγῷ. ἔπειτα ᾠδὴ δ'. ἦχ. δ'.

Ὁ Καθήμενος ἐν δόξῃ, ἐπὶ θρόνου θεότητος, ἐν νεφέλῃ κούφῃ, ἦλθεν Ἰησοῦς ὁ ὑπέρθεος, τῇ ἀκη-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

ἀκηράτῳ παλάμῃ, καὶ διέσωσε, τοὺς κραυγάζοντας. δόξα Χριστὲ τῇ δυνάμει σου.

ΕΝ φωναῖς ᾀσμάτων πιστῶς, σοὶ βοῶμεν πανύμνητε, χαῖρε πῖον ὄρος, καὶ τετυρωμένον ἐν πνεύματι· χαῖρε λυχνία καὶ στάμνε μάννα φέρουσα, τὸ γλυκαῖνον, τὰ τῶν εὐσεβῶν αἰσθητήρια.

ΙΛαστήριον τοῦ κόσμου, χαῖρε ἄχραντε δέσποινα, χαῖρε κλίμαξ γῆθεν, πάντας ἀνυψώσασα χάριτι· χαῖρε ἡ γέφυρα ὄντως ἡ μετάγουσα, ἐκ θανάτου πάντας, πρὸς ζωὴν τοὺς ὑμνοῦντάς σε.

ΟΥ'ρανῶν ὑψηλοτέρα, χαῖρε γῆς τὸ θεμέλιον, ἐν τῇ σῇ νηδύϊ ἄχραντε ἀκόπως βαστάσασα, χαῖρε κογχύλη πορφύραν θείαν βάψασα, ἐξ αἱμάτων σου, τῷ βασιλεῖ τῶν δυνάμεων.

ΝΟμοθέτην ἡ τεκοῦσα, ἀληθῶς χαῖρε δέσποινα, τὸν τὰς ἀνομίας, πάντων δωρεὰν ἐξαλείφοντα· ἀκατανόητον βάθος, ὕψος ἄρρητον, ἀπειρόγαμε, δι' ἧς ἡμεῖς ἐθεώθημεν.

ΣΕ` τὴν πλέξασαν τῷ κόσμῳ, ἀχειρόπλοκον στέφανον, ἀνυμνολογοῦμεν, χαῖρε σοὶ παρθένε κραυγάζοντες· τὸ φυλακτήριον πάντων καὶ χαράκωμα, καὶ κραταίωμα, καὶ ἱερὸν καταφύγιον. ᾠδὴ ε'.

ΕΞέστη τὰ σύμπαντα, ἐπὶ τῇ θείᾳ δόξῃ σου, σὺ γὰρ ἀπειρόγαμε παρθένε, ἔσχες ἐν μήτρᾳ τὸν ἐπὶ πάντων Θεὸν, καὶ τέτοκας ἄχρονον υἱὸν, πᾶσι τοῖς ὑμνοῦσί σε, τὴν εἰρήνην βραβεύουσα.

Ὁδὸν

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὁδὸν ἡ κυήσασα, ζωῆς χαῖρε παναμώμε, ἡ κατακλυσμοῦ τῆς ἁμαρτίας, σώσασα κόσμον, χαῖρε θεόνυμφε, ἄκουσμα καὶ λάλημα φρικτὸν, χαῖρε ἐνδιαίτημα τοῦ δεσπότου τῆς κτίσεως.

Ἰσχὺς καὶ ὀχύρωμα, ἀνθρώπων χαῖρε ἄχραντε, τόπε ἁγιάσματος τῆς δόξης, νέκρωσις ᾅδου, νυμφὼν ὁλόφωτε, χαῖρε τῶν ἀγγέλων χαρμονὴ, χαῖρε ἡ βοήθεια τῶν πιστῶς δεομένων σου.

Πυρίμορφον ὄχημα, τοῦ Λόγου χαῖρε δέσποινα, ἔμψυχε παράδεισε τὸ ξύλον, ἐν μέσῳ ἔχον ζωῆς τὸν κύριον, οὗ ὁ γλυκασμὸς ζωοποιεῖ, πίστει τοὺς μετέχοντας, καὶ φθορᾷ ὑποκύψαντας.

Ῥωννύμενοι σθένει σου, πιστῶς ἀναβοῶμέν σοι, χαῖρε πόλις τοῦ παμβασιλέως, δεδοξασμένα καὶ ἀξιάκουστα, περὶ ἧς λελάληνται σαφῶς, ὄρος ἀλατόμητον, χαῖρε βάθος ἀμέτρητον.

Εὐρύχωρον σκήνωμα, τοῦ Λόγου χαῖρε ἄχραντε, κόχλος ἡ τὸν θεῖον μαργαρίτην, προαγαγοῦσα, χαῖρε πανθαύμαστε, πάντων πρὸς Θεὸν καταλλαγὴ, τῶν μακαριζόντων σε, θεοτόκε ἑκάστοτε.

ᾠδὴ ς'.

Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν οἱ θεόφρονες, τῆς θεομήτορος δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα Θεὸν δοξάσωμεν.

Παστὰς τοῦ Λόγου ἀμόλυντε, αἰτία τῆς τῶν πάντων θεώσεως, χαῖρε πανάχραντε, τῶν προφη-

τῶν

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

τῶν περιήχημα, χαῖρε τῶν ἀποστόλων τὸ ἐγκαλλώπισμα.

ΕΚ σοῦ ἡ δρόσος ἀπέσταξε, φλογμὸν πολυθείας ἡ λύσασα, ὅθεν βοῶμέν σοι, χαῖρε ὁ πόκος ὁ ἔνδροσος, ὃν Γεδεὼν παρθένε προεθεάσατο.

ΙΔού σοι χαῖρε κραυγάζομεν, λιμὴν ἡμῖν γενοῦ θαλαττεύουσι, καὶ ὁρμητήριον, ἐν τῷ πελάγει τῶν θλίψεων, καὶ τῶν σκανδάλων πάντων τοῦ πολεμήτορος.

ΧΑρᾶς αἰτία χαρίτωσον, ἡμῶν τὸν λογισμὸν τοῦ κραυγάζειν σοι, χαῖρε ἡ ἄφλεκτος βάτος, νεφέλη ὁλόφωτε, ἡ τοὺς πιστοὺς ἀπαύστως ἐπισκιάζουσα.

Τῇ ὑπερμάχῳ στρατηγῷ, καὶ εὐθύς.

ΤΕῖχος εἶ τῶν παρθένων, θεοτόκε παρθένε, καὶ πάντων τῶν εἰς σὲ προστρεχόντων· ὁ γὰρ τοῦ οὐρανοῦ καὶ τῆς γῆς, κατεσκεύασέ σε, ποιητὴς ἄχραντε· οἰκήσας ἐν τῇ μήτρᾳ σου, καὶ πάντας σοι προσφωνεῖν διδάξας.

Χαῖρε ἡ στήλη τῆς παρθενίας. Χαῖρε ἡ πύλη τῆς σωτηρίας. Χαῖρε ἀρχηγὲ νοητῆς ἀναπλάσεως. Χαῖρε χορηγὲ θεϊκῆς ἀγαθότητος. Χαῖρε, σὺ γὰρ ἀνεγέννησας τοὺς συλληφθέντας αἰσχρῶς. Χαῖρε, σὺ γὰρ ἐνουθέτησας τοὺς συλλυθέντας τὸν νοῦν. Χαῖρε ἡ τὸν φθορέα τῶν φρενῶν καταργοῦσα. Χαῖρε ἡ τὸν σπορέα τῆς ἁγνείας τεκοῦσα. Χαῖρε παστὰς ἀσπόρου νυμφεύσεως. Χαῖρε πιστοὺς κυρίῳ ἁρμόζουσα. Χαῖρε καλὴ κουροτρόφε παρθένε. Χαῖρε ψυχῶν νυμφοστόλε ἁγίων.

Χαῖρε

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Χαῖρε νύμφη ἀνύμφευτε. δίς.

ΥΜνος ἅπας ἡττᾶται, συνεκτείνεσθαι σπεύδων, τῷ πλήθει τῶν πολλῶν οἰκτιρμῶν σου· ἰσαρίθμους ψαλμοὺς, καὶ ᾠδὰς, ἂν προσφέρωμέν σοι, βασιλεῦ ἅγιε· οὐδὲν τελοῦμεν ἄξιον, ὧν δέδωκας ἡμῖν, τοῖς σοὶ βοῶσιν. Ἀλληλούϊα. δίς.

ΦΩτοδόχον λαμπάδα, τοῖς ἐν σκότει φανεῖσαν, ὁρῶμεν τὴν ἁγίαν παρθένον· τὸ γὰρ ἄϋλον ἅπτουσα φῶς, ὁδηγεῖ πρὸς γνῶσιν, θεϊκὴν ἅπαντας· αὐγῇ τὸν νοῦν φωτίζουσα, κραυγῇ δὲ τιμωμένη ταῦτα.

Χαῖρε ἀκτὶς νοητοῦ ἡλίου. Χαῖρε βολὶς τοῦ ἀδύτου φέγγους. Χαῖρε ἀστραπὴ τὰς ψυχὰς καταλάμπουσα. Χαῖρε ὡς βροντὴ τοὺς ἐχθροὺς καταπλήττουσα. Χαῖρε, ὅτι τὸν πολύφωτον ἀνατέλλεις φωτισμόν. Χαῖρε, ὅτι τὸν πολύῤῥυτον ἀναβλύζεις ποταμόν. Χαῖρε τῆς κολυμβήθρας ζωγραφοῦσα τὸν τύπον. Χαῖρε τῆς ἁμαρτίας ἀναιροῦσα τὸν ῥύπον. Χαῖρε λουτὴρ ἐκπλύνων συνείδησιν. Χαῖρε κρατὴρ κιρνῶν ἀγαλλίασιν. Χαῖρε ὀσμὴ τῆς Χριστοῦ εὐωδίας. Χαῖρε ζωὴ μυστικῆς εὐωχίας.

Χαῖρε νύμφη ἀνύμφευτε. δίς.

ΧΑ'ριν δοῦναι θελήσας, ὀφλημάτων ἀρχαίων, ὁ πάντων χρεωλύτης ἀνθρώπων. ἐπεδήμησε δι' ἑαυτοῦ, πρὸς τοὺς ἀποδήμους τῆς αὐτοῦ χάριτος· καὶ σχίσας τὸ χειρόγραφον, ἀκούει παρὰ πάντων οὕτως.

Ἀλληλούϊα. δίς.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ψ Α'λλοντές σε τὸν τόκον, ἀνυμνοῦμέν σε πάντες, ὡς ἔμψυχον ναὸν θεοτόκε· ἐν τῇ σῇ γὰρ οἰκήσας γαστρὶ, ὁ συνέχων πάντα, τῇ χειρὶ κύριος. ἡγίασεν, ἐδόξασεν, ἐδίδαξε, βοᾷν σοι πάντας.

Χαῖρε σκηνὴ τοῦ Θεοῦ καὶ Λόγου. Χαῖρε ἁγία ἁγίων μείζων. Χαῖρε κιβωτὲ χρυσωθεῖσα τῷ πνεύματι. Χαῖρε θησαυρὲ τῆς ζωῆς ἀδαπάνητε. Χαῖρε τίμιον διάδημα βασιλέων εὐσεβῶν. Χαῖρε καύχημα σεβάσμιον ἱερέων εὐλαβῶν. Χαῖρε τῆς ἐκκλησίας ὁ ἀσάλευτος πύργος. Χαῖρε τῆς βασιλείας τὸ ἀπόρθητον τεῖχος. Χαῖρε, δι' ἧς ἐγείρονται τρόπαια. Χαῖρε, δι' ἧς ἐχθροὶ καταπίπτουσι. Χαῖρε φωτὸς τοῦ ἐμοῦ θεραπεία. Χαῖρε ψυχῆς τῆς ἐμῆς σωτηρία.

Χαῖρε νύμφη ἀνύμφευτε. δὶς.

Ω' Πανύμνητε μῆτερ, ἡ τεκοῦσα τὸν πάντων ἁγίων, ἁγιώτατον λόγον· δεξαμένη τὴν νῦν προσφορὰν, ἀπὸ πάσης ῥῦσαι, συμφορᾶς ἅπαντας· καὶ τῆς μελλούσης λύτρωσαι κολάσεως, τοὺς σοὶ βοῶντας. Α'λλ. δὶς.

Καὶ πάλιν Τῇ ὑπερμάχῳ στρατηγῷ.

ᾠδ. ζ΄. ἦχ. δ΄.

Ο'Υ'κ ἐλάτρευσαν τῇ κτίσει οἱ θεόφρονες, παρὰ τὸν κτίσαντα, ἀλλὰ πυρὸς ἀπειλὴν, ἀνδρείως πατήσαντες, ἔχαιρον ψάλλοντες, ὑπερύμνητε, ὁ τῶν πατέρων κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Α'νυ-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ΑΝυμνοῦμέν σε βοῶντες χαῖρε ὄχημα, ἡλίου τοῦ νοητοῦ, ἄμπελος ἀληθινὴ, τὸν βότρυν τὸν πέπειρον, ἡ γεωργήσασα, οἶνον στάζοντα, τὸν τὰς ψυχὰς εὐφραίνοντα, τῶν πιστῶς σε δοξαζόντων.

ΙΑτῆρα τῶν ἀνθρώπων ἡ κυήσασα, χαῖρε θεόνυμφε, ἡ ῥάβδος ἡ μυστικὴ, ἄνθος τὸ ἀμάραντον, ἡ ἐξανθήσασα, χαῖρε δέσποινα, δι᾽ ἧς χαρᾶς πληρούμεθα, καὶ ζωὴν κληρονομοῦμεν.

ῬΗτορεύουσα οὐ σθένει γλῶσσα δέσποινα, ὑμνολογῆσαί σε, ὑπὲρ γὰρ τὰ σεραφὶμ, ὑψώθης κυήσασα, τὸν βασιλέα Χριστὸν, ὃν ἱκέτευε, πάσης νῦν βλάβης ῥύσασθαι, τοὺς πιστῶς σε προσκυνοῦντας.

ΕΥ᾽φημεῖ σε μακαρίζοντα τὰ πέρατα, καὶ ἀνακράζει σοι, χαῖρε ὁ τόμος ἐν ᾧ, δακτύλῳ ἐγγέγραπται, Πατρὸς ὁ Λόγος ἁγνὴ, ὃν ἱκέτευε, βίβλῳ ζωῆς τοὺς δούλους σου, καταγράψαι θεοτόκε.

ΙΚετεύομεν οἱ δοῦλοι σου καὶ κλίνομεν, γόνυ καρδίας ἡμῶν, κλῖνον τὸ οὖς σου ἁγνὴ, καὶ σῶσον τοὺς θλίψεσι, βυθιζομένους ἡμᾶς, καὶ συντήρησον, πάσης ἐχθρῶν ἁλώσεως, τὴν σὴν πόλιν θεοτόκε.

ᾠδ. η᾽.

ΠΑῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ τόκος τῆς θεοτόκου διεσώζετο, τότε μὲν τυπούμενος, νῦν δὲ ἐνεργούμενος, τὴν οἰκουμένην ἅπασαν ἐγείρει ψάλλειν σοι, τὸν κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Νη-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Νηδύϊ τὸν Λόγον ὑπεδέξω, τὸν πάντα βαστάζοντα ἐβάστασας, γάλακτι ἐξέθρεψας, νεύματι τὸν τρέφοντα, τὴν οἰκουμένην ἅπασαν ἁγνή. ᾯ ψάλλομεν, τὸν κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Μωσῆς κατενόησεν ἐν βάτῳ, τὸ μέγα μυστήριον τοῦ τόκου σου, παῖδες προεικόνισαν, τοῦτο ἐμφανέστατα, μέσον πυρὸς ἱστάμενοι καὶ μὴ φλεγόμενοι, ἀκήρατε ἁγία παρθένε, ὅθεν σὲ ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Οἱ πρὶν ἀπάτῃ γυμνωθέντες, στολὴν ἀφθαρσίας ἐνεδύθημεν, τῇ κυοφορίᾳ σου, καὶ οἱ καθεζόμενοι, ἐν σκότει παραπτώσεων φῶς κατωπτεύσαμεν, φωτὸς κατοικητήριον κόρη, ὅθεν σὲ ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Νεκροὶ διὰ σοῦ ζωοποιοῦνται, ζωὴν γὰρ τὴν ἐνυπόστατον ἐκύησας, εὔλαλοι οἱ ἄλαλοι πρώην, χρηματίζοντες, λεπροὶ ἀποκαθαίρονται, νόσοι διώκονται, πνευμάτων ἀερίων τὰ πλήθη, ἥττηνται παρθένε, βροτῶν ἡ σωτηρία.

Ἡ κόσμῳ τεκοῦσα σωτηρίαν, δι' ἧς ἀπὸ γῆς εἰς ὕψος ἤρθημεν, χαίροις παντευλόγητε, σκέπη καὶ κραταίωμα, τεῖχος καὶ ὀχύρωμα τῶν μελῳδούντων ἁγνή, τὸν κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

ὁ Ἱερ. Σὲ τὴν θεοτόκον. καὶ ὁ χορ. Μεγαλύνει ἡ ψυχή μου.

ᾠδὴ θ΄.

Ἅπας γηγενὴς, σκιρτάτω τῷ πνεύματι λαμπαδουχούμενος, πανηγυριζέτω δὲ, ἀΰλων νόων φύσις γεραίρουσα, τὴν ἱερὰν πανήγυριν τῆς θεομήτορος, καὶ βοάτω, χαίροις παμμακάριστε, θεοτόκε ἁγνὴ ἀειπάρθενε.

Ἵνα σοὶ πιστοὶ, τὸ χαῖρε κραυγάζωμεν οἱ διὰ σοῦ τῆς χαρᾶς, μέτοχοι γενόμενοι, τῆς ἀϊδίου ῥῦσαι ἡμᾶς πειρασμοῦ, βαρβαρικῆς ἁλώσεως καὶ πάσης ἄλλης πληγῆς, διὰ πλῆθος, κόρη παραπτώσεων, ἐπιούσης βροτοῖς ἁμαρτάνουσιν.

Ὤφθης φωτισμὸς, ἡμῶν καὶ βεβαίωσις, ὅθεν βοῶμέν σοι, χαῖρε ἄστρον ἄδυτον, εἰσάγον κόσμῳ τὸν μέγαν ἥλιον, χαῖρε Ἐδὲμ ἀνοίξασα τὴν κεκλεισμένην ἁγνὴ, χαῖρε στύλε, πύρινε εἰσάγουσα, εἰς τὴν ἄνω ζωὴν τὸ ἀνθρώπινον.

Στῶμεν εὐλαβῶς, ἐν οἴκῳ Θεοῦ ἡμῶν, καὶ ἐκβοήσωμεν, χαῖρε κόσμου δέσποινα, χαῖρε Μαρία κυρία πάντων ἡμῶν, χαῖρε ἡ μόνη ἄμωμος ἐν γυναιξὶ, καὶ καλὴ, χαῖρε σκεῦος, μύρον τὸ ἀκένωτον, ἐπὶ σὲ κενωθὲν εἰσδεξάμενον.

Ἡ περιστερὰ, ἡ τὸν ἐλεήμονα ἀποκυήσασα, χαῖρε ἀειπάρθενε, ὁσίων πάντων χαῖρε τὸ καύχημα, τῶν ἀθλητῶν στεφάνωμα, χαῖρε ἁπάντων τε τῶν δικαίων θεῖον ἐγκαλλώπισμα, καὶ ἡμῶν τῶν πιστῶν τὸ διάσωσμα.

Φεῖ-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Φεῖσαι ὁ Θεὸς, τῆς κληρονομίας σου τὰς ἁμαρτίας ἡμῶν, πάσας παραβλέπων νῦν, εἰς τοῦτο ἔχων ἐκδυσωποῦσάν σε, τὴν ἐπὶ γῆς ἀσπόρως σε κυοφορήσασαν, διὰ μέγα ἔλεος θελήσαντα, μορφωθῆναι Χριστὲ τὸ ἀλλότριον.

Μετὰ ταῦτα λέγεται τὸ τρισάγιον, Παναγία τριὰς, Πάτερ ἡμῶν, Ὅτι σοῦ, καὶ τὸ τροπάριον εἰς ἦχ. πλα. δʹ.

Τὸ προσταχθὲν μυστικῶς. ζήτ. ἐν τῇ ἀρχῇ, καὶ ἔπειτα.

Δόξα σοι Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἡ ἐλπὶς πάντων ἡμῶν, δόξα σοι. ὁ χορ. Δόξα καὶ νῦν.

Κύριε ἐλέησον, Κύριε εὐλόγησον. Ἡ ἀπόλυσις.

Εὐπρόσδεκτον, καὶ ἀκαταίσχυντον ποιήσῃ κύριος ὁ Θεὸς ἡμῶν τὴν προσευχὴν τοῦ ἀποδείπνου, καὶ ἀκαθίστου ὕμνου ἡμῶν τῶν ἁμαρτωλῶν, καὶ εὐχαῖς τῶν ἁγίων πατέρων ἡμῶν ἐν ἀφέσει ἁμαρτιῶν σώσῃ, ἐλεήσῃ, καὶ διαφυλάξῃ πάντας ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Καὶ τελειοῦται ὡς ἔθος.

Διὰ δὲ τὸν κόπον τοῦ ἀκαθίστου, εἰς τὸν ὄρθρον συγχωρούμεθα κάθ. ἕν, καὶ τὰ τριῴδ. ὡς ἔθος.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

# ΔΙΑΤΥΠΩΣΙΣ,

## Καὶ ἔκθεσις παντοίας τοῦ ἐνιαυτοῦ ἀκολουθίας, εἰς σύντομον τὴν τοῦ Τυπικοῦ ἑρμηνείαν.

### Κεφαλ. α'.

### Περὶ τῆς τῶν ἀκολουθιῶν διακείσεως, καὶ περὶ τῶν ὄντων ἐν αὐταῖς κοινῶν.

Ἐν ταῖς ἐνιαυσίαις ἡμῶν ἀκολουθίαις, ποτὲ μὲν τὸν Θεόν, καὶ τοὺς ἁγίους πρὸς αὐτόν, μετὰ τῆς Θεοτόκου συνεχῶς λιτανεύομεν εἰς τὴν ἡμῶν βοήθειαν, ποτὲ δὲ ἐγκωμιαστικῶς, τοῦ Θεοῦ τὰ μυστήρια, ἢ τῆς Θεοτόκου τὰ μεγαλεῖα, ἢ τῶν ἁγίων πανηγυρίζομεν, καὶ ἑορτάζομεν τὰ κατορθώματα. Ἐν πάσαις ταῖς τοῦ ἐνιαυτοῦ Κυριακαῖς, συνήθως τοῦ Σωτῆρος ἡμῶν δοξάζομεν τὴν ἀνάστασιν. Πλὴν δὲ τῶν ψαλμῶν, καὶ δεήσεων, ἐν καθημεριναῖς ταῖς ἑπτὰ ὥραις διατεταγμένων, ἄλλη ἐστὶν ἡ ἀκολουθία τῆς Λιτῆς, τουτέστιν τῆς ἑβδομάδος ὅταν μὲν λιτανεύωμεν, καὶ ἄλλη τῆς Ἑορτῆς, ὅταν ἐγκωμιαστικῶς πανηγυρίζωμεν, καὶ ἄλλη τῆς ἐνιαυσίου Κυριακῆς ἐστὶν ἡ πρέπουσα σύνταξις. Τούτου ἕνεκα, τὴν ἑκάστων κοινὴν τὴν ὑποτύπωσιν διαγράφομεν, εἰς τὰ κάτω κεφάλαια.

Καθόλου, προτυποῦνται κοινῶς τὰ τοιαῦτα.

α'. Εἰς τὴν ἑσπέραν πᾶσαν, καὶ εἰς τὸν ὄρθρον, μικρὰν λέγομεν τὴν συναπτὴν τῶν Εἰρηνικῶν, καὶ τῶν Αἰτήσεων. Κοινῶς δὲ τῆς Κυριακῆς, εἰς τὸ ὀψὲ ἑσπέρας τοῦ σαββά-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

σαββάτου, καὶ εἰς τὸν ὄρθρον, καὶ δίχα τῶν μεγάλων ἑορτῶν, ἐν αἷς εἰς τὸ ἑσπέρας τὰ ἀναγνώσματα, καὶ εἰς τὸν ὄρθρον διατάττεται τὸ Εὐαγγέλιον. Τότε μὲν καὶ τῶν εἰρηνικῶν, καὶ τῶν αἰτήσεων λέγομεν μεγάλην τὴν συναπτήν.

β΄. Αὐτὴν τὴν ἀκολουθίαν κρατοῦμεν, ἀπὸ τῆς β΄. τῆς ἑβδομάδος ἕως τοῦ σαββάτου, ὅταν ἐν ταῖς τῶν ἁγίων μνήμαις, τετυπωμένον ἀντίφωνον, ἢ τὰ ἀντίφωνα τῶν ᾀδομένων ψαλμῶν, ἢ ᾀδομένου ψαλμοῦ, οὐκ ἔχομεν εἰς τὸν ὄρθρον, κατὰ τὸ Τυπικόν.

γ΄. Ἔξω τῆς μεγ. μ΄. (κατὰ τὴν ἐσχάτην ἀποτομὴν ὑπὸ τοῦ παναγιωτάτου πατρὸς ἡμῶν Βενεδίκτου Τεσσαρεσκαιδεκάτου Πάπα Ρώμης προσταχθεῖσαν), καθ' ἑκάστην ἡμέραν ἱστῶμεν εἰς τὸ ἑσπέρας στιχηρὰ τέσσαρα, καὶ τὸ Δόξα, καὶ Θεοτ. μόνον, καὶ τὰ ἀναγνώσματα, εἰ τυποῦνται. ἄνευ τοῦ, Εἰς τοὺς στιχ. Καὶ εἰς τὸ ἀπόδειπνον, κανόνα εἰς Τριῴδιον, λέγοντες τὴν πρώτην, τὴν ὀγδόην, καὶ τὴν ἐννάτην ᾠδὴν, σὺν τῷ, Πάτερ ἡμῶν, καὶ Ὅτι, καὶ τὸ κάθισμα, μετὰ τὴν πρώτην ᾠδὴν. Εἰς τὸν ὄρθρον, ἐκ τῶν δύο τετυπωμένων Κανόνων, ἕνα (οὐκ ἀρχικὸν τῆς ἀκολουθίας) ἀνάγομεν εἰς Τριῴδιον, καὶ καθ' ἑκάστην ᾠδὴν τοῦ κανόνος, τρία ποιοῦμεν τροπάρια, σὺν τῷ θεοτοκίῳ, καὶ εἰ εὑρίσκεται τὸ τριαδικὸν, τέσσαρα. Ἐν ταῖς δὲ λιταῖς, τὸ α΄. ἔσω τῆς λιτῆς, τὸ β΄. εἰς τοὺς μάρτυρας, καὶ θεοτοκίον τὸ τρίτον. Ἐὰν δὲ ἐκ τῶν δύο κανόνων τῶν ἁγίων, συμπληροῦσθαι χρὴ ἕνα μόνον, διανέμομεν,



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

καὶ λέγομεν ὡς εἴρηται, καθ' ἑκάστην ᾠδὴν, τρία τρο-
πάρια, εἰ ἂν λεκτέον ἅμα τὸ Τριῴδιον.

δ'. Ὅταν μόνος ὁ κανὼν διατάττεται εἰς τὸν ὄρ-
θρον, λέγομεν ἅπαντα τὰ τροπάρια ἕως πέντε, σὺν
τῷ τριαδικῷ, καὶ θεοτοκίῳ, ἐὰν ὡς ἄνω εὕρωνται.
Καὶ ποιοῦμεν ὁμοίως ἐν τοῖς Τριῳδίοις.

ε'. Περὶ τοῦ Συναξαρίου, ποτὲ μὲν εἰς τὸ ἀπόδειπνον,
ποτὲ δὲ κατὰ καιρὸν αὐτὸ ἀναγινώσκομεν εἰς τὸν ὄρθρον.
Οὕτως. Ἀπὸ τῆς β' μετὰ τὴν νέαν Κυριακὴν, ἤτοι τοῦ Θωμᾶ,
ἕως τοῦ Σεπτεμβρίου μηνὸς, λέγομεν αὐτὸ εἰς τὸν ὄρθρον,
μετὰ τὸ κοντ. εἰς τὴν ς' ᾠδήν. Χωρὶς τῶν ἐπισήμων καὶ
μεγάλων ἑορτῶν, καὶ τοῦ σαββάτου, ὀψὲ ἑσπ. ὅτι τότε
λέγεται εἰς τὸ ἀπόδ. Ἀπὸ δὲ τοῦ Σεπτεμβρίου μηνὸς,
ἕως τοῦ σαββάτου ὀψὲ ἑσπέρας τῆς παρασκευῆς τοῦ δι-
καίου Λαζάρου, ἱστῶμεν τὸ Συναξάριον εἰς τὸ ἀπόδ. Δίχα
δὲ τῆς λιτῆς τῆς παρασκευῆς, ἐν ᾗ λέγεται ἡ Παράκλη-
σις, ὅτι μεταφέρομεν τότε τὸ αὐτὸ, ὡς ἄνω, εἰς τὸν
ὄρθρον.

ς'. Ἐγράφη φύλλ. 106. ἐκπληροῦσθαι Ὕμνον τὸν
ἀγγελικὸν, ἤγουν τὸ, Δόξα ἐν ὑψίστοις, μόνον τῷ τρισα-
γίῳ καὶ τῷ Δόξα καὶ νῦν, ὅταν τὸ Εὐαγγέλιον ἐλέχθη.
Ὅπου τοίνυν τὸ αὐτὸ Εὐαγγέλιον οὐ λέγεται, ὡς ἔθος
συνάπτωμεν τὸ, Παναγία τριάς, καὶ τὸ, Πάτερ ἡμῶν.

ζ'. Ἐν ταῖς ἀκολουθίαις, εἰς πᾶν τὸ Δόξα, καὶ τὸ Κά-
θισμα, τὸ Πεντηκοστάριον, Ἐξαποστειλάριον καὶ τροπά-
ρια τῶν ἁγίων, λέγομεν συνήθως (εἰ ἄλλο οὐ τυποῦται)

τὸ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου -
Μουσείο Τυπάλδων Ιακωβάτων

τὸ θεοτοκίον. Τὰ αὐτὰ δὲ, ἐν ταῖς Δεσποτικαῖς, καὶ παντοίαις τῆς Θεοτόκου ἑορταῖς γίνονται μόνα, ἄνευ τοῦ θεοτοκίου. Ἀλλ᾽ ἔσω τῶν ὀγδοάδων τῆς Θεοτόκου, μετὰ τὸ τροπάριον τοῦ ἁγίου λέγεται τὸ τῆς ἑορτῆς, εἰς θεοτοκίον. Καὶ ἔσω τῶν ὀγδοάδων τοῦ κυρίου, λέγεται πρῶτον τὸ τροπάριον τῆς ἑορτῆς, εἶτα τὸ τοῦ ἁγίου, καὶ εἰς τὸ τέλος, Θεοτοκίον, ὡς τυποῦται, εἰς τὴν α΄. τοῦ Σεπτ. καὶ εἰς τὴν α΄. τοῦ Ἰανουαρ. μηνὸς.

## Κεφαλ. β΄.

### Περὶ τῆς Λιτῆς ἀκολουθίας, ἤτοι τῆς ἑβδομάδος, ἔξω τῆς μεγ. μ΄. καὶ χωρὶς τοῦ σαββάτου.

α΄. Ἐπειδὴ τὰ τῆς μεγάλης μ΄. ἐν τῷ Τριῳδίῳ ἀρκούντως εἰσὶ τετυπωμένα, καὶ περὶ σαββάτου τῆς ἑβδομάδος διαγράφεται ἴδιον τὸ κεφάλαιον, ἐνταῦθα μόνον τὴν τῆς ἐνιαυσίου Λιτῆς διατυποῦμεν ἀκολουθίαν, ἔσω τῆς ἑβδομάδος.

β΄. Ὡς ἄνω λέλεκται, λιτὴν ἀκολουθίαν ποιοῦμεν, ὅτε ἐν ταῖς τῶν ἁγίων μνήμαις οὐ διατάττεται ἀντίφωνον ἤγουν ὁ ψαλμὸς εἰς τὸν ὄρθ. Καὶ τῇ β΄. εἰς τοὺς Ἀσωμάτους, τῇ γ΄. εἰς τὸν Βαπτιστὴν, τῇ δ΄. καὶ τῇ ϛ΄. εἰς τὸν Σταυρὸν, τῇ ε΄. εἰς τοὺς Ἀποστόλους, καὶ τῇ παρασκευῇ, εἰς πάντας τοὺς ἁγίους, καὶ ἐξαιρέτως εἰς τοὺς μάρτυρας, σὺν τῇ μνήμῃ τῶν κεκοιμημένων, ἀνάγομεν τὰς ἱκεσίας. Ἐν ταῖς λιταῖς, πάντα ἴδια εἰσὶν καθ᾽ ἡμέρας. ἐκτὸς τῆς β΄. καὶ ν΄. τῆς ἑβδομάδος, ἐν αἷς τὰ καθίσματα, ὁ κανὼν, καὶ τὰ προσόμοια, εἰσὶν τὰ κατανυκτικὰ,



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

σὺν τοῖς τετυπωμένοις, ὡς ἔθος, εἰς τὴν ἁγίου μνήμην.

γ'. Εἰς τὸν ἑσπέραν τῆς λιτῆς, καὶ εἰς τὸν ὄρθρον, πάντα γίνονται, ὡς τὸ τυπικὸν δηλοῖ. Ἐὰν δὲ διατάττῃ οὐδὲν, εἰς τὸ ἑσπ. ἱστῶμεν προσόμοια β'. τῆς Παρακλητικῆς τῆς Θεοτόκου, καὶ β'. τοῦ κατὰ τὴν ἡμέραν ἁγ. Τὸ Δόξα τῆς ἑβδομάδος. Τροπάρια ἔσονται τῆς λιτῆς, καὶ τοῦ ἁγ. Μεταξὺ δὲ τῶν τεσσαράκοντα ἡμερῶν περὶ τῆς Γεννήσεως, ὡς ἐν τῇ μεγάλῃ μ'. τὰ τροπάρια λέγονται, Θεοτόκε παρθένε. Βαπτιστά. Ὑπὸ τὴν σήν. Εἰς τὸ ἀπόδ. ὅταν οὐδὲν τυπῶται, ἐκ τοῦ κανόνος τῆς παρακλ. τῆς θεοτ. γίνεται τριῴδιον. καὶ τροπ. Τεῖχος ἀκαταμ.

δ'. Εἰς τὸν ὄρθρ. λέγομεν τὸν ἕνα μόνον τοῦ ἑξαψάλμου, καὶ τὴν Εὐχὴν σὺν τῷ, Θεὸς κύριος, καὶ τροπάρια, τῆς ἑσπέρ. Ἐν ταῖς ῥηθείσαις μ'. ἡμέραις, ἀντὶ τοῦ Θεὸς κύρ. Ἀδομεν, τὸ Ἀλλ. Ἐκ νυκτὸς, καὶ Ὕμνους τοὺς Τριαδ. κατὰ τὸν ἦχον. Κάθισμα τοῦ ψαλτηρίου καθ' ἡμέραν, καὶ ἦχον, ὡς ἐκεῖ ἐτυπώθη. Μετὰ τὴν στιχολογίαν, τὰ καθίσματα τῆς ὀκτωήχου. Ἤγουν, τῇ β'. δύο κατανυκτικὰ, ἓν μαρτυρ. ἓν νεκρώσιμον, καὶ θεοτ. καὶ ὡσαύτως ἐν τῇ γ'. τῆς ἑβδομ. Τῇ δὲ δ'. καὶ τῇ παρασκ. δύο σταυρώσιμα, τὸ μαρτυριακ. τὸ νεκρώσ. καὶ θεοτ. Τῇ ε'. καὶ δύο ἀποστολικὰ σὺν τῷ μαρτ. καὶ νεκρωσ. καὶ θεοτ. καὶ μεταξὺ αὐτῶν οἱ καθ' ἡμέραν στίχ. φυλ. 61. ἐν τῷ Ὡρολογίῳ.

ε'. Εἶτα ὁ Ν'. Ἐλεησόν με ὁ Θεὸς, καὶ πεντηκοστάρ.

μόνον

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

μόνον τῆς ἑβδομάδ. Τριώδιον ἐκ τοῦ κανόνος τοῦ ἁγ. καὶ κανὼν ὡς ἄνω τῆς Λιτῆς. Εἰς τὴν ἕκτ. ᾠδὴν κοντ. τῆς ἑβδομ. καὶ τοῦ ἁγίου, ὥσπερ καὶ τὰ ἐξαποστειλάρια. Ἐν τῇ δὲ μ΄. περὶ τῆς Χριστοῦ Γεννήσεως, τὰ φωταγωγάρια. Εἰς τοὺς αἶν. β΄. κατανυκτικὰ, ἢ σαυρώσιμα, ἢ ἀποστολικὰ ὡς ἄνω, τὸ μαρτυριακὸν, καὶ νεκρώσ. ἐκ τοῦ σαβ. καὶ Δόξα τῆς ἑβδομ. καθ' ἡμέραν. Τραπ. (ἔξω τῆς ῥηθείσης μ΄.) τὰ τῆς ἑσπέρ, Ἔσω δὲ τῆς μ΄. τὰ συνήθη τῆς ἑβδομ. ἄνευ τοῦ ἀπολυτ. τοῦ ἁγίου.

ς΄. Εἰς τὴν πρώτην ὥραν, Ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ τὰ λοιπὰ ἐκεῖ τετυπωμένα. Εἰς τὴν ὥραν γ΄. στιχολογία μικρὰ τοῦ ψαλτηρίου, καθ' ἡμέραν, καὶ ἦχον.

ζ΄. Ἐν ταῖς Προεορταῖς τῆς Γεννήσεως τοῦ Κυρίου, καὶ τῶν φώτων, ἐκ τῶν Λιτῶν κρατοῦμεν μόνον εἰς τὸν ὄρθρον τὰ καθίσματα τοῦ ψαλτηρίου, καὶ μικρὰς στιχολογίας εἰς τὴν ὥραν τρίτην. τὰ ἑξῆς λέγονται ἅπαντα ὡς ἐν τῇ ἑορτῇ τοῦ ἑνὸς ψαλμοῦ, ἄνευ δὲ τοῦ πεντηκοσαρίου.

## Κεφ. γ΄.

### Περὶ ἀκολουθίας τῆς Λιτῆς, ἐν τῷ τοῦ ἐνιαυτοῦ Σαββάτῳ.

α΄. Χωρὶς τῶν περιγραφέντων ἐν ταῖς τῆς ἑβδομάδος συνήθεσι λιταῖς, τὰ ἴδια τοῦ σαββάτου εἰσὶ τοιαῦτα. Εἰς τὸ ἑσπέρας, μόνον τὸ Ἀπολυτίκιον τοῦ σαββ. Απόστολοι Μάρτυρες. Μνήσθητ. Θεοτ. Μήτηρ ἁγία. Εἰς τὸ ἀπόδ. ἡ Παράκλησις, εἰς Τριώδιον,

ἔξω

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ἔξω δὲ τῆς μεγ. μ΄. Ὅταν δὲ μὴ συντυχῇ τῶν ἁγίων ἀκολουθία, ὧν εἷς ἔχοι τὸ Τριώδιον, εἰς τὸ ἀπόδειπνον.

β΄. Εἰς τὸν ὄρθρον μετὰ τὸ, Κύριε εἰσάκουσον, λεγόμεν μικρὰν τὴν συναπτήν, καὶ ἑωθινὴν ἀρχήν, καὶ τὸ Θεὸς κύριος, καὶ τροπάρια τοῦ ἑσπ. Τὸ τοῦ ψαλτ. κάθισμα, Μακάριοι ἄμωμοι. Ἐν μέσῳ τοῦ καθίσματος, πρὸ τῆς β΄. Στάσεως, κοντ. τῶν κεκοιμημένων, Τὴν πολυτάραχον θάλασσ. φύλλ. 131. καὶ δεήσεις τῶν αὐτῶν κεκοιμ. Ἐν εἰρήνῃ, ἕως τῆς ἀρχῆς κατακλείστως. Ἔπειτα ἐκτελεῖται ὁ Ἄμωμος, καὶ λέγομεν τροπάρια τῶν ἀναπαυσίμων, Εὐλογητὸς εἶ κύριε. Τῶν ἁγίων ὁ χορὸς· ἕως τοῦ κοντακ. Μετὰ τῶν ἁγίων, ἀκατακλείστως. Ὁ Ν΄. Ἐλέησόν με ὁ Θεός, καὶ πεντηκ. τοῦ σαββάτου, Πταισμάτων ἄφ. φύλλ. 64.

γ΄. Μετὰ τὸ ἔσχατον Ἐλέησόν με ὁ Θεός, ἐκτὸς τῆς μεγ. μ΄. λέγομεν τὸ τριώδιον ἐκ τοῦ κανόνος τοῦ ἁγίου καὶ τὸν κανόνα τῆς λιτῆς, εἰς τρία τροπάρια ὡς ἄνω καθ᾽ ᾠδήν. Τὸ δεύτερον τροπ. νεκρώσιμον. Τὸ πρῶτον τροπάριον, ἐνίοτε μὲν ἔστω τὸ πρῶτον τῆς ᾠδῆς, ἐνίοτε τὸ β΄. ἢ τρίτον, ἵνα πάντων τῶν ἁγίων κατὰ τὴν τάξιν ἐκτελέσωμεν τὴν μνήμην. Εἰς τὴν τρίτην ᾠδήν, μετὰ τό, Ὅτι ηὐλόγηται, κάθ. τοῦ ἁγίου, καὶ καθίσματα δύο μαρτυρικά, καὶ νεκρώσ. καὶ θεοτοκ. καὶ μεταξὺ οἱ στίχοι, ὡς φύλλ. 61.

δ΄. Εἰς τὴν ἕκτην ᾠδήν, Κοντ. τοῦ ἁγίου, καὶ τῶν ἀναπαυσίμων, Μετὰ τῶν ἁγίων, ὁ οἶκος, Αὐτὸς μόνος,

καὶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

καὶ τὸ ἔσχατον θεοτοκίον, Παναγία παρθένε, καὶ τὸ Συναξάρ. καὶ τὴν τάξιν τῆς ἀκολουθίας, ὡς ἄνω. Εἰς τὴν θ΄. ᾠδ. Ἐξαποσ. μόνον τῆς λιτῆς. Εἰς τοὺς αἶν. γ΄. μάρτυρ. τὸ νεκρώσ. καὶ Δόξα τῆς λιτῆς. Τετράρια εἰς τοὺς αἶν, καὶ εἰς τὴν α΄. ὥραν, τὰ τῆς ἑσπέρας. Ἐν τοῖς δὲ σάββασι ἀπὸ τῆς Ἀποκρέου ἕως τῆς ὅλης μεγ. μ΄. ἰδία ἡ τάξις ἐκτυποῦται ἐν ταῖς οἰκείαις ἀκολουθίαις.

## Κεφ. δ΄.

## Περὶ τῆς ἐνιαυσίου ἀκολουθίας τῆς Κυριακῆς ἔξω τῆς Ὀγδοάδος.

α΄. Περὶ τινων τῶν τοῦ χρόνου ἐπισήμων Κυριακῶν, ἤγουν ἀπὸ τῆς Κυριακῆς τῶν Προπατόρων ἕως τῆς Κυριακῆς τῶν ἁγίων πάντων, ἐν ἰδίοις τοῖς τόποις ἐκτυποῦται ἡ πρέπουσα τάξις. Ἡ δὲ τῆς ἐνιαυσίου Κυριακῆς ἀκολουθία, οὕτως γίνεται.

β΄. Ὀψὲ τοῦ σαββάτου ἑσπέρας, στιχολογία ὡς ἔθος τοῦ ψαλτηρίου, μετὰ τὴν πρώτην τῆς ἑσπ. Εὐχὴν. Καὶ ὅλη, ἢ εἰς ἓν τὸ Δόξα, κατὰ τὸν χρόνον, καὶ Τυπικὸν. Χωρὶς δὲ τοῦ διαστήματος, ἀπὸ τοῦ Πάσχα ἕως τῶν ἁγίων πάντων ἀκατακλείσως, ἐν ᾧ παντελῶς οὐ στιχολογοῦμεν. Μετὰ τὸ, Αἰνεῖτε τὸν κύριον, στιχηρὰ β΄. τοῦ ἀνάστασ., καὶ ἓν ἀνατολικ. καὶ ἓν τοῦ κατὰ τὴν ἡμέραν ἁγ. Δόξα καὶ νῦν τοῦ ἀνασ. Ὅτι δὲ, τὸ αὐτὸ Δόξα, ἐστὶν ἀεὶ τῆς θεοτόκου, ἐὰν ἐν τῇ μνήμῃ τοῦ ἁγίου τυποῦται ὁμοίως τὸ δόξα, ἢ ἰδιόμελον, τότε τὸ Δόξα λέγεται τοῦ ἁγίου, καὶ τὸ τοῦ ἀναστασίμου εἰς θεοτοκίον. Τοῦτο τηρητέον συνε-

χῶς

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου -
Μουσείο Τυπάλδων Ιακωβάτων

χῶς, ἔσω τῶν ὀγδοάδων. Τὰ τροπ. ἀεὶ λέγονται τὰ τοῦ ἀνας. Ἐὰν δὲ διὰ τὴν τῆς Κυριακῆς ἀκολουθίαν, καταλιμπάνειν δεῖ Τριώδιον ἐκ τῶν πολλῶν συνεορταζομένων ἁγίων, λέγεται ἀντ' αὐτοῦ τὸ τροπάρ. εἰς τὸ ἑσπ. εἰς τὸν ὄρθρ. καὶ εἰς τοὺς αἴν.

γ΄. Εἰς τὸ ἀπόδ. μετὰ τὸ Τυπικὸν. Εἰ οὐδὲν τάττεται, τριώδ. ἐκ τῆς παρακλητ. τῆς Θεοτόκου, καὶ Συναξάρ.

Εἰς τὸν ὄρθρ. μετὰ τὸ ἑξάψαλμον, καὶ ὅλα τὰ Εἰρηνικὰ, καὶ Θεὸς κύριος, καὶ τὰ τροπ. λέγεται τὸ, Ἐπίσευσα φύλ. 49. καὶ ἔπειτα τοὺς ἀναβαθμοὺς τοῦ ἤχου, ποτὲ μὲν ὅλα τὰ ἀντίφωνα, ποτὲ τέταρτον μόνον. Λέγεται ἓν ἀντίφωνον, ἀπὸ τῆς νέας Κυριακῆς ἤγουν τοῦ Θωμᾶ, ἕως τῆς Κυριακῆς τετάρτης πρὸ μ΄. ἡμερῶν πρὸ τῆς Χριστοῦ Γεννήσεως, ἀκατακλείστως, καὶ ἀπὸ τῆς Κυριακῆς μετὰ τὴν Γέννησιν, ἕως τῆς Κυριακῆς περὶ τοῦ Τελώνου. Δίχα τοῦ ῥηθέντος καιροῦ, ᾄδομεν ὅλα. Μετὰ τοὺς ἀναβαθμοὺς τὸ Ἀνάστηθι, πᾶσα πνοὴ, καὶ ἑωθινὸν εὐαγγέλιον, κατὰ τὴν τάξιν ἐν ἀρχῇ τοῦ Ὡρολογ.

δ΄. Ἔπειτα τὸ, Ἀνάστασιν Χριστοῦ, καὶ ὁ Ν΄. καὶ πεντηκοστάριον, καὶ Θεοτόκιον τοῦ Ἀναστασίμου. Εἶτα τὸ τριώδ. ἐκ τοῦ καν. τοῦ ἁγ. καὶ ὁ Κανὼν τοῦ ἀναστασίμου. Εἰς τὴν γ΄. ᾠδὴν, μετὰ τὸ κάθ. τοῦ ἁγίου, δύο καθίσματα, καὶ θεοτ. τοῦ ἀναστασίμου, καὶ μεταξὺ, στίχ. Αὕτη ἡ ἡμέρα. Ὦ κύριε σῶσον. φύλλ. 61. Ἀφ' ἕκτης τῆς ᾠδῆς, Κοντ. τοῦ ἁγίου, ὁ οἶκ. τοῦ ἀναστασίμου. Εἰς τὴν θ΄. ᾠδὴν τὸ, Ἅγιος κύριος, κατ' ἦχον, καὶ ἐξα-

ποστει-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ποστιλάρια μόνως τ̃ κυριακ. Εἰς τὰς αἶν στίχ. ἐξ τοῦ ἀναστασίμου. Εἰ δὲ ἐν τῇ μνήμῃ καθ' ἡμέρ. ἁγίου τυποῦται Σύντομα, ἢ ἰδιόμ. τότε ἐκ τοῦ ἁγίου κρατοῦμεν β'. Τὸ Δόξα συνεχῶς τὸ ἑωθινόν. Εἰς τ̃ α'. ὥραν ζοπ. μόνως τοῦ ἀνας.

ε'. Συνερχομένων δὲ τῶν προεορτίων, ἢ μεθεορτίων, ἢ ὀγδοάδων, ἢ ἀποδόσεων τῶν ἑορτῶν ἐκ κυριακῇ, ζήτει τὰ γραφόμενα ἐν τῷ κεφ. ή. ἀριθμ. ς'. καὶ ζ'.

Κεφ. ε'.

Περὶ τῆς ἑορτῆς ἑνὸς ἀντιφώνου, ἤγουν τοῦ ἑνὸς ἀδομένου ψαλμοῦ εἰς τὸν ὄρθ. καὶ περὶ τ̃ αὐτῆς μεταθέσεως.

α'. Συνήθως ἐν ταύταις ταῖς ἑορταῖς, πάντα δηλοῦνται ὑπὸ τοῦ Τυπικοῦ. Εἰ δὲ μόνον τυποῦται τὸ ἀντίφωνον εἰς τὸν ὄρθρον, τότε εἰς τὸ ἑσπέρας ἱστῶμεν δύο προσ. τοῦ ἁγ. καὶ β'. τ̃ παρακλητ. τῆς Θεοτόκου. Δόξα τοῦ ἁγ. Τροπ. καὶ Θεοτοκίον. Εἰς τὸ ἀπόδ. Τριῴδ. τῆς παρακλ.

β'. Εἰς τὸν ὄρθ. μετὰ τὸ ἑξάψαλ. Θεὸς κύριος, καὶ ζοπάρ. ἀρχόμεθα τὸν τετυπωμένον ψαλμὸν, ὡς ἔθος, ἀπὸ τοῦ, Ἀλληλούϊα. Καὶ τῷ αὐτῷ, Ἀλληλούϊα ἐκτελοῦμεν τ̃ ἕκαστον στίχον. Εἰς ἐκφώνησιν τοῦ στίχου (τοῦ σεσημειωμένου ἐν τῷ τέλει σὺν ἀστερίσκοις) ἢ τῶν στίχων, (ὅταν ζρεῖς ἐκφωνοῦνται) προσκυνοῦμεν, ἢ δοξολογοῦμεν (ἐν ταῖς δεσποτικαῖς ἑορταῖς) τ̃ ἅγιον, ἢ τ̃ ἁγίαν κατὰ τὴν ἑορτὴν τυχοῦσαν, ὡς ἔθος ἐν τῷ Ὡρολογίῳ, φύλλ. 55. Δὶς ἐκφωνοῦμεν ἐν τῷ στίχῳ κατὰ τὴν ἑόρτιον ἡμέ-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ἡμέραν. Εἰς τὴν τρίτην ἐκφώνησιν, μακαρίζομεν ἀεὶ τὴν Θεοτόκον. Καὶ ἐν τῷ τοῦ ψαλμοῦ τέλει, ᾄδομεν ἀναλλοιώτως ὡς αὐτόθι φύλ. 55. ἐν τῷ Ἐπίσημα.

γʹ. Εἶτα κάθ. τοῦ ἁγίου. Μετὰ τὸν Νʹ. Πεντηκοστάριον, Ταῖς τοῦ ἁγίου ἀθλοφόρου, ἢ ἄλλως, κατὰ τὴν τοῦ ἑορταζομένου, ἢ τῆς ἑορταζομένης ἁγίας τάξιν, καὶ θεοτοκ. Ταῖς τῆς θεοτ. Τριῴδ. τῆς παρακλητ. τῆς θεοτόκου. Κανὼν ὡς ἄνω, καὶ τὴν ἑορτήν. Εἰς τὴν γʹ. ᾠδ. κάθ. καὶ θεοτ. Εἰς τὴν ϛʹ. Κοντ. καὶ Συναξ. κατὰ καιρόν. Εἰς τὴν θʹ. Ἐξαποστειλ. Εἰς τοὺς αἰν. δʹ. προσ. ἢ ἰδιόμ. ἢ σύντ. καὶ Δόξα τοῦ ἁγίου. Εἰς τὴν αʹ. ὥραν τροπ. τοῦ αὐτοῦ.

δʹ. Συντυχούσης τοιαύτης ἑορτῆς ἐν τῇ Κυριακῇ, μεταφέρομεν αὐτὴν εἰς τὴν βʹ. εἰ μὴ ἄλλη ὁμοία προτέθειται ἑορτή. Καὶ τότε, ἐν ταῖς μὲν ὀγδοάσι, μετατίθεται ἔξω τῶν αὐτῶν.

εʹ. Οὔσης τῆς τοιαύτης ἑορτῆς ἔξω τῶν ὀγδοάδων, ἐὰν συμβαίνῃ μεταφέρεσθαι, οὐ τιθεῖν αὐτὴν δυνάμεθα ἐν μέσῳ τῶν ὀγδοάδων. Ψάλλομεν δὲ ἐν μέσῳ αὐτῶν, τὴν μετατεθειμένην ἀκολουθίαν τῶν μεγάλων ἑορτῶν. Ἐκτὸς τῆς ὀγδοάδος τῆς τοῦ Κυρίου Ἐγέρσεως, τῆς ἁγ. Πεντηκοστῆς, καὶ τοῦ παναχράντου Σώματος, ἐν αἷς οὐ συνάπτονται μετηρμέναι μνῆμαι, κἂν τῆς μεγάλης ἄλλης ἀκολουθίας.

ϛʹ. Πάντα τὰ ἐνταῦθα τετυπωμένα περὶ τῆς ἑορτῆς ἑνὸς ἀντιφώνου, τηροῦμεν, ὡς ἔθος ἐν ταῖς ἀκολουθίαις,

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

θίας, ἃς ἑορτάζειν εἰώθαμεν ἐν μέσῳ τῆς ἑβδομάδος, τουτέστι, τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου, καὶ τοῦ παναχράντου Σώματος τοῦ Χριστοῦ. Διὸ, εἰς τὸ ἑσπ. ἱστῶμεν δύο προσ. τῆς ἀκολουθ. καὶ β΄. τοῦ κυρίου τὴν ἡμέρ. ἁγίου. Δόξα τῆς ἀκολουθ. ἐὰν δὲ δὶς τὸ Δόξα τυπωθήσηται ἐν τῇ τοῦ ἁγίου μνήμῃ, διανέμωμεν, καὶ ποιοῦμεν ὡς ἐν ὀγδοάσι. καὶ ὁμοίως περὶ προσομοίων, καὶ ἰδιομέλων εἰς τοὺς αἶν. Εἰς τὸν ὄρθρ. Τετρῴδ. ἐκ τοῦ καν. τοῦ ἁγίου, καὶ τὰ λοιπὰ, ὡς ἔθος.

Παντελῶς οὐκ ἑορτάζομεν τοιαύτας ἀκολουθίας ἐν ταῖς τῆς νηστείας ἡμέραις, ἢ παραμοναῖς τῶν ἁγ. ἢ ἐν ταῖς ἑβδομ. δ΄. πρὸ τῆς Γεννήσεως τοῦ Χριστοῦ.

Κεφ. ϛ΄.

## Περὶ ἀκολουθίας τῆς ἐπισήμου, ἢ μεγάλης, ἢ δεσποτικῆς τῆς ἑορτῆς, καὶ περὶ τῆς αὐτῶν μεταθέσεως.

Ἐπίσημον λέγομεν τὴν ἀκολουθίαν, ὅταν τρία εἰς τὸν ὄρθρον διατυποῦνται τὰ ᾀδόμενα τῶν ψαλμῶν ἀντίφωνα. Ἐὰν δὲ καὶ ἐν τῷ ἑσπερινῷ λέγωνται τὰ ἀναγνώσματα, καὶ εἰς τὸν ὄρθρον συνάπτεται τὸ Εὐαγγέλιον, διακείνομεν τὴν ἀκολουθίαν μεγάλην, καὶ εἰ ἐστὶν τοῦ Κυρίου, λέγομεν Δεσποτικήν. Κατὰ τὸ Τυπικὸν, ιδ΄. διαριθμοῦνται αἱ ἑορταὶ Δεσποτικαὶ, ἤγουν.

Ὁ Εὐαγγελισμὸς, ἡ Γέννησις, ἡ Περιτομὴ
Ἡ Ὑπαπαντὴ, ἡ Βάπτισις, ἡ Ἔγερσις τοῦ Λαζάρου,
Ἡ Βαϊοφόρος, ἡ Μεταμόρφωσις, τὸ Δεῖπνον,

Ἡ Σταυ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἡ Σταύρωσις, ἡ Ἀνάστασις, ἡ Νέα Κυριακή.

Ἡ Ἀνάληψις, ἡ Πεντηκοστή.

Τὴν Σταύρωσιν συνιστῶμεν τὴν μεγάλην Παρασκευήν. Τὸ Δεῖπνον, τὴν μεγάλην Πέμπτην, καὶ τὴν τοῦ παναχράντου Σώματος τοῦ Χριστοῦ ἀκολουθίαν. Τὴν νέαν δὲ Κυριακήν, τὴν Κυριακὴν τοῦ Θωμᾶ.

Ἅπασα τῆς ἐπισήμου, ἢ μεγάλης, ἢ δεσποτικῆς ἑορτῆς ἀκολουθία, τὰ ἴδια συνήθως τυποῖ ἐν οἰκείᾳ τῇ ἡμέρᾳ. Ἤγουν εἰς τὸ ἑσπ. δ΄. προσόμοια, ἢ ἰδιόμελα. καὶ τὸ Δόξα. Καὶ ἐν ταῖς τοῦ Κυρίου, καὶ τῆς Θεοτόκου ἑορταῖς, γίνεται ἀεὶ εἰς Δόξα καὶ νῦν. Τὰ προκείμ., ἢ οἰκεῖα διατυποῦνται, ἢ ἐκ τῶν κοινῶν. Λέγονται ἐν ταῖς μεγάλαις καὶ Δεσποτικαῖς ἑορταῖς τὰ ἀναγνώσματα γ΄. Τὰ ἐξαπ. καὶ Ἀπολυτίκια ἴδια, ἢ κοινή.

Εἰς τὸ ἀπόδ. μετὰ τὸ Τυπικόν. Καὶ εἰ οὐδὲν τυποῦται, τριῴδ. ἐκ τοῦ Παρακλ. καὶ Συναξ.

Εἰς τὸν ὄρθρ. Ἀντίφωνα γ΄.

Ἀρχόμεθα ἀπὸ τοῦ, Ἀλληλ. σὺν ψαλμοῖς. Εἰς τέλος τῶν στίχων, καὶ Δόξα καὶ νῦν προσάπτομεν τὸ αὐτό, Ἀλλ. ἐν πρώτῳ μὲν ψαλμῷ. Ἐν ψαλμῷ τῷ β΄. προστίθεμεν τό, Ἄναξ ἄνες, ἀλληλούϊα. Εἰς τὴν δὲ ἐκφώνησιν τῶν σεσημειωμένων στίχων, ἐν ἀμφοτέροις δύο ψαλμοῖς, ᾄδομεν τρίς, Ὦ ἄνω ἄναξ ἄνες ἀλληλούϊα, καὶ ὁμοίως εἰς τὸ Δόξα, καὶ εἰς τὸ Καὶ νῦν. Ἐν τῷ τέλει, τούτων τῶν δύο Ψαλμ., Ἀλληλούϊα, ἀλληλούϊα ἀλληλούϊα δόξα σοι ὁ Θεός, τρὶς καθ' ἕκαστον. Τὸν τρίτον δὲ ψαλμὸν ᾄδο-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ᾄδομεν ὡς ἐν τῇ ἑορτῇ τοῦ ἑνὸς ψαλμοῦ. Χωρὶς ὅπου διαπάττεται ὅλην λέγεσθαι τὴν Δοξολογίαν, ἤγουν τοὺς ἐσχάτους τρεῖς ψαλμοὺς συνημμένως, καὶ ἀρχόμεθα ἀπὸ τοῦ, Αἰνεῖτε τὸν κύριον. Καὶ συνάπτειν δεῖ ἐν τῷ τέλει τῶν στίχων, ὡς ἐκεῖ ἐτυπώθη.

Μετὰ τοὺς ψαλμ. ὡς ἔθος, κάθ. Ἐκ νεότητός μου. προκείμ. τῆς ἑορτ. τὸ Πᾶσα πνοὴ, καὶ τὸ Εὐαγγέλιον. Μετὰ τὸν Ν΄. τὸ Πεντηκος. Κανὼν, ὡς τυποῦται, ἢ οἱ κανόνες, ὧν ὁ πρῶτος εἰς τριώδιον. καὶ τὰ λοιπὰ ὡς ἐν τῇ ἑορτῇ ἑνὸς ἀντιφώνου. Ἐὰν μεταφέρεσθαι συμβαίνῃ τοιαύτας τῆς μεγάλης, ἢ τῆς ἐπισήμου ἑορτῆς ἀκολουθίας, λέλεκται ἄνω. κεφ. ε΄. ἀριθμὸς ε΄.

Ἰστέον, ὅτι ἐν ταῖς ῥηθείσαις ταῖς ιδ΄. Δεσποτικαῖς ἑορταῖς, εἰς τὸν ὄρθρον προστίθεσθαι χρὴ τῇ συναπτῇ τῶν αἰτήσεων, ἤγουν τῷ Πληρώσωμεν, τὸ, Εἴπωμεν πάντες, ὡς φύλ. 108.

## Κεφ. ζ΄.

### Περὶ τῆς ἀκολουθίας, τῶν Κτιτόρων τῆς Μονῆς, καὶ ἄλλων, τῶν ἁγίων, ἀφ᾽ ὧν ἐστι ὁ Τίτλος τῆς Ἐκκλησίας, καὶ περὶ ὀκταημέρων τῶν ἑορτῶν, καὶ τῶν αὐτῶν ἀποδόσεων ἐν τῇ Κυριακῇ.

Κἂν ἐν τῷ Τυπικῷ οὐ τεταγμέναι εὑρίσκονται ἑκάστων τῶν Κτιτόρων, καὶ ἑτέρων τῶν ἁγίων, ἀκολουθίαι, ἀφ᾽ ὧν τοὔνομα τῆς ἐκκλησίας, πανηγυρίσωμεν αὐτῶν τὴν μνήμην, κατὰ τὴν τάξιν τῶν μεγάλων ἑορτῶν, σὺν τῇ συνήθει ὀγδοάδι. Καὶ κρατοῦμεν ἐν αὐτῇ,



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ὅσα ποιεῖν εἰώθαμεν ἐν ὁμοίαις ταῖς ἑορταῖς, καὶ τὸ Τυπικόν. Καὶ ἀπ' αὐτῶν λαμβάνωμεν, τὰ ἀναγνώσματα, τοὺς ψαλμοὺς, καὶ τὸ Εὐαγγέλιον. Τὰ δὲ λοιπὰ, ἐκ τῶν κοινῶν. Ἐν τῇ δὲ αὐτῶν συνελεύσει σὺν ταῖς ἄλλαις ἀκολουθίαις, τότε ἢ προτίθεμεν τὰς ἄλλας, ὡς ἐτάχθη τῇ κε'. Σεπτεμβρ. καὶ τῇ β'. τοῦ Φεβρουαρίου, ἢ μεταφέρομεν, ὡς τῇ κε'. τοῦ Μαρτ. μηνός. Τινὲς τῶν μεγάλων, καὶ ἐνιαυσίων ἑορτῶν, τὴν πενταήμερον, ἢ ὀκταήμερον, ἢ ἐνναήμερον κατέχουσιν ἀκολουθίαν, καὶ ποτὲ μὲν προεόρτιον, καὶ μεθεόρτιον ἡμέραν. Καθ' ἑκάστην αὐτῶν, ὡς ἐν τῇ τῆς ἑορτῆς ἀποδόσει, ἐκτυποῦται ὃ γίνεσθαι χρὴ, ἐν τοῖς οἰκείοις τόποις.

Κεφ. η'.

Περὶ συνελεύσεως τῶν μεγάλων, καὶ Δεσποτικῶν ἑορτῶν σὺν τῇ κυριακῇ, καὶ περὶ τῆς τῶν προεορτίων, ἢ μεθεορτίων διατάξεως ἐν τῇ ἐνιαυσίῳ Κυριακῇ.

α'. Κατὰ παλαιὸν τὸ σύστημα, συνεχῶς, τῆς ἐνιαυσίου Κυριακῆς κρατοῦμεν τὴν ἀκολουθίαν, ὡς ἄνω τετύπωται. Δίχα δὲ συνελεύσεως τῶν Δεσποτικῶν ἑορτῶν, ἢ τῶν Κτιτόρων, ἢ τοῦ Τίτλου τῆς Ἐκκλησίας, ἐν αἷς παντελῶς καταλιμπάνεται ἡ Κυριακή. Καὶ μόνον εἰς τὸ ἑσπ. εἰς τὸν ὄρθρον, καὶ εἰς τὴν λειτουργίαν, τῆς Κυριακῆς μνημονεύωμεν ἐν τῷ αὐτῆς Τροπαρίῳ.

Ὀψὲ τοῦ σαββ. ἑσπ. β΄. τοῦ ἀνας. καὶ ἰδιόμ. β΄. τοῦ ἀσώτ. Δόξα τοῦ ἀσώτου, καὶ νῦν τὸ Ἀναστασ. τὰ λοιπὰ ὡς ἔθ. Εἰς τὸ ἀπόδ. ἐκ τοῦ ἁγ. τῆς ἡμέρας, Τριῴδιον.

Εἰς τὸν ὄρθ. ὡς ἔθ. τῆς κυριακ. Τριῴδ. δὲ τοῦ ἀνας. καν. τῶν ἀσώτου. Εἰς τοὺς αἴν. στιχ. δ΄. τοῦ ἀνας. καὶ ἰδιόμ. δ΄. τοῦ ἀσώτου. Δόξα ἑωθινόν.

Εἰς τὴν λειτ. προκ. τοῦ ἦχ. ἀλλ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος .... στίχ. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ. Κοιν. Αἰνεῖτε τὸν κύριον.

## ΣΑΒΒΑΤΟΝ ΤΗΣ ΑΠΟΚΡΕΟΥ.

Ὀψὲ τῆς παρασκευ. ἑσπ. προσ. δ΄. τοῦ Τριῴδ. Δόξα καὶ νῦν. Ἀρχῆμοι. τροπ. Ὁ βυθῷ σοφ. Ἀπόλυσ. φύλλ. 115. Εἰς τὸ ἀπόδ. (διὰ μεσονύκτ.) τοῦ ἁγ.

Εἰς τὸν ὄρθρ. ὁ Ἄμωμος. ἐν μέσῳ δὲ, καὶ εἰς τέλος τὰ τροπ. τῶν ἀναπαυσίμ. ὁ καν. μόνως, Ἄσμα ἀναπέμψ. ἀπὸ γ΄. Καθ. ἐν τῶν Τριῴδ. ἀφ' ς΄. τὰ Κοντάκια πάντα τῶν ἀναπαυσ. ἤγουν οἱ οἶκοι. Εἰς τοὺς αἴν. προσ. τοῦ ἑσπ. Δόξα, Τοὺς μεταστήσαντας. καὶ νῦν.

Εἰς

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Εἰς τὴν λειτ. προκ. ἦχ. πλ. β'. Εὐφράνθητε ἐπὶ κύριον, καὶ ἀγαλλιᾶσθε δίκαιοι. στίχ. Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι, καὶ ὧν ἀπεκαλύφθησαν αἱ ἁμαρτίαι. Ἀλλ. Μακάριοι οὓς ἐξελ. Ἐπάκουσ. ζήτ. τῷ σαββ. Κοιν. Μνήμη δικαίων μετ᾽ ἐγκωμίων γίνεται, καὶ τὸ μνημόσυνον αὐτῶν εἰς γενεὰν, καὶ γενεάν.

Χρὴ δὲ γινώσκειν, ὅτι ἐν πάσαις ταῖς κυριακαῖς ταῖς ἐρχομέναις ἀπὸ τῆς Κυριακῆς τῆς ἀποκρέω, καὶ ταύτης γε περιεχομένης, μέχρι τῆς Κυριακῆς τῶν ἁγίων πάντων, ὅταν ἄλλο οὐ τάξηται, καταλιμπάνονται τὰ ἑωθινὰ στιχηρὰ, τουτέστι, Ἅγιος κύριος, καὶ τὰ Ἐξαποστειλάρια αὐτῶν.

Ἰστέον ὁμοίως, ὅτι ἐν ταύτῃ τῇ ἑβδομάδι τῆς ἀποκρέω, καὶ τῇ ἐρχομένῃ τῆς Τυρινῆς, οὐκ ἀναγινώσκονται τὰ Εὐαγγέλια κατὰ τὴν τάξιν τῶν λιπῶν ἡμερῶν, ἀλλὰ καθεκάστην ζητεῖται εἰς πρόσωπον τοῦ ἁγίου τῆς ἡμέρας.

## ΤΗ ΚΥΡΙΑΚΗ ΤΗΣ ΑΠΟΚΡΕΩ.

Τῷ σαββ. ὀψὲ ἑσπ. στιχ'. β'. τοῦ ἀνας. καὶ β'. τοῦ Τριῳδ. Δόξα τοῦ Τριῳδ. Καὶ νῦν, τὸ τοῦ ἀνας. Τροπ. τοῦ ἦχ. Εἰς τὸ ἀπόδ. τοῦ ἁγ. τῆς ἡμέρ.

Εἰς τὸν ὄρθ. ὡς ἔθ. Καν. δὲ μόνως τοῦ Τριῳδ. εἰς τὴν γ'. ᾠδ. Κάθ. μόν. ἦχ. πλ. α'. Κριτοῦ καθεζομένου. ζήτ. εἰς τὰ στιχηρ. τῆς ἑβδ. ἐν τέλει τοῦ Τριῳδ. ἦχ. πλ. α'. τῇ β'. εἰς τὸν ὄρθ. Εἰς τοὺς αἶν. στιχ'. ς'. τοῦ ἀνας. Δόξα τὸ ἰδιόμ. τοῦ ἁγίου Πολίτου. καὶ νῦν Ὑπερευλογημένη.

Εἰς

Εἰς τὴν λειτ. προκ. Μέγας κύριος. Αἰνεῖτε. φύλλ. 23. Ἀλλ. Δεῦτε ἀγαλλιασώμεθα τῷ κυρίῳ, ἀλαλάξωμεν τῷ Θεῷ, τῷ σωτῆρι ἡμῶν. στίχ. Ἡτοίμασεν ἐν κρίσει τὸν θρόνον αὐτοῦ, καὶ αὐτὸς κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, κρινεῖ λαοὺς ἐν εὐθύτητι. Κοιν. Αἰνεῖτε τὸν κύριον.

Τῇ αὐτῇ Κυριακῇ ἑσπέρ.

Πρὸς τ. β'. τοῦ ἀγ. καὶ ἰδιόμ. τῆς ἡμέρ. καὶ μαρτυριακὸν, καὶ μεταξὺ στίχ. Πρὸς σὲ ἦρα. Ἐλέησον ἡμᾶς. φύλλ. 169. Δόξα, Τὰς τοῦ κυρίου. Προκ. Ἔδωκας κληρον. Ἀπὸ τῶν περάτων. φύλλ. 167. Καὶ ἐν ταῖς κυριακαῖς τῆς μεγ. μ'. ἐν τῇ μὲν ψάλλεται τὸ, Ἔδωκας, ἐν ἄλλῃ δὲ, Μὴ ἀποστρέψῃς. Ἀπολυτ. μόνο τοῦ ἀγ. ὡς καὶ εἰς τὸ, Θεὸς κύριος.

Εἰς τὸν ὄρθ. ὡς ἔθ. τῆς ἑβδομ. Εἰς τοὺς αἶν. ἰδιόμ. τῆς μ'. δυασευετ. καὶ μαρτυριακ. καὶ ἀναπαύσιμ. Δόξα καὶ νῦν Θεοτοκ. Αὕτη ἡ τάξις τελεῖται ἐν τῇ γ'. καὶ τῇ πέμπτῃ ταύτης τῆς ἑβδομάδος.

Εἰς τὴν λειτ. τὰ τοῦ ἁγίου.

Τῇ δ'. τῆς τυρινῆς εἰς τὸν ὄρθρον.

Λέγεται Ἀλλ. καὶ ὁ Ὕμνος τριαδ. καὶ μετὰ τὴν στιχολογ. τοῦ Ψαλτηρίου, μόνον ἄλλο Κάθ. τοῦ Τριῳδ. Ὁ Ν. πεντηκ. τῆς ἑβδ. Τριῳδ. ἐκ τοῦ ἁγίου, κανὼν δὲ τῆς ἑβδομ. Εἰς τὴν θ'. ᾠδ. ἀντὶ τοῦ ἐξαποσειλ. τὰ φωταγωγάρια. Εἰς τοὺς αἶν. ἐν τῷ τέλει τοῦ, Πᾶσα πνοὴ. Δόξα καὶ. καὶ, Σοὶ δόξα πρέπει. φύλλ. 107. καὶ λέγομεν

τὸ,

τὸ, Δόξα ἐν Ὑψίστοις, ἔπειτα τὸ ἰδιόμ. τῆς μ΄. τοῦ ἁγίου Πολίτου δυσσέυ., καὶ μεταξὺ. στίχ. Ἐνεπλήσθημεν. Καὶ ἔσω. Τὸ μαρτυριακὸν, καὶ Δόξακαί. Θεοτ. Εἶτα τὸ, Ἀγαθὸν, τὸ Τρισάγ. Παναγία, Πάτερ ἡμῶν, καὶ Τροπ. τῆς ἑβδομάδος.

Τὰς ὥρας ψάλλομεν κατ᾽ ἔθος τῆς μεγ. τεσσαρακος. σὺν τῇ μιᾷ μὲν στιχολογίᾳ. Καὶ εἰς τὴν λειτ. ὅτι ταύτῃ δ΄. καὶ τῇ παρασκευῇ οὐκ ἔχομεν ἰδίαν λειτουργίαν, λέγομεν τὴν τοῦ σταυροῦ.

Εἰς τὴν ἑσπέραν, τῆς αὐτῆς δ΄.

Εἰς τὰ στιχηρά, α. τοῦ ἁγ. καὶ ἰδιόμ. τῆς μ΄. δυσσέυ. σὺν τοῖς στίχ. Πρὸς σὲ ἦρα. Ἐλέησον ἡμᾶς. καὶ μαρτυριακὸν, καὶ Δόξακαί. Θεοτόκ. τὰ προκ. τῆς προφ. καὶ ἀναγν. β΄. τοῦ Ἰωὴλ, μία τῆς ς΄. ὥρ. καὶ μία τῆς ἑσπ. Ἀπολυτ. τοῦ ἁγίου. Καὶ αὕτη ἡ τάξις τελεῖται ὁμοίως ἐν τῇ παρασκευῇ τῆς ἑβδομ.

Χρὴ δὲ γινώσκειν ὅτι ἐὰν λάχῃ ἐν ταύταις ταῖς δυσὶν ἡμέραις ἡ ἑορτὴ, ἢ ὀκταήμερος τῆς Ὑπαπαντῆς, ψάλλονται πάντα τὰ τῆς ἑορτ. Περὶ ἄλλων ἐπισήμων ἡμερῶν, τετύπωται ἐν αὐτῇ τῇ ἡμέρᾳ τῆς Ὑπαπαντῆς.

## ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ ΤΥΡΙΝΗΣ.

Μνήμη τῶν ἁγίων πατέρων ἡμῶν ἀσκητῶν, καὶ ἀσκητριῶν γυναικῶν, ἱεραρχῶν τε, καὶ ἱερομαρτύρων. Τῇ ἑσπ. γ΄. τῶν ἀσκητ. καὶ ἓν τῆς παρακλ. Δόξα; Ὅσιοι πατέρες μελετήσ. εἰς κοινά, φύλλ. 188. Προκ.

καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

καὶ ἀναγν. β΄. τοῦ Ζαχχ. ὡς τῇ δ΄. Τροπ. Ὁ Θεὸς τῶν πατέρ. Διὰ τὸ μεσονύκτ. εἰς τὸ ἀπόδ. τοῦ ἁγίου.

Εἰς τὸν ὄρθ. ὁ Ἄμωμος, καὶ κάθ. μαρτυριακὸν μόνον, Λάμπει σήμερον. ζήτει τῇ παρασκ. εἰς τὸν ὄρθ. ἦχ. πλ. α΄. Δόξα καὶ νῦν. Μῆτερ Θεοῦ. ζήτ. τῇ β΄. εἰς τὸν ὄρθ. ἦχ. πλ. α΄. Ἀπὸ τοῦ Ν΄. Ταῖς τῶν ἀσκητῶν πάντων, πρεσβείαις. Θεοτ. καὶ καν. μόν. τῶν ἁγ. Κοντ. Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου κύριε τῶν δυνάμεων, διὸ σωτὴρ οἱ οἰκοῦντες αὐτὰ εἰς τοὺς αἰῶνας αἰνεσουσί σε, ᾄδοντες καὶ ψάλλοντες, σὺν τῷ Δαβὶδ, τὸ, ἀλληλούϊα. Εἰς τοὺς αἴν. στιχ΄. β΄. μαρτυρ. καὶ β΄. τῶν ἁγ. Δόξα Ἀπόστολοι προφῆται, φύλλ. 175.

Εἰς τὴν λειτ. προκ. Καυχήσονται. Ἀπόστ. φύλλ. 46. Ἀλλ. Ὁ Θεὸς τοῖς ὠσίν. Ἔσωσας. ἐκεῖ, τὰ προφῆτα. Κοιν. Ἀγαλλιᾶσθε.

## ΤΗ ΚΥΡΙΑΚΗ ΤΗΣ ΤΥΡΟΦΑΓΟΥ.

Τῷ σαββ. ἑσπ. β΄. τοῦ ἀνας. καὶ β΄. τοῦ Τριῳδίου. Δόξα τοῦ Τριῳδ. Καὶ νῦν τὸ τοῦ ἀνας. Τροπ. τοῦ ἦχ. Εἰς τὸ ἀπόδ. τοῦ ἁγ.

Εἰς τὸν ὄρθρ. ὡς ἔθ. Τριῳδ. τοῦ ἀναστασίμου, καν. τῆς Τυροφ. Εἰς τοὺς αἴν. στιχ΄. δ΄. τοῦ ἀνας. καὶ β΄. ἰδιόμ. τοῦ Τριῳδ. Δόξα ἰδιόμ. τοῦ ἁγίου πολίτου. καὶ νῦν Ὑπερευλογ. εἰς πάσας τὰς κυριακ.

Εἰς τὴν λειτ. τροπ. ἦχ. πλ. δ΄. Εὔξασθε. Γνωστός. φύλλ. 29. Ἀλλ. Ἀγαθὸν. Τοῦ ἀναγν. φύλλ. 28. Κοιν. Αἰνεῖτε τὸν κύριον.

Τῇ

Τῇ αὐτῇ ἑσπ. β'. τοῦ Τριῳδ. στίχ. Π ρὸς σὲ ἦρα. καὶ ἰδιόμ. καὶ στίχ. Ἐ λέησ. Μαρτυριακ. καὶ Δόξα τοῦ Ἀλφαβ. τοῦ ἦχ. ἐν τῷ σαββ. Τροπ. Θ εοτόκε παρθένε, Β απτιστὰ, Ὑ πὸ τὴν σὴν. Ἀπόδ. τὸ μικρὸν, ψαλ. Ὁ κατοικ. Ἐ λέησόν με. Ὁ Θεὸς οἰκτειρῆσαι. Τρισάγ. Π αναγ. Π άτερ ἡμῶν. Τροπ. Ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ ἀπόλυσ. Ὁ ἄμωμος, ὡς ἔθ.

Εἰς τὸν ὄρθρ. Τὸ ἑξάψαλμον εἰς ὅλην τὴν μεγ. μ'. Τὸ ἀλλ. Ἐκ νυκτ. καὶ Ὕμνοι τριαδ. καὶ καθίσματα δύο τοῦ Ψαλτηρίου, κατὰ τὴν ἡμέραν. Καὶ καθ' ἕκαστον τὸ κάθισμα τὸ, Ἔτι καὶ ἔτι. εἰς τὸ πρῶτον κάθ. ἐκφώνησ. Ὅτι πρέπει σοι, καὶ κάθισμα τοῦ Τριῳδ. καὶ Θεοτοκίον. Εἰς τὸ δεύτερον κάθ. τοῦ ψαλ. ἐκφών. Ὅτι ἀγαθὸς καὶ φιλάνθρ. καὶ ἄλλο κάθ. τοῦ Τριῳδ. καὶ Θεοτοκ. Εἶτα ὁ Ν'. καὶ πετηκος. Διὸ ὅλης τῆς πρώτης ἑβδομ. λέγομεν, Τῆς μετανοίας. φύλλ. 64. Ἔπειτα τὸ πρῶτον διῴδιον, καὶ εἰς τέλ. μία τῶν ᾠδῶν τοῦ Ψαλτηρ. καθ' ἡμέραν, ἀπὸ Ἀσωμεν, καὶ καθεξῆς φύλλ. 429.

Εἰς τέλ. τῆς ᾠδῆς τοῦ ψαλτ. ἐκπληροῦμεν τὰς τοῦ Τριῳδ. ᾠδάς. Τὰ φωταγωγ. κατ' ἦχ. φύλλ. 74. Οἱ αἶνοι, Πᾶσα πνοὴ. καὶ εἰς τέλ. μετὰ τὸ Δόξακαὶνῦν. Σοὶ δόξα πρέπει. φύλλ. 107. καὶ Δόξα ἐν ὑψίσ. εἶτα τὰ στιχηρ. τῶν μ'. ἤγουν ἰδιόμ. τοῦ ἁγίου Πολ. δυασμ. καὶ μεταξὺ. στίχ Ἐ νεπλήσθημεν. Κ αὶ ἔστω. τὸ μαρτ. καὶ Δόξακαὶνῦν. Θεοτοκίον. Εἶτα, Ἀ γαθὸν τὸ ἐξομολογεῖσθαι,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

γεῖσθαι, καὶ τὰ λοιπά. Τροπ. τῆς ἑβδομ. Ἐν ταύτῃ τῇ β΄. Τ ῶν οὐρανίων στρατ.

Εἰς τὰς ὥρας λέγομεν τὰ μεσώρια, καὶ καθ' ἑκάστην ἡμέραν, δύο στιχολογίας μικρὰς εἰς τὴν ὥραν γ΄. Ἐν τῇ ὥρᾳ θ΄. τοὺς μακαρισμοὺς, καὶ τὸ Π ιστεύω, καὶ Τροπ. τῆς ἑβδομάδος.

Δεῖ γινώσκειν, ὅτι κατὰ τὴν παλαιὰν συνήθειαν, ἡ ἐκκλησία ἐν ταῖς τῆς μ΄. ἡμέραις, καθεκάστην οὐ ψάλλει τὰ προηγιασμένα, εἰμὴ δύο ἡμέρας τῆς ἑβδομάδος. Εὐαγγ. δὲ οὐδαμῶς. Ἡμεῖς δὲ, ὅτι ἡ τῆς Ῥώμης ἐκκλησία καθεκάστην ψάλλει τελείαν λειτουργίαν, ψάλλομεν ὁμοίως καθεκάστην προηγιασμένην, ἐκτὸς τῶν σαββάτων, καὶ Κυριακῶν, καὶ τῆς ἑορτ. τῶν ἁγίων μ΄. μαρτ. καὶ τοῦ Εὐαγγελισμοῦ.

Ἰστέον δὲ, ὅτι ὁ λέγειν βουλόμενος τελείαν λειτουργίαν, τὰς ἀκολουθίας τελεῖν χρὴ κατὰ τὴν τοῦ λειτουργικοῦ τάξιν, φύλλ. 243. ἤγουν τοῦ Σταυροῦ, ἢ ἄλλην ἀπὸ τοῦ ιβ΄. φύλλου, ἕως τοῦ ιθ΄.

Εἰς τὸ λυχνικὸν, στιχ΄. ς΄. ἤγουν προσ. β΄. τοῦ Ἰωσὴφ, καὶ ἓν τοῦ Στουδίτου, ἰδιόμελ. τοῦ ἁγιοπολ. δυσωπούμενον, καὶ μεταξὺ, στίχ. Π ρὸς σὲ ἦρα. Κ αἱ ἔσω τὸ μαρτυριακ. Καὶ Δόξα καὶ νῦν. Θεοτ. Προκ. τοῦ Ψαλτηρ. (τῷ σταυρῷ σεσημειωμένα) καθ' ἑκάστην ἡμέραν, τὰ ἀναγνώσματα δύο, καὶ τῶν προηγιασμ. ἀκολουθία. Ὅταν ἡ τοιαύτη ἀκολουθ. οὐ λέγεται, τροπάρια καθ' ἑκάστην ἑσπέραν τῆς ἑβδομάδος ἀναγινώσκομεν. Εἰς

Θ εοτόκε παρθένε. Β άπτιστα. Υ πὸ τὴν σήν.

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Εἰς τὸ ἀπόδ. τὸ μέγα, δὶς μὲν καθ' ἑβδομάδα, ἤγουν τῇ β΄ καὶ τῇ δ΄. Δι' ὅλην τὴν α΄. ἑβδομάδα τὸν κανόνα ψαλλόμενον τῆς παρακλητικῆς τῆς Θεοτόκου. Ἐν ἄλλαις δὲ, τὸν τοῦ ἁγίου. Ἐν ταύτῃ τῇ α΄. ἑβδομ. μόνον τοῦ ἁγίου μνημονευομένου ἐν τῷ Συναξαρ. καὶ ἐν ταῖς τῆς ἑσπέρας, καὶ τοῦ ὄρθρου ἀπολύσεσι. καὶ πλὴν, οὐδὲν. Ὁ ἄμωμος ὡς ἔθος.

Ταύτην τὴν ἀναγεγραφῆσαν τάξιν περὶ τοῦ ἑσπερινοῦ, καὶ ἀποδείπνου, καὶ τοῦ ὄρθρου τῆς μεγάλης μ΄. τηρουμένην ἐν πάσαις ταῖς ἑβδομάσιν, (ἐκτὸς τοῦ σαββ) ἕως τῆς μεγάλης ἑβδομ. Δίχα δὲ τῶν συνερχομένων ἑορτῶν, ἐν αἷς τι γίνεσθαι ὀφείλει, ἤδη μὲν ἐτυπώθη.

Τῷ σαββ. α΄. τῶν νηστειῶν, μνήμην ποιοῦμεν τοῦ ἁγίου μάρτ. Θεοδώρου τοῦ τύρωνος, διὰ τῶν Κολύβων ἐπηγγελμένων ἀπ' αὐτοῦ ἐξ οὐρανῶν τοῖς νηστευταῖς, ἐντικρὺ Ἰουλιανοῦ τοῦ παραβάτου.

Τῇ παρασκευῇ ἑσπέρᾳ.

Προσ. γ΄. μαρτυρικὰ καὶ γ΄. τοῦ ἁγ. Θεοδώρου. στίχ. Πρὸς σὲ ἦρα, ἰδιόμ. τοῦ ἁγ. πολ. δυσσεβείᾳ. Δόξα τοῦ μεγαλομ. ἐν τῷ Τριῳδ. Ὀργάνῳ χρησάμενος. Ἡ ἀκολ. τῶν προηγιασμ. Εἰς τὸ ἀπόδ. τὸ τετρᾳδ. διὰ τὸ μεσονύκτ.

Εἰς τὸν ὄρθρ. Εἰς τὸ Θεὸς κύρ. ἀπολυτ. ἦχ. β΄. Μεγάλα τὰ τῆς πίστεως κατορθώματα, ἐν τῇ πηγῇ τῆς φλογὸς ὡς ἐπὶ ὕδατος ἀναπαύσεως ὁ ἅγιος μάρτυς Θεόδωρος ἠγάλλετο, πυρὶ γὰρ ὁλοκαυτωθεὶς,



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ὡς ἄρτος ἡδὺς τῇ Τριάδι προσενήνεκται. Ταῖς αὐτοῦ ἱκεσίαις Χριστὲ ὁ Θεὸς, σῶσον τὰς ψυχὰς ἡμῶν. Θεοτ. Τὸ κάθισμα, Πρὸς κύριον. ἤγουν ὅλας λέγομεν γ'. στιχολ. ὡς τῇ κδ'. Φευρ. , καὶ καθίσμ. μαρτυρ. Μετὰ τὸν Ν'. Ταῖς τοῦ ἁγίου ἀθλοφόρου. Καὶ νῦν. Ταῖς τῆς Θεοτ. Καν. β'. τοῦ ἀθλοφ. ὧν ὁ εἷς ἐκ τῆς ιζ'. τοῦ Φευρουαρ. καὶ ἄλλος ἐκ τοῦ Τριῳδ. Κοντ. καὶ ἐξαποσ. τοῦ μάρτ. Εἰς τοὺς αἴν., ἤγουν εἰς τὲλ. τοῦ, Πᾶσα πνοὴ, (ὃ τηρεῖται ἀεὶ ἐν τῷ σαββάτῳ), ἰδιόμ. ϛ'. τοῦ ἁγ. Δόξα τοῦ αὐτοῦ. Ἐν τούτῳ τῷ σαββάτῳ. Καὶ τοῦ δικαίου Λαζάρου, οὗ ψάλλεται ἀκολουθ. τῶν κεκοιμημ.

Εἰς τὴν λειτ. προκείμ. Εὐφρανθήσεται. Εἰσάκουσ. φύλλ. 45. Ἀλλ. μόν. Ὁ ἐνδοξαζόμενος. φύλλ. 34. Κιν. Εἰς μνημόσυνον.

## ΚΥΡΙΑΚΗ Α'. ΤΩΝ ΝΗΣΤΕΙΩΝ

Τῆς ὀρθοδοξίας.

Καὶ μνήμη τοῦ προφήτ. Μωϋσέως, Καὶ Ἀαρῶν. Τῷ σαββ. ἑσπ. στιχηρὰ τοῦ ἀνας. γ'. καὶ β'. ἀνατολ. Καὶ γ'. τῶν ἁγίων εἰκόνων. Δόξα καὶ νῦν. τῶν εἰκόνων. Εἰς τοὺς στίχ. στιχηρ. ἓν τοῦ ἀνας. καὶ β'. τοῦ κατὰ τὴν ἡμέρ. ἁγίου. μεταξὺ, στίχ. Ὁ κύριος ἐβασίλ. Δόξα καὶ νῦν τῶν ἁγ. εἰκόνων. Τροπ. μόν. ἦχ. β'.

Τὴν ἄχραντον εἰκόνα σου προσκυνοῦμεν ἀγαθὲ, αἰτούμενοι συγχώρησιν τῶν πταισμάτων ἡμῶν, Χριστὲ ὁ Θεὸς, βουλήσει γὰρ ηὐδόκησας σαρκὶ ἀνελθεῖν ἐν τῷ σταυρῷ, ἵνα ῥύσῃ οὓς ἔπλασας ἐκ τῆς δουλείας

τοῦ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

τοῦ ἐχθροῦ. Ὅθεν εὐχαρίστως βοῶμέν σοι, χαρᾶς ἐπλήρωσας τὰ πάντα ὁ σωτὴρ ἡμῶν, προσαγγυόμενος εἰς τὸ σῶσαι τὸν κόσμον. Ἀπόλυσις ἰδία, φύλλ. 115.

Εἰς τὸ ἀπόδ. τοῦ ἁγ. τῆς ἡμέρ.

Εἰς τὸν ὄρθρ. ὡς ἔθος. καν. β΄. ἤγουν τοῦ ἀναστάσ. καὶ τῶν θείων εἰκόνων. Κοντ. μόν. Ὁ ἀπερίγραπτος. Εἰς τοὺς αἶν. στίχ΄. ϛ΄. τοῦ ἀναστασ. Δόξα τὸ ἰδιόμελ. τοῦ ἁγίου πολίτου. Εἰς τὴν λειτ. προκ. Καυχήσονται. Ἀπόστ. φύλλ. 46. Ἀλλ. Μωϋσῆς καὶ. Ἐπεκαλοῦντο. φύλλ. 36. Κοιν. Αἰνεῖτε τὸν κύριον.

Τῇ αὐτῇ Κυριακῇ, εἰς τὸ ἑσπ. γ΄. κατανυκτ. καὶ γ΄. τοῦ Τριῳδ. Δόξα τοῦ Ἀλφαβήτου τοῦ ἀνας. ἐν τῷ σαββ. Προκ. Ἔδωκας κλῆρον. Εἰς τοὺς στίχ. ἰδιόμ. δυσδ. στίχ. καὶ μαρτυρ. Δόξα καὶ νῦν, Θεοτ. Τροπ. Θεοτόκε παρθένε. Εἰς τὸ ἀπόδ. τοῦ ἁγ.

Εἰς τὸν ὄρθρ. ὡς ἐν τῇ παρελθούσῃ β΄.

Τῇ παρασκευῇ ἑσπ. γ΄. κατανύκτ. καὶ γ΄. τοῦ ἁγ. στίχ. καὶ ἰδιόμ. δυσδ. τῆς ἡμέρ. Δόξα Ἀπόστολοι προφῆται. φύλλ. 175. καὶ ἀκολουθία τῶν προηγ. Ὅταν δὲ οὐ ψάλλεται, λέγομεν τὸ Τροπ. τοῦ συνήθ. σαββ. Εἰς τὸ ἀπόδειπν. ἡ Παράκλησις.

Εἰς τὸν ὄρθρ. μετὰ τὸ Θεὸς κύριος. ἀπολυτ. Ἀπόστολοι, καὶ ὁ Ἄμωμος. ὡς ἔθ. σὺν τοῖς ἀναπαυσίμοις. Μετὰ τὸν Ν΄. Πεντηκ. τοῦ σαββ. εἶτα καν. β΄. τοῦ κατὰ τὴν ἡμέραν ἁγίου, καὶ τὰ τετραῴδια τοῦ Σαββ. ὡς ἔθος. Εἰς τὴν ϛ΄. ᾠδήν. Κοντ. εἰς ὅλ



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

τῆς μ΄. σαββάτ... Ὡ ς ἀγαπητά. ζήτ. τῷ σαββ. τῆς Τυρινῆς. Εἰς τοὺς αἰν. στιχ΄. δ΄. τῆς ὀκτωήχου. Δόξα καὶ νῦν Ἀναπαύσιμ.

Εἰς τὴν λειτ. προκ. καὶ Ἀλλ. ὡς ἐν τῷ σαββ. τῆς Ἀποκρέου. Τὸ κοινων. Ἀγαλλιᾶσθε.

## ΚΥΡΙΑΚΗ Β΄. ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Ὀψὲ τοῦ σαββ. ἑσπ. τοῦ ἀνας. στιχ΄. ς΄. Δόξα καὶ νῦν τοῦ ἀνας. Εἰς τοὺς στιχ. ἓν τοῦ ἀνας. καὶ β΄. τοῦ ἁγ. Δόξα ἦχ. δ΄. Ὡς ἄσωτος ὑός. ζήτ. τῇ κυριακ. τοῦ ἀσώτου. Τὰ Τροπ. τοῦ ἀνας. καὶ εἰς τὸ ἀπόδ. τοῦ ἁγ.

Εἰς τὸν ὄρθρ. ὡς ἔθ. καν. β΄. τοῦ ἀνας. καὶ τοῦ Τριῳδ. Κοντ. Ὁ πατὴρ ὁ οἰκτίρμων, καὶ ἐλεήμων, ὡς τὸν ἄσωτόν παῖδα δέξαι με σωτήρ μου, καὶ μὴ ἀπώσῃ θερμῶς ἐπιστρέφοντα, ἀλλὰ προφθάσας ἀγκάλισαι δέσποτα, διὰ σπλάγχνα ἐλέους σου. Σὺ γὰρ εἶ ὁ ποιμὴν τῇ πίστει προσφεύγοντων σοι. Εἰς τοὺς αἰν. στιχηρ. ς΄. τοῦ ἀνας. Δόξα καὶ νῦν ἰδιόμ. τοῦ ἁγίου πολ. Εἰς τὴν λειτ. πάντα τοῦ ἤχου.

## ΚΥΡΙΑΚΗ Γ΄. ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Ἡ προσκύνησις τοῦ τιμίου σταυροῦ. Τῷ σαββ. ἑσπ. στιχ΄. ς΄. τοῦ ἀνας. Δόξα καὶ νῦν τοῦ αὐτοῦ. Εἰς τοὺς στιχ. ἓν τοῦ ἀνας. καὶ β΄. τοῦ σταυροῦ. Δόξα καὶ. Ὁ συμμαχήσας κύριε. φύλλ. 174. Τροπ. τοῦ ἤχ. Εἰς τὸ ἀπόδ. τοῦ ἁγ.

Εἰς τὸν ὄρθρ. ὡς ἔθος. Καν. μόνος τοῦ σταυροῦ καὶ καθ' ἑκάστην ᾠδὴν Καταβασίαι, ἐκ τοῦ καν. τοῦ

Πάσχα.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Πάσχα. Ἀναστάσεως ἡμέρ. Εἰς τὴν γ΄. ᾠδ. κάθ. τοῦ σταυροῦ. Εἰς τὴν θ΄. ᾠδ. τὸ Ἅγιος κύριος. Εἰς τοὺς αἶν. στιχ΄. ϛ΄. τοῦ Ἀνασ. Δόξα τοῦ σταυροῦ. Καιν. Ὑπερευλογ.

Εἰς τὴν λειτ. καὶ τὸ λειτουργικὸν, προσκυνοῦμεν τὸν Τίμιον Σταυρὸν. προκ. καὶ ἀλλ. καὶ Κοιν. ὡς τῇ δ΄. τοῦ Σταυροῦ.

Τῇ γ΄. τῆς ἑβδομάδος.

Εἰς τὸ ἀπόδ. τὰ δύο Τριῴδ. τῆς μ΄. καὶ Τροπ. τοῦ ἁγ. διὰ τὸ μεσονύκτ. Μακάριοι ἄμ.

Τῇ δ΄. τῆς μέσης ἑβδομάδ.

Εἰς τὸν ὄρθρ. ἀπὸ τοῦ ἀλλ. Τροπ. ἦχ. α΄. Τοῦ σταυροῦ σου τὸ ξύλον προσκυνοῦμεν φιλάνθρωπε, ὅτι ἐν αὐτῷ προσηλώθης ἡ ζωὴ τῶν ἁπάντων, παράδεισον ἠνέῳξας σωτὴρ, τῷ πίστει προσελθόντι σοι λῃστῇ. Καὶ τρυφῆς κατηξιώθη, ὁμολογῶν σοι, μνήσθητί μου κύριε, δέξαι ὥσπερ ἐκεῖνον, καὶ ἡμᾶς κραυγάζοντας, ἡμάρτομεν πάντες, τῇ εὐσπλαγχνίᾳ σου, μὴ ὑπερίδῃς ἡμᾶς. Καὶ Θεοτ. Οἱ τὴν σὴν προστασίαν. στιχολογοῦμεν κάθ. ἕν. καὶ καν. μόνως τοῦ τιμίου Σταυροῦ. Κοντ. Οὐκ ἔτι. Ἐξαπ. Σταυρὸς ὁ φύλαξ. τῆς ἑβδομ. Εἰς τοὺς στίχ. μετὰ τὸ Δόξα ἐν Ὑψίσ. ἰδιόμ. τῆς ἡμ. καὶ στίχ. δυναστεύεται τὸ ἰδιόμ. καὶ προσ. ἐν τοῦ Σταυροῦ, Δόξα τοῦ αὐτοῦ.

Τῇ αὐτῇ ἡμέρᾳ εἰς τὸ λυχνικ. μετὰ τὸν ψαλ. ργ΄. Εὐλόγει ἡ ψυχή μου, προσκυνοῦμεν τὸν τίμιον Σταυρὸν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ὡς ἐν τῇ Κυριακῇ. Μετὰ δὲ τὸ, Κύριε ἐκέκρ. στιχ. η'. β'. μὲν τοῦ τιμίου σταυροῦ, γ'. τοῦ Τριῳδ. καὶ ἰδιόμ. τεία τοῦ ἁγίου πολ. Τῆς νηστείας. Μεσάσαντες τὸ πέλαγος, Ἡ τῶν ἀγαθῶν παρέξεν. Δόξα καὶ. Σήμερον ὁ Δεσπότης. καὶ ἀκολ. τῶν προηγιασμένων. ὅταν δὲ οὐ ψάλλεται, Τριῳδ. Τοῦ σταυροῦ σου τὸ ξύλον.

Τῷ σαββ. δ'. τῶν νηστειῶν, ὡς ἐν τῷ σαββ. β'.

## ΚΥΡΙΑΚΗ Δ'. ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Ὡς ἐν τῇ β'. Κοντ. Τῷ κλίναντι τῇ καταβάσει τοὺς οὐρανοὺς, καὶ σαρκωθέντι ἐκ τῆς παρθένου δίχα φθορᾶς, πάντες ἁμαρτωλοὶ προσδράμωμεν, δάκρυα προσφέροντες μύρου τιμιώτερα. Καὶ πιστῶς βοήσωμεν, κύριε ἄνες τοῖς δούλοις σου, χεῖρα μοι ἔκτεινον ἐξ ὕψους τὴν ἄχραντον. Μόνος γὰρ ὑπάρχεις ὁ γινώσκων τὰ ἐγκάρδια πάντων.

### Τῇ ε'. τῆς ε'. ἑβδομάδ.

Τῇ ἑσπ. τῆς δ'. ὡς ἔθος. εἰς τὸ ἀπόδ. τὰ δύο τριῴδια τῆς ἡμέρ. καὶ διὰ τὸ μεσονύκτ. τριῳδ. τοῦ ἁγίου καὶ ἄλλα, Ἐλέησον ἡμᾶς, καὶ τὰ ἑξῆς, καὶ τὴν εὐχὴν, Ὁ ἐν παντὶ καιρῷ, καὶ τὰ λοιπὰ ὡς ἔθος.

Εἰς τὸν ὄρθρ. ὡς ἔθος τῆς μεγ. μ'. Ἀντὶ τῶν Ὕμνων τριαδικ. λέγετ. τό, εἰς ἦχ. πλ. β'. Ἐννοῶ τὴν ἡμέραν. καὶ Θεοτ. Ἐλπὶς τοῦ κόσμου. ζήτ. ἐν Κυριακ. τῆς ἀποκρ. Καθ. ἐν μόν. τοῦ ψαλτηρ. Πεντηκ. Τῆς μετανοίας ἄνοιξόν μοι. Καὶ ἀρχόμεθα τὸν μεγ. καν. καὶ τὰς ᾠδὰς τοῦ ψαλτ. ὡς ἔθος. ἀπὸ γ'. κάθ.

Τὴν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

τὴν ἡμέραν. ἀπὸ ς΄. Κοντ. Ψυχή μου, ψυχή μου ἀνάστα, τί καθεύδεις; τὸ τέλος ἐγγίζει, καὶ μέλλει θορυβεῖσθαι. Ἀνάνηψον οὖν, ἵνα φείσηταί σου Χριστὸς ὁ Θεὸς, ὁ πανταχοῦ παρὼν, καὶ τὰ πάντα πληρῶν. ὁ οἶκος. Τὸ τοῦ Χριστοῦ ἰατρεῖον βλέπω ἀνεῳγμένον, καὶ τὴν ἐκ τούτου τῷ Ἀδὰμ πηγάζουσαν ὑγείαν. Ἔπαθεν, ἐπλήγη ὁ διάβολος, καὶ ὡς κινδυνεύων ὠδύρετο, καὶ τοῖς αὐτοῦ φίλοις ἀνεβόησε, τί ποιήσω τῷ τῆς Μαρίας; κτείνει με ὁ Βηθλεεμίτης.

Καὶ τοὺς μακαρισμοὺς, καὶ εἶτα ᾠδὴ ζ. καὶ τὰ ἑξῆς. Εἰς τοὺς αἴν. στιχ΄. κατ' Ἀλφάβητον. Μετὰ τὸ Δόξα ἐν Ὑψίστοις, τὸ ἰδιόμ. τοῦ ἁγίου Πολίτου, καὶ μαρτυρικ. Δόξα ἦχ. πλ. α΄. Ὅσιε πάτερ οὐκ ἔδωκας ὕπν. Μετὰ τὸ, ὅτι σοῦ ἐστιν. Τροπ. Κανόνα πίστεως, καὶ Θεοτ. Ἐν ταύτῃ τῇ ἡμέρᾳ οὐ ψάλλεται ἡ ἀκολουθία τῶν κεκοιμημένων.

Σάββατον ε. τῶν νηστειῶν, ὡς τῷ β΄. σαββάτῳ.

## ΚΥΡΙΑΚΗ Ε΄. ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Εἰς τὸ ἑσπ. καὶ εἰς τὸν ὄρθρ. καὶ εἰς τὴν λειτουργ. ὡς τῇ Κυριακῇ β΄. τῶν νηστειῶν. Κοντ. Ὁ κτίστης, καὶ ποιητὴς, ὁ πλάστης καὶ λυτρωτὴς, ἄνες ἄφες μοι Χριστὲ ὁ Θεὸς, τὴν ψυχήν μου ἐλέησον, ὅταν μέλλῃς ἐξετάζειν με. Τότε φεῖσαί μου ὡς εὔσπλαγχνος, δέξαι τὴν δέησιν τοῦ ἱκέτου σου, ὁ ἐν θρόνῳ φρικτῷ ἐποχούμενος.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Τῇ παρασκευῇ τοῦ Λαζάρου.

Τῇ ἑσπ. στιχ΄. ἰδιόμ. η΄. Δόξα καὶ. Τὴν ψυχωφελῆ. τὰ προκ. καὶ ἀναγνώσμ. καὶ ἀκολ. τῆς προηγιασμ. Μετὰ τὸ Εὐλογία Κυρ., Τροπ. ἦχ. α΄. Τὴν κοινὴν ἀνάστασιν πρὸ τοῦ σοῦ πάθους πιστούμενος, ἐκ νεκρῶν ἤγειρας τὸν Λάζαρον, Χριστὲ ὁ Θεός, ὅθεν καὶ ἡμεῖς ὡς οἱ παῖδες τὰ τῆς νίκης σύμβολα φέροντες, σοὶ τῷ νικητῇ τοῦ θανάτου βοῶμεν. ὡσαννὰ ἐν τοῖς Ὑψίστοις, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου. Ἀπόλυσ. ἰδία. Εἰς τὸ ἀπόδειπν. καν. ᾨδὴν ἐπινίκ.

Εἰς τὸν ὄρθρον, μετὰ τὸ Θεὸς κύριος, Τροπ. Τὴν κοινὴν ἀνάστασιν. Καθ. Εἶπεν ὁ κύριος, ὡς ἐν α΄. σαββ. τῆς μεγ. μ΄. Εἰς τὸ τέλος, Ὑπακοή. Ἔπειτα, Ἀνάστασιν κυρίου θεασάμενοι, καὶ ὁ Ν΄. Πεντ. ἦχ. πλ. δ΄. Ἡ ζωὴ τῶν ζώντων. καὶ Θεοτ. καν. β΄. τοῦ δικαίου Λαζάρου. Εἰς τοὺς αἶν. ἰδιόμ. η΄. καὶ Δόξα καὶ νῦν. μεγάλη δοξολογία. καὶ τὸ Εἴπωμεν πάντες.

Εἰς τὴν λειτ. ἀντὶ τοῦ Τρισαγ. Ὅσοι εἰς Χριστόν. προκ. ἦχ. γ΄. Κύριος φωτισμός μου, καὶ σωτήρ μου, τίνα φοβηθήσομαι. στίχ. Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου, ἀπὸ τίνος δειλιάσω. Ἀλλ. Ὁ κύριος ἐβασίλευσ. Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην. Κοιν. Αἰνεῖτε τὸν κύριον.

## ΚΥΡΙΑΚΗ ΤΗΣ ΒΑΙΟΦΟΡΟΥ.

Τῷ σαββ. ὀψὲ ἑσπ. ε΄ στιχολογοῦμεν.

Εἰς τὸ κύριε ἐκέκ. στιχ΄. ἰδιόμ. δ΄. ἀναστ. καὶ Δόξα καὶ νῦν. προκ. Ὁ κύριος ἐβασ. ἀναγνώσμ. γ΄.

Εἰς

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Εἰς τὸν στίχ. ἰδιόμ. γ'. Ἐ μεταξὺ στίχ. Κύριε ὁ κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ. στίχ. Ἐκ στόματος νηπίων καὶ θηλαζόντων, κατηρτίσω αἶνον. Ἐ Δόξα καὶ. Τροπ. Τὴν κοινὴν ἀνάστ. ἀπὸ χθὲς. Ἀπόλυσ. ἰδία. Εἰς τὸ ἀπόδ. καν. Ὠδὴν ἐπινίκ. Νεκρὸν τετραήμ. χθὲς.

Εἰς τὸν ὄρθρ. τροπ. Τὴν κοινὴν. Ἐ ἀς ἦχ. δ'. Συνταφέντες σοι διὰ τοῦ βαπτίσματος, Χριστὲ ὁ Θεὸς ἡμῶν, τῆς ἀθανάτου ζωῆς ἠξιώθημεν τῇ ἀναστάσει σου. καὶ ἀνυμνοῦντες κράζομεν, ὡσαννὰ ἐν τοῖς Ὑψίστοις, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου.

Ἀντίφ. γ'.

Ψαλ. η'. Κύριε ὁ κύριος ἡμῶν. φύλλ. 249. ψαλ. ριζ'. Ἐξομολογεῖσθε. φύλλ. 50. ἐκφωνοῦμ. Ὦ κύριε σῶσον δή. ψαλ. ρμη'. Αἰνεῖτε τὸν κύριον, ἐν τῷ Πᾶσα πνοὴ. Ὑπακοή. ἦχ. πλ. β'. Μετὰ κλάδων ὑμνήσαντες πρότερον, μετὰ ξύλων συνέλαβον ὕστερον, οἱ ἀγνώμονες Χριστὸν Ἰουδαῖοι τὸν Θεόν. Ἡμεῖς δὲ πίστει ἀμεταθέτῳ, ἀεὶ τιμῶντες, ὡς εὐεργέτην διαπαντὸς βοήσωμεν αὐτῷ, Εὐλογημένος εἶ ὁ ἐρχόμενος, Ἀδὰμ ἀνακαλέσασθαι.

Ἐκ νεότ. προκ. ἦχ. δ'. Ἐκ στόματος νηπίων καὶ θηλαζόντων, κατηρτίσω αἶνον. Κύριε ὁ κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ. Εὐαγγ. Ματθ Τῷ καιρ. . . ὅτι ἤγγισεν ὁ Ἰησοῦς. Ἐ οὐ λέγ. τὸ Ἀνάστασιν Χριστοῦ. μετὰ τὸν Ν'. εὐθὺς. Ταῖς τῶν ἀγ.

ἀποσ.

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ἀπος. Ϛ Θεοτ. Ταῖς τῆς Θεοτόκου. Καν. μόν. καὶ διπλασιάζ. τοὺς εἱρμοὺς εἰς καταβασ. Ἀπὸ τῆς θ'. ᾠδῆς Ἅγιος κύριος οὐ λέγεται, Εἰς τοὺς αἶν. ἰδιόμ. δ'. Ϛ Δόξα καὶ νῦν. Δοξολογία μεγαλ. Τροπ. Συνταφέντες. Ϛ Εἶπωμεν πάντ.

Εἰς τὴν λειτουργ. ὁ Ἡγούμενος εὐλογεῖ τοὺς κλάδους, Ϛ τὰ βαΐα, καὶ τὸ Λειτουργικὸν. Προκ. δὲ τῆς λειτ. ἦχ. δ'. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου. στίχ. Ἐξομολογεῖσθε τῷ κυρίῳ ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ἀλλ. Ἄσατε τῷ κυρίῳ ᾆσμα καινὸν, ὅτι θαυμαστὰ ἐποίησεν ὁ κύριος. στίχ. Εἴδοσαν πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν. Κοιν. Ἐκ στόματος. ὡς ἐν τῷ ὄρθρ.

Τῇ αὐτῇ ἑσπ. εἰς τὸ λυχνικ. στίχ. ἰδιόμελ. ϛ'. Δόξα καὶ νῦν, προκ. Ἰδοὺ δὴ εὐλογεῖτε. εἰς τοὺς στίχ. ἰδιόμ. γ'. Ϛ Δόξα καὶ. Ἀπολυτ. Συνταφέντες.

Χρὴ ἰδέναι ὅτι ἐν ταύτῃ τῇ ἁγίᾳ ἑβδομάδι, καὶ τῇ ἐρχομένῃ τῆς Διακαινησίμου τὴν μνήμην τοῦ τῆς ἡμέρας ἁγίου παντελῶς καταλιμπάνομεν. Ὁ ἄμωμος ὡς ἔθ.

Εἰς τὸ ἀπόδ. Τριῴδ. τοῦ ἁγ. Ἀνδρέου.

Τῇ ἁγίᾳ καὶ μεγάλῃ β'. εἰς τὸν ὄρθρ.

Μετὰ τὸ ἀλληλ. Τροπ. ἦχ. πλ. δ'. Ἰδοὺ ὁ νυμφίος ἔρχεται ἐν τῷ μέσῳ τῆς νυκτὸς, καὶ μακάριος ὁ δοῦλος, ὃν εὑρήσει γρηγοροῦντα. ἀνάξιος δὲ πάλιν ὃν εὑρήσει ῥαθυμοῦντα. Βλέπε οὖν ψυχή μου μὴ τῷ ὕπνῳ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ὕπνῳ κατενεχθεὶς, ἵνα μὴ τῷ θανάτῳ παραδοθῇς, καὶ τῆς βασιλείας ἔξω κλεισθῇς. Ἀλλ᾽ ἀνάνηψον κράζουσα, ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεὸς, διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς. Εἶτα καθίσμ. β΄. τοῦ ψαλτ. καὶ μετὰ τὸν Ν΄. δοξάζεται, Γρηγορεῖτε, καὶ προσδέχεσθε. Καὶ τοῦτο τὸ πεντηκ. ψάλλεται, τῇ ἁγίᾳ, καὶ μεγ. γ΄. καὶ τῇ δ΄. Μετὰ τὸ πεντηκος. Τριῴδ. Κοσμᾶ τοῦ Μοναχοῦ. καὶ διπλασ. τοὺς εἱρμ. εἰς καταβασίας. Κοντάκ. καὶ φωταγωγάρ. Ἐμὲ τὸν ἐν πελάγει τοῦ βίου.

Εἰς τοὺς στίχ. μετὰ τὸ Δόξα ἐν ὑψίστοις, ἰδιόμ. γ΄. καὶ διὰ μέσου, στίχ. Ἐνεπλήσθ. Καὶ ἔσω. Δόξακαὶνῦν. Δευτέραν Εὐαν. καὶ Τροπ. Ἰδοὺ ὁ νυμφίος.

Εἰς τὴν α΄. ὥραν τὸ Εὐαγγ. κατὰ Μάρκον. Τῷ καιρ. . . ἤγγισεν ὁ Ἰησοῦς. ζήτ. τῇ β΄. τῆς ἀποκρέου.

Τῇ ἁγίᾳ καὶ μεγ. β΄. ἑσπέρᾳ.

Στιχ΄. ἰδιόμ. δ΄. τοῦ Κοσμᾶ, Δόξακαὶνῦν. ἰδιόμ. Τῆς ξηρανθείσης. προκ. καὶ ἀναγνώσματα, καὶ τὰ προηγιασμ. Εἰς τὸ ἀπόδ. ὡς χθές.

Τῇ ἁγ. μεγάλῃ γ΄. εἰς τὸν ὄρθρ.

Μετὰ τὸ ἀλλ. Τροπ. Ἰδοὺ ὁ νυμφίος. Τὰ καθίσματα β΄. τοῦ Ψαλτηρίου, καὶ τοῦ Τριῴδ. Ὁ Ν΄. καὶ πεντηκος καὶ διῴδιον τοῦ Κοσμᾶ καὶ καταβασ. ἀπὸ δὲ τῆς ᾠδ. η΄. τὸ Κοντάκ. ὡς ἔθος. εἶτα τὸ φωταγωγ. Εἰς τοὺς στίχ. ἰδιόμ. γ΄. καὶ διὰ μέσ. στίχ. Ἐνεπλήσθ. καὶ Δόξακαὶνῦν ἰδιόμ. Τροπ. Ἰδοὺ ὁ νυμφίος. Εἰς τὴν α΄. ὥραν τὸ Εὐαγγ. κατὰ Μάρκ.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Τῷ καιρ. . . . Ἰέδας ὁ Ἰσκαριώτης. τῆ γ'. τῆς ἀποκρέε.

Τῇ ἑσπ, ἰδιόμ. γ'. Ἰωάννε τ̃ μοναχε̃. δυσέν. ἐν. Ⲉ Δοξαςικὸν. προκείμ. Ⲉ ἀναγνώσματα. Ἀκολεθ. τῶ προηγιασμ. Εἰς τὸ ἀπόδ. ὡς χθὲς.

Τῇ ἁγίᾳ Ⲉ μεγ. δ'. εἰς τὸν ὄρθρ.

Μετὰ τὸ ἀλλ. Τροπ. ἦχ. πλ. δ'. Ὡς ἡ πόρνη προσπίπτωσοι, ἵνα λάβω τὴν ἄφεσιν, καὶ ἀντὶ μύρε τὰ δάκρυα ἐκ καρδίας προσφέρωσοι, ἵνα ὡς ἐκείνην οἰκτειρήσῃς με σωτὴρ, καὶ παράσχῃς μοι ἱλασμὸν ἁμαρτιῶν. Ὡς αὐτὴ γὰρ κραυγάζωσοι, λύτρωσαί με τε̃ βορβόρε τῶν ἔργων με. καὶ λεγ. γ'. ὡς ἔθ. Μετὰ β'. καθ τε̃ Ψαλτηρ. Ⲉ πεντηκ. τὸ Τρῴδ. τε̃ Κοσμᾶ, ὡς χθὲς. Ⲉ Κοντ. καὶ τὸ ἴδιον φωταγωγ. Εἰς τὲς ςίχ. ἰδιόμ. γ'. Ⲉ διὰ μέσ. ςίχ. Ⲉ Δόξαςικὸν. Εἰς τ̃ α'. ὥραν τὸ Εὐαγγέλ. κτ̃ Μάρκ. Τῷ καιρῷ . . . Λαλεῶτος τε̃ Ἰησε̃ πρὸς τὲς μαθητ. τῇ δ'. τῆς ἀποκρέου.

Τῇ δ'. ἑσπέρᾳ.

Σ τιχ'. ἰδιόμ. ς'. εὐδυσέν. Ⲉ Δόξαςικὸν. προκ. Ⲉ ἀναγνώσμ. Τὰ λοιπ. ὡς ἔθ.

Τῇ μεγάλ. ε'. εἰς τὸν ὄρθ.

Τ ροπ. μτ̃ τὸ ἀλλ. ἦχ. πλ. δ'. Ὅτε οἱ ἔνδοξοι μαθηταὶ ἐν τῷ νιπτῆρι τε̃ δείπνε ἐφωτίζοντο, τότε Ἰέδας ὁ δυσσεβὴς φιλαργυρίᾳ νοσήσας ἐσκοτίζετο, καὶ ἀνόμοις κριταῖς σὲ τὸν δίκαιον κριτὴν παραδίδωσι.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

δῶσι. Βλέπε χρημάτων ἐραστὰ τὸν διὰ ταῦτα ἀγχόνῃ χρησάμενον. Φεῦγε ἀκόρεστον ψυχὴν, τῷ διδασκάλῳ τοιαῦτα τολμήσασαν. Ὁ περὶ πάντων ἀγαθὸς κύριε δόξα σοι. γ΄. Καὶ εὐθὺς ὁ Καν. Τμηθεὶς τμᾶται πόντος. καὶ δυσσέβ. εἱρμ. εἰς καταβασ. Εἰς τὴν ς΄. ᾠδ. μετὰ τὸ κοντ. Ὁ Ν΄. ἄνευ πεντηκοσ. Εἰς τοὺς αἴνους ἤγουν μετὰ τὸ, Πᾶσα πνοή. ἰδιόμ. δ΄. Ἰωάν. τοῦ μοναχοῦ, καὶ Δόξα καὶ νῦν. Δοξολογ. μεγ. Τὸ, Εἴπωμεν πάντες. Ἀπόλυσις ἰδία.

Τὰς ὥρας ψάλλ. ὡς ἔθ. τῆς μεγ. μ΄. ἄνευ δὲ τῶν στιχολογιῶν καθεξῆς.

Τῇ ἁγ. καὶ μεγ. ε΄. ἑσπ.

Ἰδιόμελα δ΄. Δόξα καὶ νῦν. προκ. καὶ ἀναγνώσματα. Μετ' αὐτὰ, λειτ. τοῦ μεγ. Βασιλείου ἐν ᾗ ὁ ἱερεὺς καθιερεῖ πολλὰς τὰς προσφορὰς, διὰ μὲν τὴν παροῦσαν λειτ. καὶ διὰ τὴν προηγιασμένην τῇ μεγ. παρασκ. καὶ ἔτι διὰ τὰς κομιζομένας ἐκ τοῦ σήμερον, εἰς τὸ ἱεροφυλακεῖον, ἕως τοῦ μεγάλου σαββάτου. Τὰ προκείμενα, καὶ ἀλλ. ὡς ἐν τῇ ἑορτῇ τοῦ παναχράντου Σώματος.

Καὶ ἀλλος στίχ. τοῦ ἀλλ. Οἱ ἐχθροί μου εἶπον κακά μοι, πότε ἀποθανεῖται, καὶ ἀπολεῖται τὸ ὄνομα αὐτοῦ.

Ἀντὶ τοῦ χερουβικοῦ ψάλλεται ἐκ γ΄. Τοῦ δείπνου σου. ὡς ἐν τῇ ἑορτῇ τοῦ παναχ. Σώματ. καὶ τὸ αὐτὸ λέγεται ἀντὶ τοῦ, Πληρωθήτω. Τὸ ἀπόδειπνον εἰς

τὴν

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

τὴν Τράπεζαν, ὡς φύλλ. 543. ἕως τῆς Κυριακῆς τῦ Πάσχα. Τροπ. Ὅτε οἱ ἔνδοξοι (ὡς ἄνω.)

Τῇ μεγάλ. παρασκευῇ εἰς τὸν ὄρθρ.

Μετὰ τὸ ἑξάψαλμον, καὶ τὸ Ἀλλ. τροπ. Ὅτε οἱ ἔνδοξοι. Καὶ εὐθὺς Ὑπὲρ τῦ καταξιωθῆναι, καὶ α᾽. Εὐαγγέλιον Εἶπεν ὁ κυρ.... Νῦν ἐδοξάσθη. Εἰς τέλος, ὁ χορὸς ἀποκρίνεται, Δόξα τῇ μακροθυμίᾳ σου κύριε. Καὶ λεγ. Ἀντίφ. α᾽. ἦχ. πλ. δ᾽.

Ἄρχοντες λαῶν συνήχθησαν κατὰ τῦ κυρίου, καὶ κατὰ τῦ Χριστῦ αὐτῦ.

Λόγον παράνομον κατέθεντο κατ᾽ ἐμῦ. κύριε, κύριε μὴ ἐγκαταλείπῃς με.

Τὰς αἰσθήσεις ἡμῶν καθαρὰς τῷ χριστῷ παραστήσωμεν, καὶ ὡς φίλοι χριστῦ τὰς ψυχὰς ἡμῶν θήσωμεν δι᾽ αὐτόν. Καὶ μὴ ταῖς μερίμναις τῦ βίου συμπνίγωμεν ὡς Ἰούδας, ἀλλ᾽ ἐν τοῖς ταμείοις ἡμῶν κράξωμεν, πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἀπὸ τῦ πονηρῦ ῥῦσαι ἡμᾶς.

Δόξα καὶ νῦν. Θεοτοκίον.

Παρθένος ἔτεκες ἀπειρόγαμε, καὶ παρθένος ἔμεινας μήτηρ ἀνύμφευτε, θεοτόκε παρθένε. Χριστὸν τὸν Θεὸν ἡμῶν ἱκέτευε σωθῆναι ἡμᾶς. Ἀντίφ. β᾽. ἦχ. πλ. β᾽.

Ἔδραμε λέγων ὁ Ἰούδας τοῖς παρανόμοις γραμματεῦσι, τί μοι θέλετε δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν; ἐν μέσῳ δὲ τῶν συμφωνούντων αὐτὸς εἱστήκεις ἀοράτως, ὁ συμφωνούμενος καρδιογνῶστα φεῖσαι τῶν ψυχῶν ἡμῶν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἐν ἐλέει τὸν Θεὸν θεραπεύσωμεν, ὥσπερ Μαρία ἐπὶ τοῦ δείπνου, καὶ μὴ κτησώμεθα φιλαργυρίαν ὡς ὁ Ἰούδας. ἵνα πάντοτε ὦμεν μετὰ Χριστοῦ τοῦ Θεοῦ. Δόξα καὶ νῦν. Θεοτ.

Ὃν ἔτεκες παρθένε ἀνερμηνεύτως, διὰ παντὸς ὡς φιλάνθρωπον μὴ διαλείπῃς ἐκδυσωποῦσα, ἵνα κινδύνων σώσῃ τοὺς εἰς σὲ καταφεύγοντας.

Ἀντίφωνον γ΄. ἦχ. β΄.

Διὰ Λαζάρου τὴν ἔγερσιν, κύριε, τὸ ὡσαννά σοι ἐκραύγαζον παῖδες τῶν ἑβραίων φιλάνθρωπε. Ὁ δὲ παράνομος Ἰούδας οὐκ ἠβουλήθη συνιέναι.

Ἐν τῷ δείπνῳ σου Χριστὲ ὁ Θεὸς τοῖς μαθηταῖς σου προέλεγες, εἷς ἐξ ὑμῶν παραδώσει με, ὁ δὲ παράνομος Ἰούδας οὐκ ἠβουλήθη συνιέναι.

Ἰωάννῃ ἐρωτήσαντι, κύριε, ὁ παραδιδούς σε τίς ἐστι; τοῦτον διὰ τοῦ ἄρτου ὑπέδειξας, ὁ δὲ παράνομος Ἰούδας οὐκ ἠβουλήθη συνιέναι.

Εἰς τριάκοντα ἀργύρια, κύριε, καὶ εἰς φίλημα δόλιον ἐζήτουν οἱ ἰουδαῖοι ἀποκτεῖναί σε, ὁ δὲ παράνομος Ἰούδας οὐκ ἠβουλήθη συνιέναι.

Ἐν τῷ νιπτῆρί σου Χριστὲ ὁ Θεὸς, τοῖς μαθηταῖς σου προέτρεπες, οὕτως ποιεῖτε ὡς οἴδατε, ὁ δὲ παράνομος Ἰούδας οὐκ ἠβουλήθη συνιέναι.

Γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ πειρασθῆτε, τοῖς μαθηταῖς σου ὁ Θεὸς ἡμῶν ἔλεγες, ὁ δὲ παράνομος Ἰούδας οὐκ ἠβουλήθη συνιέναι. Δόξα καὶ νῦν. Θεοτ.

Διάσωσον ἀπὸ κινδύνων τοὺς δούλους σου θεοτόκε.

ὅτι

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ὅτι πάντες μετὰ Θεὸν εἰς σὲ καταφεύγομεν, ὡς ἄρρηκτον τεῖχος, καὶ προστασίαν.

Κάθισμα ἦχ. βαρύς.

Ἐν τῷ δείπνῳ τοὺς μαθητὰς διατρέφων, καὶ τὴν σκῆψιν τῆς προδοσίας γινώσκων, ἐν αὐτῇ τὸν Ἰούδαν διήλεγξας, ἀδιόρθωτον μὲν τοῦτον ἐπιστάμενος, γνωρίσαι δὲ πᾶσι βουλόμενος, ὅτι θέλων παρεδόθης. Ἵνα κόσμον ἁρπάσῃς τοῦ ἀλλοτρίου, μακρόθυμε κύριε δόξα σοι.

Καὶ λέγεται ἐκ γ'. καὶ εὐθὺς τὸ εὐαγγ. β'. καὶ Ἰωάν. Τῷ καιρ. ἐκεί. ἐξῆλθεν ὁ Ἰησοῦς σὺν τοῖς μαθ. αὐτοῦ πέραν. καὶ εἰς τὸ τελ. ὁ χορ. Δόξα τῇ μακροθ. καὶ εἶτα.

Τὸ ἀντίφ. δ'. ἦχ πλ. α'.

Σήμερον ὁ Ἰούδας καταλιμπάνει τὸν διδάσκαλον, καὶ παραλαμβάνει τὸν διάβολον, τυφλοῦται τῷ πάθει τῆς φιλαργυρίας, ἐκπίπτει τοῦ φωτὸς ὁ ἐσκοτισμένος. Πῶς γὰρ ἠδύνατο βλέπειν, ὁ τὸν φωστῆρα πωλήσας τριάκοντα ἀργύρια; ἀλλ' ἡμῖν ἀνέτειλεν ὁ παθὼν ὑπὲρ τοῦ κόσμου, πρὸς ὃν βοήσωμεν, ὁ παθὼν, καὶ συμπαθὼν ἀνθρώποις, δόξα σοι.

Τὴν φιλαδελφίαν κτησώμεθα ὡς ἐν Χριστῷ ἀδελφοὶ, καὶ μὴ τὸ ἀσυμπαθὲς πρὸς τοὺς πλησίον ἡμῶν. ἵνα μὴ ὡς ὁ δοῦλος κατακριθῶμεν ὁ ἀνελεήμων διὰ τὰ δηνάρια, καὶ ὡς ὁ Ἰούδας μεταμεληθέντες, μηδὲν ὠφελήσωμεν. Δόξα καὶ νῦν. Θεοτ.

Δεῦ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου -
Μουσείο Τυπάλδων Ιακωβάτων

Δεδοξασμένα περὶ σοῦ ἐλαλήθη πανταχοῦ. ὅτι ἐκύησας ἡμῖν τὸν τῶν ὅλων ποιητήν, θεοτόκε παρθένε, πανύμνητε καὶ ἀπειρόγαμε.

'Αντίφ. ε'. ἦχ. πλ. β'.

Ο Μαθητὴς τοῦ διδασκάλου συνεφώνει τὴν τιμήν, καὶ τριάκοντα ἀργυρίοις πέπρακε τὸν κύριον. φιλήματι δολίῳ παραδοὺς αὐτὸν τοῖς ἀνόμοις εἰς θάνατον.

Σήμερον, ἔλεγεν ὁ κτίστης οὐρανοῦ, καὶ γῆς τοῖς ἑαυτοῦ μαθηταῖς, ἤγγικεν ἡ ὥρα, καὶ ἔφθασεν Ἰούδας ὁ παραδιδοὺς με. μήτις με ἀρνήσηται, βλέπων με ἐν τῷ σταυρῷ ἐν μέσῳ δύο λῃστῶν. πάσχω γὰρ ὡς ἄνθρωπος, καὶ σώζω ὡς φιλάνθρωπος τοὺς εἰς ἐμὲ πιστεύοντας.

Θεοτοκίον.

Η' ἀρρήτως ἐπ' ἐσχάτων συλλαβοῦσα, καὶ τεκοῦσα τὸν κτίστην τὸν ἴδιον, παρθένε, σῶζε τοὺς σὲ μεγαλύνοντας.

'Αντίφ. ς'. ἦχ. βαρύς.

ΣΗ'μερον γρηγορεῖ ὁ Ἰούδας παραδοῦναι τὸν κύριον, τὸν πρὸ τῶν αἰώνων σωτῆρα τοῦ κόσμου, τὸν ἐκ πέντε ἄρτων χορτάσαντα πλήθη. σήμερον ὁ ἄνομος ἀρνεῖται τὸν διδάσκαλον. μαθητὴς γενόμενος δεσπότην παρέδωκεν, ἀργυρίοις πέπρακε τὸν μάννα χορτάσαντα τὸν ἄνθρωπον.

Σήμερον τῷ σταυρῷ προσήλωσαν Ἰουδαῖοι τὸν κύριον, τὸν διατεμόντα τὴν θάλασσαν ῥάβδῳ, καὶ διαγαγόντα αὐτοὺς ἐν ἐρήμῳ, σήμερον τῇ λόγχῃ τὴν πλευρὰν αὐτοῦ ἐκέντησαν, τὸν πληγαῖς μαστίξαντος ὑπὲρ



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

αὐτῶν τὴν αἴγυπτον, καὶ χολὴν ἐπότισαν τὸν μάννα τροφὴν αὐτοῖς ὀμβρήσαντα.

Κύριε ἐπὶ τὸ πάθος τὸ ἑκούσιον παραγινόμενος ἐβόας τοῖς μαθηταῖς σου, κἂν μίαν ὥραν οὐκ ἰσχύσατε ἀγρυπνῆσαι μετ' ἐμοῦ, πῶς ἐπηγγείλατε ἀποθνήσκειν δι' ἐμέ; κἂν τὸν Ἰούδαν θεάσασθε πῶς οὐ καθεύδει, ἀλλὰ σπουδάζει παραδοῦναί με τοῖς παρανόμοις; ἐγείρεσθε προσεύξασθε, μή τίς με ἀρνήσηται, βλέποντές με ἐν τῷ σταυρῷ, μακρόθυμε δόξα σοι. Θεοτ.

Χαῖρε Θεοτόκε ἡ τὸν ἀχώρητον ἐν οὐρανοῖς, χωρήσασα ἐν μήτρᾳ σου. Χαῖρε παρθένε τῶν προφητῶν τὸ κήρυγμα, δι' ἧς ἡμῖν ἔλαμψεν ὁ Ἐμμανουήλ. Χαῖρε μήτηρ Χριστοῦ τοῦ Θεοῦ. Κάθισμα ἦχ. βαρύς.

Ποῖός σε τρόπος Ἰούδα προδότην τοῦ σωτῆρος εἰργάσατο; μὴ τοῦ χοροῦ σε τῶν ἀποστόλων ἐχώρισε; μὴ τοῦ χαρίσματος τῶν ἰαμάτων ἐστέρησε; μὴ συνδειπνήσας ἐκείνοις σε τῆς τραπέζης ἀπώσατο; μὴ τῶν ἄλλων νίψας τοὺς πόδας, τοὺς σοὺς ὑπερεῖδεν; ὢ πόσων ἀγαθῶν ἀμνήμων ἐγένου. Καὶ σοῦ μὲν ἡ ἀχάριστος στηλιτεύεται γνώμη, αὐτοῦ δὲ ἡ ἀνείκαστος μακροθυμία κηρύττεται, καὶ τὸ μέγα ἔλεος. Τὸ Εὐαγγ. γ'. κατὰ Ματθ. Τῷ καιρ. ἐκεί. οἱ στρατιῶται κρατήσαντες τὸν Ἰησοῦν. Ἀντίφ. ζ'. ἦχ. πλ. δ'.

Τοῖς συλλαβοῦσί σε παρανόμοις ἀνεχόμενος, οὕτως ἐβόας κύριε, εἰ καὶ ἐπατάξατε τὸν ποιμένα, καὶ διεσκορπίσατε τὰ δώδεκα πρόβατα τοὺς μαθητάς μου,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

μου, ἢ δύναμιν τελείους ἢ δώδεκα λεγεῶνας παραστῆσαι ἀγγέλους; ἀλλὰ μακροθυμῶ, ἵνα πληρωθῇ ἃ ἐδήλωσα ὑμῖν, διὰ τοῦ προφήτου μου, ἄδηλα καὶ κρύφια, κύριε δόξα σοι.

Τρίτον ἀρνησάμενος ὁ Πέτρος, εὐθέως τὸ ῥηθὲν αὐτῷ συνῆκεν, ἀλλὰ προσήγαγέ σοι δάκρυα μετανοίας, ὁ Θεὸς ἱλάσθητί μοι καὶ σῶσόν με.

Δόξα καὶ νῦν. Θεοτοκίον.

Ὡς πύλην σωτήριον καὶ παράδεισον τερπνὸν, καὶ φωτὸς ἀϊδίου νεφέλην ὑπάρχουσαν, τὴν ἁγίαν παρθένον ὑμνήσωμεν ἅπαντες, λέγοντες τὸ χαῖρε αὐτῇ.

Ἀντίφ. η΄. ἦχ. β΄.

Εἴπατε παράνομοι, τί ἠκούσατε παρὰ τοῦ σωτῆρος ἡμῶν; οὐ νόμον ἐξέθετο, καὶ τῶν προφητῶν τὰ διδάγματα; πῶς οὖν ἐλογίσασθε Πιλάτῳ παραδοῦναι τὸν ἐκ Θεοῦ Θεὸν λόγον, καὶ λυτρωτὴν τῶν ψυχῶν ἡμῶν;

Σταυρωθήτω ἔκραζον, οἱ τῶν σῶν χαρισμάτων ἀεὶ ἐντρυφῶντες, καὶ κακοῦργον ἀντ' εὐεργέτου ᾐτοῦντο λαβεῖν, οἱ τῶν δικαίων φονευταί. ἐσιώπας δὲ Χριστὲ φέρων αὐτῶν τὴν προπέτειαν. παθεῖν θέλων, καὶ σῶσαι ἡμᾶς ὡς φιλάνθρωπος. Δόξα καὶ νῦν. Θεοτ.

Ὅτι οὐκ ἔχομεν παῤῥησίαν διὰ τὰ πολλὰ ἡμῶν ἁμαρτήματα, σὺ τὸν ἐκ σοῦ γεννηθέντα δυσώπησον θεοτόκε παρθένε, πολλὰ γὰρ ἰσχύει δέησις μητρὸς πρὸς εὐμένειαν δεσπότου, μὴ παρίδῃς ἁμαρτωλῶν ἱκεσίας



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ἢ πάντερμ..., ὅτι ἐλεήμων ἐστὶ καὶ σώζειν δυνάμενος, ὁ καὶ παθεῖν ὑπὲρ ἡμῶν καταδεξάμενος.

Ἀντίφ. θʹ. ἦχ. πλ. βʹ.

Ἔστησαν τὰ τριάκοντα ἀργύρια τὴν τιμὴν τοῦ τετιμημένου, ὃν ἐτιμήσαντο ἀπὸ υἱῶν Ἰσραήλ. Γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν. τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής, διὰ τοῦτο γρηγορεῖτε.

Ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος, σὺ δὲ κύριε ἀνάστησόν με, καὶ ἀνταποδώσω αὐτοῖς. Δόξα καὶ νῦν. Θεοτ.

Οἱ ἐξ ἐθνῶν ὑμνοῦμέν σε θεοτόκε ἁγνή, ὅτι Χριστὸν τὸν θεὸν ἡμῶν ἔτεκες, τὸν ἐκ τῆς κατάρας τοὺς ἀνθρώπους διὰ σοῦ ἐλευθερώσαντα.

Καθ. ἦχ. βαρύς.

Ὢ πῶς Ἰούδας ὁ ποτέ σου μαθητὴς τὴν προδοσίαν ἐμελέτα κατὰ σοῦ; συνεδείπνησε δολίως, ὁ ἐπίβουλος καὶ ἄδικος, καὶ πορευθεὶς εἶπε τοῖς ἱερεῦσι, τί μοι παρέχετε, καὶ παραδώσω ὑμῖν ἐκεῖνον τὸν τὸν νόμον λύσαντα, καὶ βεβηλοῦντα τὸ σάββατον; μακρόθυμε κύριε δόξα σοι. Εὐθὺς τὸ Εὐαγγ. δʹ. κατὰ Ἰωάν. Τῷ καιρῷ ἐκεί. ἄγουσι τὸν Ἰησοῦν ἀπὸ τοῦ Καϊάφα.

Ὁ χορ. εἰς τὸ τελ. ἀποκρίν. Δόξα τῇ μακροθυμίᾳ σου κύριε. Καὶ Ἀντίφ. ιʹ. ἦχ. πλ. βʹ.

Ὁ Ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον, γυμνὸς εἰς κρίσιν ἵστατο, καὶ ἐν σιαγόνι ῥάπισμα ἐδέξατο

ὑπὸ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ὑπὸ χειρῶν, ὧν ἔπλασεν, ὁ δὲ παράνομος λαὸς τῷ σταυρῷ προσήλωσε τὸν κύριον τῆς δόξης, τότε τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη, ὁ ἥλιος ἐσκότασε, μὴ φέρων θεάσασθαι θεὸν ὑβριζόμενον, ὃν τρέμει τὰ σύμπαντα, αὐτὸν προσκυνήσωμεν.

Ὁ μαθητὴς ἠρνήσατο, ὁ λῃστὴς ἐβόησε, μνήσθητί μου κύριε ἐν τῇ βασιλείᾳ σου. Δόξα καὶ νῦν Θεοτ.

Εἰρήνευσον τὸν κόσμον, ὁ ἐκ παρθένου καταδεξάμενος κύριε, σάρκα φορέσαι ὑπὲρ δούλων, ἵνα συμφώνως σὲ δοξολογοῦμεν φιλάνθρωπε.

Ἀντίφ. ια'. ἦχ. πλ. β'.

Ἀντὶ ἀγαθῶν ὧν ἐποίησας Χριστὲ τῷ γένει τῶν ἑβραίων, σταυρωθῆναί σε κατεδίκασαν, ὄξος καὶ χολήν σε ἐπότισαν. ἀλλὰ δὸς αὐτοῖς κύριε κατὰ τὰ ἔργα αὐτῶν, ὅτι οὐ συνῆκαν τὴν σὴν συγκατάβασιν.

Ἐπὶ τῇ προδοσίᾳ οὐκ ἠρκέσθη Χριστὲ τὸ γένος τῶν ἑβραίων, ἀλλ' ἐκίνουν τὰς κεφαλὰς αὐτῶν, μυκτηρισμὸν καὶ χλεύην προσάγοντες. ἀλλὰ δὸς αὐτοῖς κύριε κατὰ τὰ ἔργα αὐτῶν, ὅτι οὐ συνῆκαν τὴν σὴν συγκατάβασιν.

Οὔτε γῆ ὡς ἐσείσθη, οὔτε πέτραι ὡς ἐρράγησαν ἑβραίους ἔπεισαν, οὔτε ναοῦ τὸ καταπέτασμα, οὔτε τῶν νεκρῶν ἡ ἀνάστασις. ἀλλὰ δὸς αὐτοῖς κύριε τὸ ἀνταπόδομα, ὅτι κενὰ κατὰ σοῦ ἐμελέτησαν. Δόξα καὶ νῦν. Θεοτ.

Θεὸν ἐκ σοῦ σαρκωθέντα ἔγνωμεν θεοτόκε παρθένε, αὐτὸν ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἀντίφ. ιβ΄. ἦχ. πλ. δ΄.

Τάδε λέγει κύριος τοῖς Ἰουδαίοις, λαός μου τί ἐποίησά σοι, ἢ τί σοι παρηνώχλησα; τοὺς τυφλούς σου ἐφώτισα, τοὺς λεπροὺς ἐκαθάρισα, ἄνδρα ὄντα ἐπὶ κλίνης ἀνωρθωσάμην, λαός μου τί ἐποίησά σοι; καὶ τί μοι ἀνταπέδωκας, ἀντὶ τοῦ μάννα χολήν, ἀντὶ τοῦ ὕδατος ὄξος, ἀντὶ τοῦ ἀγαπᾶν με σταυρῷ με προσηλώσατε; οὐκ ἔτι στέγω λοιπόν, καλέσω μου τὰ ἔθνη, κἀκεῖνά με δοξάσουσι σὺν τῷ Πατρί, καὶ τῷ Πνεύματι, κἀγὼ αὐτοῖς δωρήσομαι ζωὴν τὴν αἰώνιον.

Σήμερον τοῦ ναοῦ τὸ καταπέτασμα εἰς ἔλεγχον ῥήγνυται τῶν παρανόμων, καὶ τὰς ἰδίας ἀκτῖνας ὁ ἥλιος κρύπτει, δεσπότην ὁρῶν σταυρούμενον.

Οἱ νομοθέται τοῦ Ἰσραὴλ Ἰουδαῖοι καὶ φαρισαῖοι, ὁ χορὸς τῶν ἀποστόλων βοᾷ πρὸς ὑμᾶς. ἴδε ναὸς ὃν ὑμεῖς ἐλύσατε, ἴδε ἀμνὸς, ὃν ὑμεῖς ἐσταυρώσατε, τάφῳ παρεδώκατε, ἀλλ' ἐξουσίᾳ ἑαυτὸν ἀνέστησε. μὴ πλανᾶσθε Ἰουδαῖοι, αὐτὸς γάρ ἐστιν ὁ ἐν θαλάσσῃ σώσας, καὶ ἐν ἐρήμῳ θρέψας, αὐτὸς ἐστὶν ἡ ζωή, τὸ φῶς καὶ ἡ εἰρήνη τοῦ κόσμου. Δόξα καὶ νῦν. Θεοτ.

Χαῖρε ἡ πύλη τοῦ βασιλέως τῆς δόξης, ἣν ὁ ὕψιστος μόνος διώδευσε, καὶ μένειν ἐσφραγισμένην εὐδόκησεν, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Κάθισμα ἦχ. πλ. δ΄.

Ὅτε παρέστης τῷ Καϊάφᾳ ὁ θεός, καὶ παρεδόθης τῷ Πιλάτῳ ὁ κριτής, αἱ οὐράνιαι δυνάμεις ἐκ τοῦ φόβου



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

φόβε ἐσαλεύθησαν. Ὅτε δὲ καὶ ὑψώθης ἐπὶ τοῦ ξύλου ἐν μέσῳ δύο ληστῶν, καὶ ἐλογίσθης μετὰ ἀνόμων ὁ ἀναμάρτητος, διὰ τὸ σῶσαι τὸν ἄνθρωπον, ἀνεξίκακε κύριε δόξα σοι. Εὐαγγ. ἑ. κατὰ Ματθ. Τῷ καιρῷ ἐκείνῳ, ἰδὼν Ἰούδας, ὅτι Ἰησοῦς κατεκρίθη. Εἰς τὸ τέλ. Δόξα τῇ μακροθ.

Ἀντίφ. ιγ'. ἦχ. πλ. β'.

Τὸ ἄθροισμα τῶν Ἰουδαίων τῷ Πιλάτῳ ᾐτήσαντο σταυρωθῆναι σε κύριε, αἰτίαν γὰρ ἐν σοὶ μὴ εὑρόντες, τὸν ὑπεύθυνον Βαραββᾶν ἠλευθέρωσαν, καὶ σὲ τὸν δίκαιον κατεδίκασαν, μιαιφονίας ἔγκλημα κληρωσάμενοι. ἀλλὰ δὸς αὐτοῖς κύριε τὸ ἀνταπόδομα αὐτῶν, ὅτι κενὰ κατὰ σοῦ ἐμελέτησαν.

Ὃν πάντα φρίσσει καὶ τρέμει, καὶ πᾶσα γλῶσσα ὑμνεῖ Χριστὸν θεοῦ δύναμιν, καὶ θεοῦ σοφίαν, οἱ ἱερεῖς ἐρράπισαν, καὶ ἔδωκαν αὐτῷ χολήν. καὶ πάντα παθεῖν κατεδέξατο, σῶσαι θέλων ἡμᾶς ἐκ τῶν ἀνομιῶν ἡμῶν, τῷ ἰδίῳ αἵματι ὡς φιλάνθρωπος. Καὶ θεοτοκίον.

Μεγάλων χαρισμάτων ἁγνὴ παρθένε μήτηρ μόνη θεοῦ ἠξιώθης, ὅτι ἔτεκες σαρκὶ τὸν ἕνα τῆς Τριάδος Χριστὸν τὸν ζωοδότην, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Ἀντίφ. ιδ'. ἦχ. πλ. δ'.

Κύριε ὁ τὸν ληστὴν συνοδοιπόρον λαβών, τὸν ἐν αἵμασι χεῖρας μολύναντα, καὶ ἡμᾶς σὺν αὐτῷ καταρίθμησον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Μικρὰν φωνὴν ἀφῆκεν ὁ ληστὴς ἐν τῷ σταυρῷ, μεγά-



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

λῃν πίστιν εὗρε, μιᾷ ῥοπῇ ἐσώθη, καὶ πρῶτος παραδείσου πύλας ἀνοίξας εἰσῆλθεν, ὁ αὐτοῦ τὴν μετάνοιαν προσδεξάμενος, κύριε δόξα σοι. Δόξα καὶ νῦν Θεοτο.

Χαῖρε ἡ δι' ἀγγέλου τὴν χαρὰν τοῦ κόσμου δεξαμένη, χαῖρε ἡ τεκοῦσα τὸν ποιητὴν σου καὶ κύριον, χαῖρε ἡ ἀξιωθεῖσα γενέσθαι μήτηρ Θεοῦ.

Ἀντίφ. ιε'. ἦχ. πλ. β'.

ΣΗ'μερον κρεμᾶται ἐπὶ ξύλου, ὁ ἐν ὕδασι τὴν γῆν κρεμάσας, στέφανον ἐξ ἀκανθῶν περιτίθεται ὁ τῶν Ἀγγέλων βασιλεὺς, ψευδῆ πορφύραν περιβάλλεται ὁ περιβάλλων τὸν οὐρανὸν ἐν νεφέλαις. ῥάπισμα κατεδέξατο ὁ ἐν Ἰορδάνῃ ἐλευθερώσας τὸν Ἀδὰμ, ἥλοις προσηλώθη ὁ νυμφίος τῆς ἐκκλησίας, λόγχῃ ἐκεντήθη ὁ υἱὸς τῆς παρθένου. Προσκυνοῦμεν σου τὰ πάθη Χριστὲ, προσκυνοῦμεν σου τὰ πάθη Χριστὲ, προσκυνοῦμεν σου τὰ πάθη Χριστὲ. Δεῖξον ἡμῖν καὶ τὴν ἔνδοξόν σου ἀνάστασιν.

Μὴ ὡς Ἰουδαῖοι ἑορτάσωμεν, καὶ γὰρ τὸ πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη Χριστὸς ὁ θεὸς, ἀλλ' ἐκκαθάρωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ, καὶ εἰλικρινῶς δεηθῶμεν αὐτῷ, ἀνάστα κύριε, σῶσον ἡμᾶς ὡς φιλάνθρωπος.

Ὁ σταυρός σου κύριε ζωὴ, καὶ ἀντίληψις ὑπάρχει τῷ λαῷ σου, καὶ ἐπ' αὐτῷ πεποιθότες, σὲ τὸν σταυρωθέντα σαρκὶ θεὸν ἡμῶν ὑμνοῦμεν, ἐλέησον ἡμᾶς.

Δόξα καὶ νῦν. Θεοτοκίον.

Ἀρχαγγελικῶς ἀνυμνήσωμεν πιστοὶ τὴν οὐράνιον παστάδα,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

στάδα, καὶ πύλην ἐσφραγισμένην ἀληθῶς, χαῖρε δι' ἧς ἀνεβλάστησεν ἡμῖν ὁ δεσπότης τῶν ἁπάντων Χριστὸς ὁ ζωοδότης καὶ Θεὸς, κατάβαλε δέσποινα τοὺς τυράννους καὶ ἀθέους ἐχθροὺς ἡμῶν, τῇ χειρί σου ἄχραντε, ἡ ἐλπὶς τῶν Χριστιανῶν. Κάθ. ἦχ. δ'.

Ἐξηγόρασας ἡμᾶς ἐκ τῆς κατάρας τοῦ νόμου, τῷ τιμίῳ σου αἵματι, τῷ σταυρῷ προσηλωθεὶς, καὶ τῇ λόγχῃ κεντηθεὶς, τὴν ἀθανασίαν ἐπήγασας ἀνθρώποις, σωτὴρ ἡμῶν δόξα σοι. Τὸ Εὐαγγ. ϛ'. κατὰ Μάρκ. Τῷ καιρῷ ἐκείνῳ. οἱ στρατιῶται ἀπήγαγον τὸν Ἰησοῦν εἰς τὴν αὐλήν. Εἰς τὸ τέλ. Δόξα τῇ μακροθ.

Καὶ εὐθὺς τὸ Κοντάκ. ἦχ. πλ. δ'.

Τὸν δι' ἡμᾶς σταυρωθέντα δεῦτε πάντες ὑμνήσωμεν, αὐτὸν γὰρ κατεῖδε Μαρία ἐπὶ ξύλου, καὶ ἔλεγεν, εἰ καὶ σταυρὸν ὑπομένεις, σὺ ὑπάρχεις ὁ υἱὸς καὶ Θεός μου. Ὁ οἶκος.

Τὸν ἴδιον ἄρνα ἡ ἀμνὰς θεωροῦσα πρὸς σφαγὴν ἑλκόμενον, ἠκολούθει Μαρία τρυχομένη μεθ' ἑτέρων γυναικῶν, ταῦτα βοῶσα. Ποῦ πορεύῃ τέκνον, τίνος χάριν τὸν ταχὺν δρόμον τελεῖς; μὴ ἕτερος γάμος πάλιν ἐστὶν ἐν Κανᾶ; κἀκεῖ νῦν σπεύδεις, ἵνα ἐξ ὕδατος αὐτοῖς οἶνον ποιήσῃς; συνέλθω σοι τέκνον, ἢ μείνω σε μᾶλλον; δός μοι λόγον λόγε, μὴ σιγῶν παρέλθῃς με, ὁ ἁγνὴν τηρήσας με, ὁ υἱὸς καὶ Θεός μου.

Καὶ εὐθὺς οἱ μακαρισμοὶ, εἰς ἦχον δ'. καὶ καθ' ἕκαστον στίχον αὐτῶν τὰ τροπ. ἀπὸ, Διὰ ξύλου, καὶ καθεξῆς.

Εἶτα

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Εἶτα τὰ προκείμ. ἦχ. δ'. Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον. στίχ. Ὁ Θεὸς, ὁ Θεός μου πρόσχες μοι, ἵνα τί ἐγκατέλιπές με, μακρὰν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν παραπτωμάτων μου. Καὶ εὐθέως Εὐαγγ. ζ'. κατὰ Ματθ. Τῷ καιρῷ ἐκείνῳ, ἐλθόντες οἱ στρατιῶται. Εἰς τέλ. Δόξα τῇ μακροθυμίᾳ σου κύριε. Εἶτα ὁ Ν'. καὶ καθ' ἕκαστον στίχον, εἰς ἦχον πλ. δ'. τροπ.

Σήμερον τοῦ ναοῦ τὸ καταπέτασμα εἰς ἔλεγχον ῥήγνυται τῶν παρανόμων, καὶ τὰς ἰδίας ἀκτῖνας ὁ ἥλιος κρύπτει, δεσπότην ὁρῶν σταυρούμενον. καὶ τὸ αὐτὸ εἰς τὸ Δόξα, καὶ εἰς τὸ Καὶ νῦν. Καὶ εὐθὺς τὸ εὐαγγ. η'. κατὰ Λουκᾶν. Τῷ καιρῷ ἐκείνῳ, ἤγοντο σὺν τῷ Ἰησοῦ.

Μετὰ τὸ Εὐαγγ. τὸ Τριῴδ. Κοσμᾶ μοναχοῦ, καὶ δυστιχ. τοὺς εἱρμοὺς. ἦχ. πλ. β'. Πρὸς σὲ ὀρθρίζω. ᾠδ. η'. Στήλην κακίας, καὶ ᾠδ. θ'. Τὴν τιμιωτέραν. Μετὰ ταύτην τὴν ᾠδὴν εὐαγγ. θ'. κατὰ Ιωάν. Τῷ καιρῷ ἐκείνῳ, εἱστήκεισαν παρὰ τῷ σταυρῷ. Καὶ εὐθέως Ἐξαπόστειλ. ἦχ. γ'. τοῦτο. Τὸν λῃστὴν αὐθήμερον τοῦ παραδείσου ἠξίωσας κύριε, κἀμὲ τῷ ξύλῳ τῆς ζωῆς φώτισον, ἁγίασον, καὶ σῶσον με. ἐκ γ'. Εὐαγγ. ι'. κατὰ Μάρκ. Τῷ καιρῷ ἐκείνῳ, ἐλθὼν Ἰωσὴφ ὁ ἀπὸ Ἀριμαθαίας. καὶ ἀμέσως ψάλλομεν τοὺς αἴνους. ἰδιόμ. ς'. Καὶ Δόξα καὶ νῦν.

Ἔπειτα εὐαγγ. ια'. κατὰ Ἰωάν. Τῷ καιρῷ ἐκείνῳ, ἠρώ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ἠρώτησε τὸν Πιλάτον, καὶ εὐθὺς τὸ Δόξα ἐν Ὑψίστοις, καὶ τὰ ἑξῆς. εἶτα, Ὅτι σοῦ ἐστιν. Τροπ. Ὅτε οἱ ἔνδοξοι μαθηταί. καὶ πάλιν, τὸ εὐαγγ. ιβ΄. κατὰ Ματθ. Τῇ ἐπαύριον, ἥτις ἐστὶ μετὰ τὴν παρασκ. Μετὰ τὸ Εὐαγγ. λέγομεν τὸ Εἴπωμεν πάντες, καὶ τὴν συναπτὴν τῶν αἰτήσεων, τὴν εὐχὴν ὡς ἔθος, καὶ τὴν ἰδίαν Ἀπόλυσιν. φυλλ. 116.

## ΤΗ ΜΕΓΑΛΗ ΠΑΡΑΣΚΕΥΗ εἰς τὴν α΄. ὥραν.

Μετὰ τό, Εὐλογημένη ἡ βασιλεία, τὸ Πάτερ ἡμῶν. Ὅτι σοῦ, καὶ τὸ Δεῦτε προσκυνήσωμεν ἐκ γ΄. ψαλ. β΄. Ἵνα τί ἐφρύαξαν. φύλλ. 246. ψαλ. ε΄. Τὰ ῥήματά μου. φύλλ. 119. ψαλ. μ΄. Μακάριος ὁ συνιῶν. φύλλ. 292. Δόξα καὶ νῦν ἀλλ. ἀλλ. ἀλλ. δόξα σοι ὁ Θεὸς ἐκ γ΄. Εἶτα τὴν συναπτὴν τῶν δεήσεων, καὶ Ὅτι πρέπει σοι πᾶσα δόξα τιμὴ, καὶ προσκύνησις τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ.

Τροπ. ἦχ. πλ. δ΄. ἰδιόμ.

Σήμερον τοῦ ναοῦ τὸ καταπέτασμα εἰς ἔλεγχον ῥήγνυται τῶν παρανόμων, καὶ τὰς ἰδίας ἀκτῖνας ὁ ἥλιος κρύπτει, δεσπότην ὁρῶν σταυρούμενον.

Στίχ. Ἵνα τί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά;

Ἰδιόμ. ἦχ. πλ. δ΄.

Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθης Χριστὲ βασιλεῦ, καὶ ὡς ἀμνὸς ἄμωμος προσηλώθης τῷ σταυρῷ

ὑπὸ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ὑπὸ τῶν παρανόμων ἀνδρῶν, διὰ τὰς ἁμαρτίας ἡμῶν φιλάνθρωπε.

Στίχ. Π αρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ, κατὰ τοῦ κυρίου, καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ.

Δόξα καὶ. ἦχ. πλ. δ΄.

Τ οῖς συλλαβοῦσι σε παρανόμοις ἀνεχόμενος οὕτως ἐβόας κύριε, εἰ καὶ ἐπατάξατε τὸν ποιμένα, καὶ διεσκορπίσατε τὰ πρόβατα τοὺς μαθητάς μου, ἠδυνάμην πλείους ἢ δώδεκα λεγεῶνας παραστῆσαι ἀγγέλους. ἀλλὰ μακροθυμῶ, ἵνα πληρωθῇ ἃ ἐδήλωσα ὑμῖν διὰ τῶν προφητῶν μου, ἄδηλα, καὶ κρύφια, κύριε δόξα σοι. Εἶτα προκ. ἦχ. πλ. δ΄.

Ἡ καρδία αὐτοῦ συνήγαγεν ἀνομίαν ἑαυτῷ. στίχ. Μ ακάριος ὁ συνιῶν ἐπὶ πτωχὸν, καὶ πένητα, ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ κύριος.

Τὰ ἀναγνώσματα, ἤγουν ἡ προφητεία, καὶ ἀπόστολος, ὡς εὑρίσκονται, καὶ τὸ Εὐαγγ. Μετὰ τὸ Εὐαγγ. τὴν συναπτὴν τῶν αἰτήσεων, καὶ Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος. Τετράρ. Τὰ ῥήματά μου. Τὸ Τρισάγ. Παναγία τριάς, Πάτερ ἡμῶν, καὶ Ὅτι σοῦ. καὶ ἀπολυτ. Ὅτε οἱ ἔνδοξοι. Εὐχὴ καὶ ἀπόλυσις τῆς ὥρας πρώτης.

## ΑΡΧΗ ΤΗΣ ΩΡΑΣ ΤΡΙΤΗΣ.

Μετὰ τὸ Ε ὐλογημένη, τὰ λοιπὰ, ὡς ἄνω, ψαλ. ις΄. Ε ἰσάκουσον κύριε δικαιοσ. φύλλ. 134. ψαλ. λδ΄. Δ ίκασον κύριε τοὺς ἀδικ. φύλλ. 280.

ψαλ. ν΄.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ψαλ. ν'. Ἐλέησόν με ὁ Θεός. φύλλ. 137. Δόξα καὶ νῦν. ἀλλ. συναπτὴ, καὶ Ὅτι πρέπει, ὡς ἄνω.

Τροπ. ἦχ. πλ. δ'. ἰδιόμ.

Διὰ τὸν φόβον τῶν Ἰουδαίων ὁ φίλος σου, καὶ ὁ πλησίον Πέτρος ἠρνήσατό σε κύριε, καὶ ὀδυρόμενος οὕτως ἐβόα. τῶν δακρύων μου μὴ παρασιωπήσῃς, εἶπα γὰρ φυλάξαι τὴν πίστιν οἰκτίρμων, καὶ οὐκ ἐφύλαξα, καὶ ἡμῶν τὴν μετάνοιαν οὕτως δέξαι, καὶ ἐλέησον ἡμᾶς.

Στίχ. Ἐμάκρυνας τοὺς γνωστούς μου ἀπ' ἐμοῦ, ἔθεντό με βδέλυγμα ἑαυτοῖς.

Τροπ. ἦχ. πλ. δ'. ἰδιόμ.

Περὶ τοῦ τιμίου σου σταυροῦ στρατιωτῶν ἐμπαιζόντων σε κύριε, αἱ νοεραὶ στρατιαὶ κατεπλήττοντο, ἐνεδύσω γὰρ στέφανον ὕβρεως ὁ τὴν γῆν ζωγραφήσας τοῖς ἄνθεσι, καὶ τὴν χλαῖναν χλευαζόμενος ἐφόρεσας, ὁ νεφέλαις περιβάλλων τὸ στερέωμα. Τοιαύτῃ γὰρ οἰκονομίᾳ ἐγνώσθη σου ἡ εὐσπλαγχνία, Χριστὲ τὸ μέγα ἔλεος, δόξα σοι.

Στίχ. Ἐμάκρυνας ἀπ' ἐμοῦ φίλον, καὶ πλησίον, καὶ τοὺς γνωστούς μου ἀπὸ ταλαιπωρίας.

Δόξα καὶ νῦν ἦχ. πλ. δ'.

Ἑλκόμενος ἐπὶ σταυροῦ οὕτως ἐβόας κύριε, διὰ ποῖον ἔργον θέλετέ με φονεῦσαι Ἰουδαῖοι; ὅτι τοὺς παραλύτους ἡμῶν συνέσφιξα, ὅτι τοὺς νεκροὺς ὡς ἐξ ὕπνου ἀνέστησα; αἱμόῤῥουν ἰασάμην, χαναναίαν ἠλέησα.

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ἠλέησα. Διὰ ποίων ἔργων θέλετέ με φονεῦσαι Ἰουδαῖοι; ἀλλ᾽ ὄψεσθε εἰς ὃν ἐκκεντᾶτε Χριστὸν παράνομοι.

Προκ. ἦχ. πλ. δ΄. Ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος, καὶ ἡ ἀλγηδών μου ἐνώπιόν μου ἐστὶ διαπαντός. στίχ. Κύριε μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.

Τὰ ἀναγνώσματα, καὶ τὸ Εὐαγγ. συναπτὴ τῆς αἰτήσεως, καὶ τὰ λοιπὰ ὡς ἄνω. Ἔπειτα τροπ. Κύριε ὁ Θεὸς εὐλογητός. Τρισάγ. Παναγία Τριάς, Πάτερ ἡμῶν. Ὅτι σοῦ. καὶ ἀπολυτ. Ὅτε οἱ ἔνδοξοι. Εὐχὴ καὶ ἀπόλυσις τῆς ὥρας γ΄.

## ΑΡΧΗ ΤΗΣ ΩΡΑΣ ΕΚΤΗΣ.

Μετὰ τὸ Εὐλογημένη, τὰ λοιπὰ ὡς ἄνω. ψαλ. να΄. Τί ἐγκαυχᾷ ἐν κακίᾳ, φύλλ. 306. ψαλ. ξη΄. Σῶσόν με ὁ Θεὸς, φύλλ. 324. ψαλ. ϥ΄. Ὁ κατοικῶν ἐν βοηθ. φύλλ. 143.

Δόξα καὶ νῦν. ἀλλ. συναπτὴ, καὶ Ὅτι πρέπει.

Τροπ. ἦχ. πλ. δ΄. ἰδιόμ.

Δεῦτε χριστοφόροι λαοὶ, κατίδωμεν τί συνεβουλεύσατο Ἰούδας, ὁ προδότης, σὺν ἱερεῦσιν ἀνόμοις κατὰ τοῦ σωτῆρος ἡμῶν. Σήμερον ἔνοχον θανάτου τὸν ἀθάνατον λόγον πεποιήκασι, καὶ Πιλάτῳ προδώσαντες ἐν τόπῳ κρανίου ἐσταύρωσαν. Καὶ ταῦτα πάσχων ἐβόα ὁ σωτὴρ ἡμῶν, λέγων ἄφες αὐτοῖς πάτερ τὴν ἁμαρτίαν, ὅπως γνώσωνται τὰ ἔθνη τὴν ἐκ νεκρῶν μου ἀνάστασιν.

στίχ.

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Στίχ. Ὁ Θεὸς, ὁ Θεός μου πρόσχες μοι, ἵνα τί ἐγκατέλιπές με.

Ἄλλο ἦχ. πλ. δ'.

Τὰ δὲ λέγει Κύριος τοῖς Ἰουδαίοις, λαός μου τί ἐποίησά σοι, ἢ τί παρηνώχλησα; καὶ τοὺς τυφλούς σου ἐφώτισα, τοὺς λεπροὺς ἐκαθάρισα, ἄνδρα ὄντα ἐπὶ κλίνης ἀνωρθωσάμην. Λαός μου τί ἐποίησά σοι; καὶ τί μοι ἀνταπέδωκας; ἀντὶ τοῦ μάννα χολήν, ἀντὶ τοῦ ὕδατος ὄξος, ἀντὶ τοῦ ἀγαπᾷν με σταυρῷ με προσηλώσατε; οὐκ ἔτι στέγω λοιπὸν, καλέσω μου τὰ ἔθνη, κἀκεῖνα με δοξάσωσι, σὺν τῷ Πατρὶ καὶ Πνεύματι. κἀγὼ αὐτοῖς δωρήσωμαι ζωὴν τὴν αἰώνιον.

Στίχ. Ἐλάλησαν κατ' ἐμοῦ γλώσσῃ δολίᾳ.

Δοξαστικὸν. ἦχ. πλ. δ'. ἰδιόμ.

Οἱ νομοθέται τοῦ Ἰσραὴλ Ἰουδαῖοι, καὶ Φαρισαῖοι, ὁ χορὸς τῶν ἀποστόλων βοᾷ πρὸς ὑμᾶς, ἴδε ναὸς ὃν ὑμεῖς ἐλύσατε, ἴδε ἀμνὸς ὃν ὑμεῖς ἐσταυρώσατε, τάφῳ παρεδώκατε, ἀλλ' ἐξουσίᾳ ἑαυτὸν ἀνέστησε. Μὴ πλανᾶσθε Ἰουδαῖοι, αὐτὸς γάρ ἐστιν ὁ ἐν θαλάσσῃ σώσας, καὶ ἐν ἐρήμῳ θρέψας. αὐτός ἐστιν ἡ ζωὴ, καὶ τὸ φῶς, καὶ εἰρήνη τοῦ κόσμου.

Προκείμ. ἦχ. δ'. Ἔδωκαν εἰς τὸ βρῶμα μου χολὴν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος. στίχ. Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, καὶ τὸν νῶτον αὐτῶν διαπαντὸς σύγκαμψον.

Τὰ ἀναγνώσματα, καὶ τὸ εὐαγγέλιον. Εἰς

τέλ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

τέλ. μετὰ τὴν συναπτὴν τῶν αἰτήσεων, Τροπάρ. Ταχὺ προκαταλαβέτωσαν. Τρισάγ. Παναγ. Πάτερ ἡμῶν. Ὅτι σοῦ. Τροπ. Σωτηρίαν εἰργάσω. Θείας γεγονάμεν. Εὐχή, καὶ ἀπόλυσ.

## ΑΡΧΗ ΤΗΣ ΩΡΑΣ ΕΝΝΑΤΗΣ.

Μετὰ τό, Εὐλογημένη, τὰ λοιπὰ ὡς ἄνω.
ψαλ. κα΄. Ὁ Θεός, ὁ Θεός μου πρόσχες. φύλλ. 266.
ψαλ. ρη΄. Ὁ Θεὸς τὴν αἴνεσίν μου. φύλλ. 384.
ψαλ. πε΄. Κλῖνον Κύριε τὸ οὖς σου. φύλλ. 149.

Εἰς τέλος, Δόξα καὶ νῦν. Ἀλλ. συναπτὴ τῆς δεήσεως. Ὅτι πρέπει. Τροπ. ἦχ. βαρ΄. ἰδιόμ.

Θάμβος ἦν κατιδεῖν τὸν οὐρανοῦ, καὶ γῆς ποιητὴν ἐπὶ σταυροῦ κρεμάμενον, ἥλιον σκοτισθέντα, τὴν ἡμέραν δὲ πάλιν εἰς νύκτα μετελθοῦσαν, καὶ τὴν γῆν ἐκ τάφου ἀναπέμπουσαν σώματα νεκρῶν. Μεθ' ὧν προσκυνοῦμέν σε, σῶσον ἡμᾶς.

Στίχ. Ὁ Θεός μου πρόσχες μοι, ἵνα τί ἐγκατέλιπές με.

Ἄλλο Τροπ. ἦχ. β΄. ἰδιόμ.

Ὅτε τῷ σταυρῷ προσήλωσαν παράνομοι τὸν Κύριον τῆς δόξης, ἐβόα πρὸς αὐτούς, τί ὑμᾶς ἐλύπησα; ἢ ἐν τίνι παρώργισα; πρὸ ἐμοῦ τίς ὑμᾶς ἐρρύσατο ἐκ θλίψεως; Καὶ νῦν τί μοι ἀνταποδίδοτε; πονηρὰ ἀντὶ ἀγαθῶν, ἀντὶ στύλου πυρὸς σταυρῷ με προσηλώσατε. Ἀντὶ νεφέλης τάφον μοι ὠρύξατε, ἀντὶ τοῦ μάννα χολήν μοι προσηνέγκατε. Ἀντὶ τοῦ ὕδατος,

ὄξος

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ὄξος ἐποτίσατε, λοιπὸν καλῶς τὰ ἔθνη, κἀκεῖνα με δοξάσουσι σὺν Πατρὶ, καὶ ἁγίῳ Πνεύματι.

Στίχ. Πάντες οἱ θεωροῦντες με ἐξεμυκτηρισάν με, ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησαν κεφαλήν.

Δόξα καὶ νῦν. ἦχ. πλ. β'.

Σήμερον κρεμᾶται ἐπὶ ξύλου ὁ ἐν ὕδασι τὴν γῆν κρεμάσας, στέφανον ἐξ ἀκανθῶν περιτίθεται ὁ τῶν ἀγγέλων βασιλεὺς, ψευδῆ πορφύραν περιβάλλεται ὁ περιβάλλων τὸν οὐρανὸν ἐν νεφέλαις. ῥάπισμα κατεδέξατο ὁ ἐν Ἰορδάνῃ ἐλευθερώσας τὸν Ἀδὰμ, ἥλοις προσηλώθη ὁ νυμφίος τῆς ἐκκλησίας, λόγχῃ ἐκεντήθη ὁ υἱὸς τῆς παρθένου. Προσκυνοῦμέν σου τὰ πάθη Χριστὲ, δεῖξον ἡμῖν, καὶ τὴν ἔνδοξόν σου ἀνάστασιν.

Προκ. ἦχ. πλ. β'. Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ, ἐν σκοτεινοῖς, καὶ ἐν σκιᾷ θανάτου.

Στίχ. Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου ἡμέρας ἐκέκραξα, καὶ ἐν νυκτὶ ἐναντίον σου.

Τὰ ἀναγνώσματα, καὶ τὸ Εὐαγγέλιον. συναπτὴ τῶν αἰτήσεων, καὶ τὰ λοιπὰ ὡς ἄνω. Πορευόμεθα ὅπου κεῖται ὁ τίμιος Σταυρὸς, καὶ λέγομεν Κοντάκιον ἦχ. πλ. δ'.

Τὸν δι' ἡμᾶς σταυρωθέντα δεῦτε πάντες ὑμνήσωμεν, αὐτὸν γὰρ κατεῖδε Μαρία ἐπὶ ξύλου, καὶ ἔλεγεν. εἰ καὶ σταυρὸν ὑπομένεις, σὺ ὑπάρχεις ὁ υἱὸς, καὶ Θεός μου, ὁ οἶκος.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Τὸν ἴδιον ἄρνα ἡ ἀμνὰς θεωροῦσα πρὸς σφαγὴν ἑλκόμενον, ἠκολούθη Μαρία ξυχομένη, μεθ' ἑτέρων γυναικῶν, ταῦτα βοῶσα. ποῦ πορεύῃ τέκνον; τίνος χάριν τὸν δρόμον τελεῖς; μὴ ἕτερος γάμος πάλιν ἐστὶ ἐν Κανᾷ, κἀκεῖ νῦν ἀπεύδεις, ἵνα ἐξ ὕδατος αὐτοῖς οἶνον ποιήσῃς; συνέλθω σοι τέκνον, ἢ μείνω σὲ μᾶλλον λόγε, μὴ σιγῶν παρέλθῃς με, ὁ ἁγνὴν τηρήσας με, σὺ γὰρ ὑπάρχεις ὁ υἱὸς, καὶ Θεός μου.

Ἀπογυμνοῦται, καὶ προσκυνεῖται ὁ τίμιος Σταυρὸς πρῶτον ὑπὸ τοῦ Ἡγουμένου, εἶθ' οὕτως ὑπὸ πάντων τῶν ἀδελφῶν, καὶ παρεστώτων κατὰ τάξιν. Καὶ μετὰ τὸ προσκυνῆσαι, εὐθὺς λέγεται τὸ, Μὴ δὴ παραδώῃς ἡμᾶς. Τρισάγ. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ, καὶ τὸ, Βλέπων ὁ λῃστὴς, Τὸν ἀμνὸν, καὶ ποιμένα. καὶ ἡ Εὐχή. Καὶ λέγομεν τοὺς μακαρισμοὺς, τὸ, Πιστεύω, τὸ Πάτερ ἡμῶν, Ὅτι σοῦ, καὶ ἀπολυτ. Ὅτε οἱ ἔνδοξοι, εἶτα τὴν ἀπόλυσιν τῆς θ'. ὥρας.

Τῇ μεγάλῃ παρασκευῇ ἑσπέρας, σὺν τῇ τῶν προηγιασμένων λειτουργίᾳ.

Εἰς τὸ κύριε ἐκέκ. στιχ'. δ'. ἦχος Ἰδιόμ. γ'. ὅνπερ ἐν διαστολ. ἦχ. β'. Λαὸς δυσσεβὴς. εἰς ἦχ. πλ β'. Ὢ πῶς ἡ παράνομος. Φοβερὸν καὶ παράδοξον. δόξα καὶ νῦν ἦχ. β'. Ἐπὶ ξύλου βλέπουσα. τὸ προκ. ἦχ. α'. Δίκασον κύριε τοὺς ἀδικοῦντάς με, πολέμησον τοὺς πολεμοῦντάς με. στίχ. Ἔκχεον ῥομφαίαν, καὶ σύγκλεισον ἐξεναντίας τῶν καταδιωκόντων με. εἶτα

εἶτα τὸ ἐν ἀναγν. Τῆς ἐξόδου. Ἐλάλησε κύριος πρὸς μωσῆν ἐνώπιον. προκ. ἦχ. δ'. Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον. στίχ. Ὁ Θεὸς ὁ Θεός μου πρόσχες μοι, ἵνα τί ἐγκατέλιπές με; τὸ β'. τοῦ δικαίου Ἰὼβ. Εὐλόγησε κύριος τὰ ἔσχατα τοῦ Ἰὼβ μᾶλλον. τὸ γ'. προφητ. Ἡσαΐου, Τάδε λέγει κύριος σαβαώθ, ἰδοὺ συνήσει.

Ἔπειτα προσέρχεται ὁ ἱερεὺς ἐνδεδυμένος σὺν τῷ Διακόνῳ καὶ Ὑποδιακόνῳ εἰς τὴν ἁγίαν Τράπεζαν, ἄνευ τῶν φώτων ἐκεῖ, καὶ ἐκφωνεῖ, Πρόσχωμεν εἰρήνη πᾶσι. Τὸ προκ. ἦχ. πλα. β'. Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ, ἐν σκοτεινοῖς, καὶ ἐν σκιᾷ θανάτου. στίχ. Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σου. ὁ ἀπόσ. πρὸς Κορινθ. Ἀδελφ. ὁ λόγος ὁ τοῦ σταυροῦ. ἀλληλ. ἦχ. πλα. α'. Σῶσόν με ὁ Θεὸς ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου, ἐνεπάγην εἰς ἰλὺν βυθοῦ, καὶ οὐκ ἔστιν ὑπόστασις. στίχ. Ὀνειδισμὸν προσεδόκησεν ἡ ψυχή μου καὶ ταλαιπωρίαν, καὶ ὑπέμεινα συλλυπούμενον, καὶ οὐχ ὑπῆρξε, καὶ παρακαλοῦντας καὶ οὐχ εὗρον. στίχ. Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, καὶ τὸν νῶτον αὐτῶν διαπαντὸς σύγκαμψον. ἔπειτα τὸ εὐαγγ. κατὰ Ματθ. Τῷ καιρ. ἐκεί. συμβούλιον ἔλαβον.

Εἰς τὸ τελ. λέγομεν τὴν συναπτὴν τῶν αἰτήσεων, καὶ τὴν εὐχ. Ἔπειτα συνεκπορευόμεθα, ὅπου μετὰ τῶν σκεπασμάτων καὶ φώτων τὸ πανάχραντον Μυστήριον



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

προστεθῆται, καὶ ὑπὸ τοῦ ἱερέως γονυπετοῦντος, θυμιᾶται. ὑπὸ δὲ τοῦ Διακόνου ληφθέντος, καὶ ἀποτεθέντος ἁγίου Ποτηρίου ἐπὶ τὸ Θυσιαστήριον, ὁ ἱερεὺς πάλιν θυμιᾷ ὡς ἔθος. Καὶ λέγομεν.

Ὅτε οἱ ἔνδοξοι μαθηταί.

Δοξαστικόν. Ἰδ. ἦχ. πλα. δ'. Ὁρῶσά σε ἡ κτίσις ἅπασα ἐπὶ σταυροῦ γυμνὸν κρεμάμενον τὸν δημιουργὸν καὶ κτίστην τῶν ἁπάντων, ἠλλοιοῦτο φόβῳ καὶ ἐπωδύρετο, ὁ ἥλιος δὲ τὸ φῶς συνέστειλε, καὶ ἡ γῆ ἐκυμαίνετο. πέτραι δὲ ἐσχίζοντο, καὶ ναοῦ φαιδρότης διεῤῥήγνυτο, νεκροὶ ἐξανίσταντο ἐκ μνημάτων, καὶ ἀγγέλων αἱ δυνάμεις ἐξίσταντο λέγουσαι, ὢ τοῦ θαύματος, ὁ κριτὴς κρίνεται καὶ πάσχει θέλων. διὰ τὴν τοῦ κόσμου σωτηρίαν, καὶ ἀνάπλασιν. Μετὰ τοῦτο, παραφέρομεν τὸ πανάχραντον Μυστήριον μετὰ τῶν φώτων εἰς τὴν ἁγίαν τράπεζαν, λέγοντες ὁμαλῶς τὸν Ν'. Ἐκεῖ θυμιᾶται πάλιν, καὶ ἐν ὅσῳ τοῦτο ὑπὸ τοῦ ἱερέως γίνεται, ὁ χορὸς ψάλλει εἰς ἦχον πλ. β'. Νῦν αἱ δυνάμεις. εἶτα ἐκπληροῦμεν τὴν τῶν προηγιασμ. ἀκολουθίαν. Εἰς τέλος, Τροπάρ. ἦχ. πλα. δ'. Ὡς ἡ πόρνη προσπίπτω σοι, ἵνα λάβω τὴν ἄφεσιν. ζήτει φύλλ. 556. καὶ μετὰ τὸ τροπάρ. Δόξα σοι Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν. καὶ τὴν ἀπόλυσιν, Ὁ δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν. ὡς φύλ. 116.

Τῇ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Τῇ μεγάλῃ παρασκευῇ ὀψὲ,
εἰς τὸν ὄρθρον τοῦ μεγάλου σαββάτου, μετὰ τὸν
προοιμιακ. ψαλ.

Εἰς τὸ, Θεὸς κύριος, τροπάρ. ἦχ. β'. Ὁ εὐσχήμων Ἰωσὴφ ἀπὸ τοῦ ξύλου καθελὼν τὸ ἄχραντόν σου σῶμα, σινδόνι καθαρᾷ εἱλήσας καὶ ἀρώμασιν, ἐν μνήματι καινῷ κηδεύσας ἀπέθετο. Δόξα καὶ νῦν. Ταῖς μυροφόροις γυναιξὶ παρὰ τὸ μνῆμα ἐπιστὰς ὁ ἄγγελος ἐβόα, τὰ μύρα τοῖς θνητοῖς ὑπάρχει ἁρμόδια. Χριστὸς δὲ διαφθορᾶς ἐδείχθη ἀλλότριος. Εἶτα ἀμέσως τὸν κανόνα ἦχ. πλα. β'. Κύματι θαλάσσης. Κύριε θεέ μου. διπλασιάζομεν δὲ πάντας τοὺς εἱρμοὺς. Ἀπὸ γ'. καθ. ἀπὸ ς'. Κοντάκ. ἦχ. πλ. β'. Τὴν ἄβυσσον ὁ κλείσας. καὶ ὁ οἶκος. καὶ εὐθὺς τὸν Ν'. ἤγουν Ἐλεησόν με ὁ Θεός. ἀνευ Πεντηκοσ. ἀπὸ θ'. ἐξάποσ. Τῶν σαββάτων ἡ λαμπρά.

Εἰς τοὺς αἰν. στιχ. ς'. ἦχ. β'. ἰδιόμ. Σήμερον συνέχει τάφος. Τί τὸ ὁρώμενον θέαμα. Δεῦτε ἴδωμεν τὴν ζωὴν. εἰς ἦχ. πλ. β'. Τὴν σήμερον μυστικῶς. Ἠτήσατο Ἰωσὴφ. καὶ τοῦτο δισσεύετ. δόξα ἦχ. πλα. α'. Σὲ τὸν ἀναβαλλόμενον. καὶ νῦν Ὑπερευλογημένη. εἶτα Δόξα ἐν ὑψίστοις. μετὰ δὲ τὸ τρισάγιον ὡς ἔθος, τροπαρ. Ὁ εὐσχήμων Ἰωσὴφ. καὶ Δόξα καὶ νῦν. Ταῖς μυροφόροις. ὡς ἄνω. Εἶτα Προσευχώμεθα, εἰρήνη πᾶσι. προκ. ἦχ. δ'. Ἀνάστα κύριε βοήθησον ἡμῖν, καὶ λύτρωσαι ἡμᾶς ἕνεκεν τοῦ ὀνόματός σου. στίχ. Ὁ



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Θεὸς ἐν τοῖς ὠσὶν ἡμῶν οἰκούσαμεν, καὶ οἱ πατέρες ἡμῶν ἀνήγγειλαν ἡμῖν. προφ. Ἰεζεκιὴλ. καὶ εὐθὺς, Ψαλμὸς τοῦ Δαβίδ. προκ. ἦχ. βαρ΄. Ἀνάστηθι κύριε ὁ Θεός μου, ὑψωθήτω ἡ χείρ σου, μὴ ἐπιλάθῃ τῶν πενήτων σου εἰς τέλος. στίχ. Ἐξομολογήσομαί σοι κύριε ἐν ὅλῃ καρδίᾳ μου, καὶ διηγήσομαι πάντα τὰ θαυμάσιά σου. καὶ ὁ ἀπόστ. πρὸς κορινθ. Ἀδελφοὶ μικρὰ ζύμη.

Ἀλλ. ἦχ. δ΄. Ἀναστήτω ὁ Θεὸς καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν.

Στίχ. Ὡς ἐκλείπει καπνὸς ἐκλειπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός.

Στίχ. Οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν.

Ἔπειτα, Εὐαγγ. κατὰ Ματθ. Τῇ ἐπαύριον ἥτις ἐστί. Εἶτα τὴν συναπτὴν τῶν αἰτήσεων, τὴν εὐχὴν, καὶ ἀπόλυσ. Ἐν ταύτῃ τῇ ἡμέρᾳ αἱ ὧραι ἐν τῇ ἐκκλησίᾳ οὐ ψάλλονται, ἀλλ᾽ ἕκαστος κατὰ μόνας λέγει αὐτὰς ἐν τῷ κελλίῳ.

## ΤΩ ΜΕΓ. ΣΑΒΒΑΤΩ ΕΣΠ.

Εἰς τὰ στιχηρὰ ἰδιόμ. ϛ΄. Δόξα καὶ. Τὴν σήμερον. προκ. ἦχ. πλ. δ΄. Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι, καὶ ψαλάτωσάν σοι. στίχ. Ἀλαλάξατε τῷ κυρίῳ πᾶσα ἡ γῆ. Καὶ ἀναγνώσμ. γ΄. Εἶτα προκ. ἦχ. γ΄. Κύριος φωτισμός μου, καὶ σωτήρ μου, τίνα φοβηθήσομαι. στίχ. Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου, ἀπὸ τίνος δει-

λιά-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

λιάσω. Καὶ ἄλλα ἀναγνώσμ. γ΄. εἶτα ὁ ἀναγνώς. ψάλλει τὴν ᾠδὴν εἰς ἦχ. πλ. α΄.

Ἄσωμεν τῷ κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται. ἵππον καὶ ἀναβάτην ἔρριψεν εἰς θάλασσαν. φύλ. 429. ὁ χορὸς εἰς ἕκαστον στίχ. ἀποκρίνεται. Ἐνδόξως γὰρ δεδόξασται.

Εἰς τέλ. Δόξα Πατρὶ καὶ, Ἐνδόξως γὰρ.

Καινοῦ. Ἐνδόξως γὰρ. καὶ ὁ ἀναγνώστης πάλιν λέγει τὸ α΄. στίχ. Ἄσωμεν τῷ. Ἐνδόξως. καὶ τὰ ἑξῆς. Εἶτα λέγονται καὶ τὰ ἄλλα ἀναγνώσματα ἕως τῆς προφ. ιε΄. τοῦ Δανιὴλ, Ἕτης ὀκτωκ. Ἐν τῷ στίχῳ Ὑμνεῖτε καὶ Ὑπερυψοῦτε, ψάλλωμεν εἰς ἦχ. πλ. α΄. ὅλην τὴν η΄. ᾠδὴν φύλλ. 446. καὶ εἰς αὐτὸν τὸν ἦχ. ἀποκρίνεται ὁ χορός. Ὑμνεῖτε καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας, καθ' ἕκαστον στίχον.

Εἰς τέλος τῆς προφητείας, ὁ Ἱερεὺς λέγει τὰς εὐχὰς τῆς λειτουργίας τῶν ἀντιφώνων, καὶ τοῦ Τρισαγίου, καὶ εὐθὺς ψάλλομεν τὸ προκείμενα εἰς ἦχ. βαρὺς, οὕτως.

Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι, καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι. στίχ. Μακάριος ἀνὴρ ᾧ οὐ μὴ λογίσεται κύριος τὴν ἁμαρτίαν, οὐδέ ἐστιν ἐν τῷ στόματι αὐτοῦ δόλος. καὶ πάλιν. Μακάριοι.

Εἶπα ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς ψυχῆς μου. καὶ πάλιν. Μακάρ.

Μετ' ἀπόστολον, ὁ χορὸς ἀποκρίνεται, ψαλμὸς



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

τῷ Δαβὶδ, μόνον, ἄνευ τοῦ Ἀλληλούϊα. καὶ ἔπειτα στίχοι. ἦχ. βαρ.

Ἀνάστα ὁ Θεὸς κρῖνον τὴν γῆν, ὅτι σὺ κατακληρονομήσῃς αὐτὴν ἐν πᾶσι τοῖς ἔθνεσιν. καὶ πάλιν Ἀνάστα ὁ Θεὸς.

Ὁ Θεὸς ἔστιν ἐν συναγωγῇ Θεῶν, ἐν μέσῳ δὲ Θεοὺς διακρινεῖ. Ἀνάστα.

Ἕως πότε κρίνετε ἀδικίαν, καὶ πρόσωπα ἁμαρτωλῶν λαμβάνετε. Ἀνάστα ὁ Θεὸς κρῖνον.

Κρίνατε ὀρφανῷ καὶ πτωχῷ, ταπεινὸν καὶ πένητα δικαιώσατε. Ἀνάστα ὁ Θεὸς.

Ἐξέλεσθε πένητα καὶ πτωχὸν, ἐκ χειρὸς ἁμαρτωλοῦ ῥύσασθε αὐτόν. Ἀνάστα ὁ Θεὸς.

Οὐκ ἔγνωσαν οὐδὲ συνῆκαν, ἐν σκότει διαπορεύονται, σαλευθήτωσαν πάντα τὰ θεμέλια τῆς γῆς. Ἀνάστα ὁ Θεὸς.

Ἐγὼ εἶπα θεοί ἐστε, καὶ υἱοὶ ὑψίστου πάντες. Ἀνάστα.

Ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε, καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτετε. Ἀνάστα ὁ Θεὸς.

Ἀνάστα ὁ Θεὸς. καὶ ἀποκρ. Ὅτι σὺ κατακληρονομήσεις αὐτὴν ἐν πᾶσι τοῖς ἔθνεσιν. καὶ πάλιν Ὅτι σὺ κατακληρονομ. ἔπειτα τὸ εὐαγγ. κατὰ Ματθ. Ὀψὲ Σαββάτων τῇ ἐπιφωσκ. καὶ καθεξῆς ἐκτελεῖται ἡ Θεία λειτουρ. τοῦ ἁγίου πατρὸς ἡμῶν Βασιλείου. Κοιν. Ἐξηγέρθη ὡς ὁ ὑπνῶν κύριος, καὶ ἀνέστη σώζων ἡμᾶς. Τὸ ἀπόδ. ψαλλ. ὡς φύλλ. 543. Τραπ. δὲ Ὁ ἀρχίμων Ἰωσὴφ.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ΤΗ ΑΓΙΑ

# ΚΑΙ ΖΩΗΦΟΡΩ ΝΥΚΤΙ

## ΤΗΣ ΕΓΕΡΣΕΩΣ ΧΡΙΣΤΟΥ ΤΟΥ ΘΕΟΥ ΗΜΩΝ.

Εἰς τὸν ὄρθρον.

Πρῶτον μὲν ὁ Ἡγούμενος, καὶ οἱ πατέρες πάντες σὺν τοῖς ἀδελφοῖς μάλα πρωῒ ἐγερθέντες, συνάγονται εἰς τὴν Ἐκκλησίαν, ὅπου ὁ Ἡγούμενος σὺν τῷ Διακ. καὶ ὑποδιακ. καὶ κληρικοῖς ἐνδύεται ἱεραρχικῶς, καὶ ἔπειτα πάντες κατά τε βαθμὸν, καὶ τάξιν προπορευόμενοι τοῦ Ἡγουμένου, ᾄδουσι τὸν ψαλ. ρμβ'. Κύριε εἰσάκ. ἐξερχόμενοι δὲ τῆς πύλης κατὰ τὸ ἔθος, ἵστανται πρὸ τῆς μεγάλης θύρας τῆς ἐκκλησίας, κἀκεῖ ὁ διακ. μετὰ τὸ θυμιᾶν τὸν ἡγούμενον, καὶ πάντας τοὺς ἄλλους, ἐκφώνως λέγει ἐκ γ'. Εὐλόγησον δέσποτα.

Ἐν οἷς δὲ τόποις εἴθισται τὸ πῦρ εὐλογεῖν, εὐλογείσθω ὑπὸ τοῦ ἡγουμένου, πρὸ τοῦ Διάκονον θυμιᾶν, καὶ ἡ εὐχὴ ἐστὶ ἐν τῷ τέλ. τοῦ Ὡρολογ. κἀκ τοῦ πυρὸς τοῦ εὐλογηθέντος λαμβανέσθωσαν οἱ ἄνθρωποι πρὸς τὴν τοῦ θυμιάματος ὑπηρεσίαν, εἶτα λεγέσθω τὸ, Εὐλόγησον δέσποτα, καὶ

ὁ Ἡγούμενος.

Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ὁ χορὸς ἀποκρίνεται. Ἀμήν.

Εἶτα

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Εἶτα ὁ Ἡγούμενος.

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.

Καὶ ὁ χορὸς ἀποκρίνεται. Χριστὸς ἀνέστη ἐκ νεκρῶν.

Καὶ πάλιν ὁ ἡγούμ. Χριστὸς ἀνέστη.

Καὶ πάλιν ὁ χορ. Χριστὸς ἀνέστη.

Καὶ ὁ ἡγούμ. πάλιν. Χριστὸς ἀνέστη.

Καὶ ὁμοίως ὁ χορ. πάλιν λέγει. Χριστὸς ἀνέστη.

Εἶτα ὁ ἡγούμ. στίχ. εἰς ἦχ. πλ. α΄. Αὕτη ἡμέρα ἣν ἐποίησεν ὁ κύριος ἀγαλλιασώμεθα, καὶ εὐφρανθῶμεν ἐν αὐτῇ, ὦ Κύριε σῶσον δή, ὦ Κύριε εὐόδωσον δή, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου, εὐλογήκαμεν ὑμᾶς ἐξ οἴκου κυρίου, Θεὸς κύριος καὶ ἐπέφανεν ἡμῖν.

Ἀποκρίνεται ὁ χορὸς. Χριστὸς ἀνέστη ἐκ νεκρῶν θανάτῳ.

Εἶτα ὁ ἡγούμ. στίχ. Συστήσασθε ἑορτὴν ἐν τοῖς πυκάζουσιν, ἕως τῶν κεράτων τοῦ θυσιαστηρίου, Θεός μου εἶ σὺ, καὶ ἐξομολογήσομαί σοι, Θεός μου εἶ σὺ καὶ ὑψώσω σε, ἐξομολογήσομαί σοι ὅτι ἐπήκουσάς μου, καὶ ἐγένου μοι εἰς σωτηρίαν. ἐξομολογεῖσθε τῷ κυρίῳ ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Καὶ ὁ χορ. Χριστὸς ἀνέστη.

Ὁ ἡγούμενος δὲ, Δόξα Πατρὶ, καὶ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν, καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισά-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

στάμενος. ὁ χορ. Χριστὸς ἀνέστη ἐκ νεκρῶν.

Καὶ ὁ ἡγούμενος, Χριστὸς ἀνέστη ἐκ νεκρῶν θανάτῳ θάνατον πατήσας.

Ὁ χορὸς, Καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.

Ὁ ἡγούμενος, Καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.

Καὶ ἔπειτα ὁ ἡγούμενος τῇ βακτηρίᾳ τοῦ σταυροῦ κτυπεῖ τὴν πύλην λέγων ἐκφώνως, Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης. καὶ πάλιν κτυπεῖ, καὶ λέγει, Ἄρατε πύλας οἱ ἄρχοντες. καὶ ὁμοίως πάλιν κτυπεῖ λέγων, Ἄρατε πύλας, καὶ τότε οἱ ἔσωθεν τῆς ἐκκλησίας ἑστῶτες, ἀποκρίνονται ἐκφώνως, Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης. καὶ ὁ ἡγούμενος λέγει, Κύριος τῶν δυνάμεων αὐτὸς ἐστιν ὁ βασιλεὺς τῆς δόξης. καὶ ἀνοίγουσι τὴν πύλην, καὶ εἰσελθόντες ψάλλουσι τὸν καν. εἰς ἦχ. α'. καὶ διατηρούμεν τοὺς εἰρμοὺς εἰς καταβασ.

ᾠδ. α'.

Ἀναστάσεως ἡμέρα λαμπρυνθῶμεν λαοὶ, πάσχα κυρίου πάσχα, ἐκ γὰρ θανάτου πρὸς ζωὴν, καὶ ἐκ γῆς πρὸς οὐρανὸν Χριστὸς ὁ Θεὸς ἡμᾶς διεβίβασεν, ἐπινίκιον ᾄδοντας.

Καθαρθῶμεν τὰς αἰσθήσεις, καὶ ὀψώμεθα τῷ ἀπροσίτῳ φωτὶ τῆς ἀναστάσεως Χριστὸν, ἐξαστράπτοντα καὶ

χαί-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

χαίρετε φάσκοντα, τρανῶς ἀκουσώμεθα ἐπινίκιον ᾄδοντες.

Οὐρανοὶ μὲν ἐπαξίως εὐφραινέσθωσαν, γῆ δὲ ἀγαλλιάσθω· ἑορταζέτω κόσμος ὁρατός τε ἅπας καὶ ἀόρατος. Χριστὸς γὰρ ἐγήγερται, εὐφροσύνη αἰώνιος.

ᾨδ. γ'.

Δεῦτε πόμα πίωμεν καινόν, οὐκ ἐκ πέτρας ἀγόνου τερατουργούμενον, ἀλλ' ἀφθαρσίας πηγὴν ἐκ τάφου ὀμβρήσαντος Χριστοῦ, ἐν ᾧ στερεούμεθα.

Νῦν πάντα πεπλήρωται φωτός, οὐρανός τε καὶ γῆ, καὶ τὰ καταχθόνια· ἑορταζέτω δὲ πᾶσα ἡ κτίσις τὴν ἔγερσιν Χριστοῦ, ἐν ᾗ ἐστερέωται.

Χθὲς συνεθαπτόμην σοι Χριστέ, συνεγείρομαι σήμερον ἀναστάντι σοι, συνεσταυρούμην σοι χθές, αὐτός με συνδόξασον σωτὴρ ἐν τῇ βασιλείᾳ σου.

Ἡ ὑπακοὴ ἦχ. δ'.

Προλαβοῦσαι τὸν ὄρθρον αἱ περὶ Μαριάμ, καὶ εὑροῦσαι τὸν λίθον, ἀποκυλισθέντα τοῦ μνήματος, ἤκουον ἐκ τοῦ ἀγγέλου, τὸν ἐν φωτὶ ἀϊδίῳ ὑπάρχοντα, μετὰ τῶν νεκρῶν τί ζητεῖτε ὡς ἄνθρωπον; βλέπετε τὰ ἐντάφια σπάργανα, δράμετε καὶ τῷ κόσμῳ κηρύξατε, ὅτι ἠγέρθη ὁ κύριος θανατώσας τὸν θάνατον. ὅτι ὑπάρχει Θεοῦ υἱὸς τοῦ σώζοντος τὸ γένος τῶν ἀνθρώπων.

Καθ. ἦχ. α'.

Τῇ τοῦ πάσχα ἡμέρᾳ εὐφρανθῶμεν φιλέορτοι, ὅτι ἐν αὐτῇ προσηλώθη ἡ ζωὴ τῶν ἁπάντων. παράδεισον

ἠνέῳ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ἠνέῳξας σωτὴρ τῷ πιστῷ προσελθόντι σοι λῃστῇ, καὶ τρυφῆς κατηξιώθη ὁμολογῶν σοι κύριε, δέξαι ὥσπερ ἐκεῖνον, καὶ ἡμᾶς κραυγάζοντας, ἡμάρτομεν πάντες τῇ εὐσπλαγχνίᾳ σου, μὴ ὑπερίδῃς ἡμᾶς. ᾠδ. δ'.

Ἐπὶ τῆς θείας φυλακῆς ὁ θεηγόρος ἀββακοὺμ, στήτω μεθ' ἡμῶν, καὶ δεικνύτω φαεσφόρον ἄγγελον. διαπρυσίως λέγοντα, σήμερον σωτηρία τῷ κόσμῳ, ὅτι ἀνέστη Χριστὸς ὡς παντοδύναμος.

Ἄρσεν μὲν ὡς διανοῖξαν τὴν παρθενεύουσαν νηδὺν πέφυκε Χριστὸς, ὡς βροτὸς δὲ ἀμνὸς προσηγόρευται, ἄμωμος δὲ ὡς ἄγευστος κηλῖδος, τὸ ἡμέτερον πάσχα. καὶ ὡς Θεὸς ἀληθὴς τέλειος λέλεκται.

Ὡς ἐνιαύσιος ἀμνὸς, ὁ εὐλογημένος ἡμῖν, στέφανος Χριστὸς ἑκουσίως ὑπὲρ πάντων τέθυται. πάσχα τὸ καθαρτήριον, καὶ αὖθις ἐκ τοῦ τάφου ὡραῖος δικαιοσύνης ἡμῖν ἔλαμψεν ἥλιος.

Ὁ θεοπάτωρ μὲν δαβὶδ πρὸ τῆς σκιώδους κιβωτοῦ, ἥλλατο σκιρτῶν, ὁ λαὸς δὲ τοῦ Θεοῦ ὁ ἅγιος, τὴν τῶν συμβόλων ἔκβασιν, ὁρῶντες, εὐφρανθῶμεν ἐνθέως, ὅτι ἀνέστη Χριστὸς ὡς παντοδύναμος.

ᾠδ. ε'.

Ὀρθρίσωμεν ὄρθρου βαθέως, καὶ ἀντὶ μύρου τὸν ὕμνον προσοίσωμεν τῷ δεσπότῃ, καὶ Χριστὸν ὀψόμεθα δικαιοσύνης ἥλιον, πᾶσι ζωὴν ἀνατέλλοντα.

Τὴν ἀμέτρητόν σου εὐσπλαγχνίαν οἱ ταῖς τοῦ ᾅδου σειραῖς συνεχόμενοι, δεδορκότες πρὸς τὸ φῶς ὑπήγοντο.

Χρι-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Χριστὲ ἀγαλλομένῳ ποδὶ, πάσχα κροτοῦντες αἰώνιον.
Προσέλθωμεν λαμπαδηφόροι, τῷ προϊόντι Χριστῷ ἐκ τοῦ μνήματος, ὡς νυμφίῳ, καὶ συνεορτάσωμεν ταῖς φιλεόρτοις τάξεσιν πάσχα Θεοῦ τὸ σωτήριον.

ᾠδ. ϛ΄.

ΚΑτῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς, καὶ συνέτριψας μοχλοὺς αἰωνίους κατόχους πεπεδημένους Χριστὲ, καὶ τριήμερος, ὡς ἐκ κήτους Ἰωνᾶς, ἐξανέστης τοῦ τάφου.
Φυλάξας τὰ σήμαντρα σῶα Χριστὲ, ἐξανέστης τοῦ τάφου, ὁ τὰς κλεῖς τῆς παρθένου μὴ λυμηνάμενος ἐν τῷ τόκῳ σου, καὶ ἠνέῳξας ἡμῖν παραδείσου τὰς πύλας.
Σῶτερ μου τὸ ζῶν τε, καὶ ἄθυτον ἱερεῖον, ὡς Θεὸς σεαυτὸν ἑκουσίως, προσαγαγὼν τῷ πατρὶ, συνανέστησας παγγενῆ τὸν Ἀδὰμ ἀναστὰς ἐκ τοῦ τάφου.

Κοντάκ. ἦχ. πλ. δ΄.

Εἰ καὶ ἐν τάφῳ κατῆλθες ἀθάνατε, ἀλλὰ τοῦ ᾅδου καθεῖλες τὴν δύναμιν, καὶ ἀνέστης ὡς νικητὴς Χριστὲ ὁ Θεὸς, γυναιξὶ μυροφόροις τὸ χαῖρε φθεγξάμενος, καὶ τοῖς σοῖς ἀποστόλοις, εἰρήνην δωρούμενος, ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.

ὁ οἶκος.

Τὸν πρὸ ἡλίου ἥλιον, δύναντα ποτὲ ἐν τάφῳ προέφθασαν πρὸς ὄρθρον, ἐκζητοῦσαι ὡς ἡμέραν μυροφόροι κόραι. καὶ πρὸς ἀλλήλας ἐβόων, ὦ φίλαι δεῦτε τοῖς ἀρώμασιν ὑπαλείψωμεν σῶμα ζωηφόρον καὶ τεθαμμένον, σάρκα ἀνιστῶσαν τὸν παραπεσόντα Ἀδὰμ, κείμενον ἐν τῷ μνήματι, δράμωμεν καὶ ἀπελθωμεν



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

σωμεν ὥσπερ οἱ μάγοι, καὶ προσκυνήσωμεν, καὶ προσκομίσωμεν τὰ μύρα ὡς δῶρα, τῷ μὴ ἐν σπαργάνοις ἀλλ' ἐν σινδόνι ἐνειλημμένῳ. καὶ κλαύσωμεν, καὶ κράξωμεν, ὦ δέσποτα ἐξεγέρθητι, ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν. Καὶ εὐθὺς ὁ ἡγούμενος εἰς τὸ δεξιὸν μέρος τοῦ θυσιαστηρίου λέγει. Τὸ εὐαγγ. κατὰ Μαρκ. Τῷ καιρῷ ἐκείνῳ, διαγενομένου τοῦ Σαββάτου Μαρία ἡ Μαγδ. ζήτ. ἑωθ. β'. καὶ εἰς τὸ τέλ. τοῦ εὐαγγ. ἀμέσως λέγεται ἐκ. γ'. Ἀνάστασιν Χριστοῦ θεασάμενοι. ὡς εἰς φύλλ. 58. εἶτα ᾠδ. ζ.

Ο Παῖδας ἐν καμίνῳ ῥυσάμενος, γενόμενος ἄνθρωπος. Πάσχει ὡς θνητὸς, καὶ διὰ πάθους τὸ θνητὸν, ἀφθαρσίας ἐνδύει εὐπρέπειαν, ὁ μόνος εὐλογητὸς τῶν πατέρων θεὸς, καὶ ὑπερένδοξος.

Γυναῖκες μετὰ μύρων θεόφρονες, ὀπίσω σου ἔδραμον, ὃν δὲ ὡς θνητὸν μετὰ δακρύων ἐζήτουν, προσεκύνησαν χαίρουσαι ζῶντα θεὸν, καὶ πάσχα τὸ μυστικὸν, σοῖς Χριστὲ μαθηταῖς εὐηγγελίσαντο.

Θανάτου ἑορτάζομεν νέκρωσιν, ᾅδου τὴν καθαίρεσιν, ἄλλης βιοτῆς τῆς αἰωνίου ἀπαρχὴν, καὶ σκιρτῶντες, ὑμνοῦμεν τὸν αἴτιον, τὸν μόνον εὐλογητὸν τῶν πατέρων θεὸν, καὶ ὑπερένδοξον.

Ὡς ὄντως ἱερὰ καὶ πανέορτος, αὕτη ἡ σωτήριος νὺξ καὶ φωταυγὴς τῆς λαμπροφόρου ἡμέρας, τῆς ἐγέρσεως οὖσα προάγγελος, ἐν ᾗ τὸ ἄχρονον φῶς ἐκ τάφου σωματικῶς πᾶσιν ἐπέλαμψεν.

ᾠδ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ᾠδ. η'.

Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα, ἡ μία τῶν σαββάτων, ἡ βασιλὶς καὶ κυρία ἑορτῶν ἑορτή, καὶ πανήγυρις ἐστὶ πανηγύρεων, ἐν ᾗ εὐλογοῦμεν Χριστὸν εἰς τοὺς αἰῶνας.

Δεῦτε τοῦ καινοῦ τῆς ἀμπέλου γεννήματος τῆς θείας εὐφροσύνης, ἐν τῇ εὐσήμῳ ἡμέρᾳ τῆς ἐγέρσεως, βασιλείας τε Χριστοῦ κοινωνήσωμεν, ὑμνοῦντες αὐτὸν ὡς θεὸν εἰς τοὺς αἰῶνας.

Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου Σιὼν καὶ ἴδε, ἰδοὺ γὰρ ἥκασί σοι, θεοφεγγεῖς ὡς φωστῆρες ἐκ δυσμῶν, καὶ βορρᾶ καὶ θαλάσσης, καὶ ἑώας τὰ τέκνα σου, ἐν σοὶ εὐλογοῦντα Χριστὸν εἰς τοὺς αἰῶνας.

Πάτερ παντοκράτορ, καὶ λόγε, καὶ πνεῦμα, τρισὶν ἑνιζομένη ἐν ὑποστάσεσι, φύσις ὑπερούσιε, καὶ ὑπέρθεε, εἰς σὲ βεβαπτίσμεθα, καὶ σὲ εὐλογοῦμεν ἀεὶ εἰς τοὺς αἰῶνας.

Καὶ στὰς ὁ ἡγούμενος ἐν τῷ μέσῳ τοῦ θυσιαστηρίου λαμβάνει τὸ τρικήριον, καὶ σφραγίζων τρεῖς σταυροειδῶς λέγει.

ᾠδ. θ'.

Φωτίζου φωτίζου ἡ νέα Ἱερουσαλήμ. (Καὶ ὁ χορὸς ἀκολουθεῖ.) Ἡ γὰρ δόξα κυρίου ἐπὶ σὲ ἀνέτειλεν, χόρευε νῦν καὶ ἀγάλλου Σιών, σὺ δὲ ἁγνὴ τέρπου θεοτόκε ἐν τῇ ἐγέρσει τοῦ τόκου σου. μεγαλω.

Χριστὸς τὸ καινὸν πάσχα, τὸ ζωόθυτον θῦμα, ἀμνὸς θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου.

Ὢ θείας

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὢ θείας, ὢ φίλης, ὢ γλυκυτάτης σου φωνῆς, μεθ' ἡμῶν ἀψευδῶς γὰρ ἐπηγγείλω ἔσεσθαι, μέχρι τερμάτων αἰῶνος Χριστὲ, ἣν οἱ πιστοὶ, ἄγκυραν ἐλπίδος κατέχοντες ἀγαλλώμεθα. μεγαλυν.

Ὁ ἄγγελος ἐβόα τῇ κεχαριτωμένῃ, χαῖρε, παρθένε χαῖρε, καὶ πάλιν ἐρῶ χαῖρε. ὁ σὸς Υἱὸς ἀνέστη τριήμερος ἐκ τάφου, καὶ τοὺς νεκροὺς ἐγείρας λαοὶ ἀγαλλιᾶσθε.

Ὢ πάσχα τὸ μέγα, καὶ ἱερώτατον Χριστὲ, ὢ σοφία καὶ λόγε τοῦ Θεοῦ καὶ δύναμις, δίδου ἡμῖν ἐκτυπώτερόν σου μετασχεῖν ἐν τῇ ἀνεσπέρῳ ἡμέρᾳ τῆς βασιλείας σου.

Ἐξαποστ. πρὸς Ἐπεσκέψατο.

Σαρκὶ ὑπνώσας ὡς θνητὸς, ὁ βασιλεὺς καὶ κύριος, τριήμερος ἐξανέστης, Ἀδὰμ ἐγείρας ἐκ φθορᾶς, καὶ καταργήσας θάνατον, πάσχα θεῖον καὶ μέγα τοῦ κόσμου σωτήριον.

Σὺν ἀποστόλοις καὶ ἡμεῖς, δεῦτε Χριστὸν ὀψώμεθα, ἐξεγηγερμένον ἐκ τάφου, καὶ λαμπρότητι ψυχῆς ἀλλήλους ἀσπασώμεθα. δόξα σῶτερ βοῶντες τῇ θείᾳ ἐγέρσει σου.

Εἰς τοὺς αἶν. τὸ Πᾶσα πνοὴ εἰς ἦχ. α'. καὶ ψάλλονται τὰ παρόντα στιχ. ἀναστ. ἦχ. α'.

Ὑμνοῦμέν σου Χριστὲ, τὸ σωτήριον πάθος, καὶ δοξάζομέν σου τὴν ἀνάστασιν.

Ὁ σταυρὸν ὑπομείνας καὶ τὸν θάνατον καταργήσας, καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν, εἰρήνευσον ἡμῶν τὴν ζωὴν κύριε, ὡς μόνος παντοδύναμος.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὁ τὸν ᾅδην σκυλεύσας, καὶ τὸν ἄνθρωπον ἀναστήσας τῇ ἀναστάσει σου Χριστὲ, ἀξίωσον ἡμᾶς ἐν καθαρᾷ καρδίᾳ ὑμνεῖν, καὶ δοξάζειν σε.

Τὴν θεοπρεπῆ σου συγκατάβασιν δοξάζοντες, ὑμνοῦμέν σε Χριστὲ ἐκ παρθένου, καὶ ἀχώριστος ὑπῆρχες τῷ πατρὶ, ἔπαθες ὡς ἄνθρωπος, καὶ ἑκουσίως ὑπέμεινας σταυρὸν, ἀνέστης ἐκ τοῦ τάφου, ὡς ἐκ παστάδος προελθὼν, ἵνα σώσῃς τὸν κόσμον κύριε δόξα σοι.

Εἶτα λεγ. στίχ. εἰς ἦχ. πλα. α'.

Ἀναστήτω ὁ Θεὸς, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν.

Πάσχα ἱερὸν ἡμῖν σήμερον ἀναδέδεικται, πάσχα καινὸν ἅγιον, πάσχα μυστικὸν, πάσχα πανσεβάσμιον, πάσχα Χριστοῦ τοῦ λυτρωτοῦ, πάσχα ἄμωμον, πάσχα μέγα, πάσχα τῶν πιστῶν, πάσχα τὰς πύλας ἡμῖν τοῦ παραδείσου ἀνοῖξαν, πάσχα πάντας ἁγιάζον πιστούς.

στίχ.

Ὡς ἐκλείπει καπνὸς ἐκλιπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρὸς, οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν.

Δεῦτε ἀπὸ θέας γυναῖκες εὐαγγελίστριαι, καὶ τῇ Σιὼν εἴπατε, δέχου παρ' ἡμῶν χαρᾶς εὐαγγέλια τῆς ἀναστάσεως Χριστοῦ, τέρπου χόρευε, καὶ ἀγάλλου Ἱερουσαλὴμ, τὸν βασιλέα Χριστὸν θεασαμένη ἐκ τοῦ μνήματος

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

τος ὡς νυμφίον προερχόμενον. εἶτα ὁ ἡγούμενος καθέζεται ἔμπροσθεν τοῦ θυσιαστηρίου, ἐν τῷ μέσῳ κρατῶν τὸν τίμιον σαυρὸν, ἢ τὸ εὐαγγ. πάντες δὲ οἱ ἀδελφοὶ κατὰ βαθμὸν καὶ τάξιν, προσερχόμενοι, ἀσπάζονται πρῶτον τὸν τίμιον σαυρὸν, ἢ τὸ εὐαγγέλ. καὶ ἔπειτα τὸν ἡγούμενον, καὶ καθεξῆς ἀλλήλους ἐν φιλήματι ἁγίῳ, ὡς ἔθος. καὶ μετὰ ταῦτα, ὁ ἡγούμενος λέγει.

Δόξα καὶ νῦν ἦχ. πλα. α'.

Ἀναστάσεως ἡμέρα, καὶ λαμπρυνθῶμεν τῇ πανηγύρει, καὶ ἀλλήλους περιπτυξώμεθα, εἴπωμεν ἀδελφοὶ, καὶ τοῖς μισοῦσιν ἡμᾶς συγχωρήσωμεν πάντα τῇ ἀναστάσει, καὶ οὕτως βοήσωμεν. Χρισὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος. εἶτα ὁ ἡγουμ. λέγ. Ὅτι σοῦ ἐστιν ἡ βασιλ. καὶ ὁ χορ. τὸ τροπαρ. εἰς ἦχ. α'.
Τοῦ λίθου σφραγισθέντος. ἅπαξ. καὶ νῦν θεοτοκίον.
Τοῦ γαβριὴλ φθεγξαμένου σοι. ὡς φύλλ. 19. εἶτα ἡ συναπτὴ τῶν αἰτήσεων, ἡγουν, Πληρώσωμεν. καὶ ἡ εὐχὴ τοῦ ὄρθρου, καὶ εἰς τὸ τέλ. τῆς εὐχῆς, ὁ ἡγούμενος.
Δόξα σοι Ἰησοῦ Χρισέ. καὶ ἡ ἀπόλυσ. Ὁ ἀναςὰς ἐκ νεκρῶν. ζήτει φύλλ. 117.

Δεῖ δὲ εἰδέναι, ὅτι ἀπὸ ταύτης τῆς ἡμέρας τῆς ἁγίας, καὶ μεγάλης Κυριακῆς τοῦ πάσχα, μέχρι τοῦ σαββάτου τῆς διακαινησίμου, αἱ ὧραι οὕτω ψάλλονται.
Εὐλογημένη ἡ βασιλεία. Χρισὸς ἀνέστη ἐκ νεκρῶν.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

ἐκ γ'. καὶ ἔπειτα. Ἀνάστασιν Χριστοῦ θεασάμενοι· ζήτει φύλλ. 58. καὶ λέγεται ἐκ γ'.

Προλαβοῦσαι τὸν ὄρθρον αἱ περὶ Μαριὰμ, καὶ εὑροῦσαι τὸν λίθον ἀποκυλισθέντα τοῦ μνήματος, ἤκουον ἐκ τοῦ ἀγγέλου, τὸν ἐν φωτὶ ἀϊδίῳ ὑπάρχοντα μετὰ νεκρῶν, τί ζητεῖτε ὡς ἄνθρωπον; βλέπετε τὰ ἐντάφια σπάργανα, δράμετε καὶ τῷ κόσμῳ κηρύξατε, ὡς ἠγέρθη ὁ κύριος, θανατώσας τὸν θάνατον, ὅτι ὑπάρχει Θεοῦ υἱὸς τοῦ σώζοντος τὸ γένος τῶν ἀνθρώπων. ἐκ γ'.

Εἰ καὶ ἐν τάφῳ κατῆλθες ἀθάνατε, ἀλλὰ τοῦ ᾅδου καθεῖλες τὴν δύναμιν, καὶ ἀνέστης ὡς νικητὴς Χριστὲ ὁ Θεὸς, γυναιξὶ μυροφόροις φθεγξάμενος χαίρετε. καὶ τοῖς σοῖς ἀποστόλοις εἰρήνην δωρούμενος ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν. ἐκ γ'. ἦχ. δ'.

Ἐν τάφῳ σωματικῶς, ἐν ᾅδου δὲ μετὰ ψυχῆς ὡς Θεὸς, ἐν παραδείσῳ δὲ μετὰ λῃστοῦ, καὶ ἐν θρόνῳ ὑπῆρχες Χριστὲ, μετὰ πατρὸς καὶ πνεύματος, πάντα πληρῶν ὁ ἀπερίγραπτος. ἅπαξ. Δόξα.

Ὡς ζωηφόρος, ὡς παραδείσου ὡραιότερος, ὄντως καὶ παστάδος πάσης βασιλικῆς ἀναδέδεικται λαμπρότερος Χριστὲ ὁ τάφος σου, ἡ πηγὴ τῆς ἡμῶν ἀναστάσεως. καὶ νῦν.

Τὸ τοῦ ὑψίστου ἡγιασμένον θεῖον σκήνωμα, χαῖρε· διὰ σοῦ γὰρ δέδοται ἡ χαρὰ Θεοτόκε τοῖς κραυγάζουσιν, εὐλογημένη σὺ ἐν γυναιξὶ ὑπάρχεις, παναμώμε

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

με Δέσποινα. εἶτα Χριςὸς ἀνέςη ἐκ νεκρ. ἐκ γ'. Καὶ Ὅτι σοῦ ἐςιν. καὶ τὸ ἀπολυτ. μετὰ τ ἦχ. καὶ ἀπόλυσ. Εὐπρόσδεκτον.

Εἰς τὴν λειτ. ἀντὶ τοῦ τρισαγίου, λέγωμεν, Ὅσοι εἰς Χριςὸν ἐβαπτίσθ. προκ. ἦχ. πλ. δ'. Αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ κύριος ἀγαλλιασώμεθα, καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. σίχ. Ἐξομολογεῖσθε τῷ κυρίῳ ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ἀλλ. Σὺ κύριε ἀναςὰς οἰκτειρήσεις τὴν Σιὼν, ὅτι καιρὸς τοῦ οἰκτειρῆσαι αὐτὴν, ὅτι ἥκει καιρὸς. σίχ. Ἐξ οὐρανοῦ ἐπέβλεψεν ὁ κύριος, εἶδε πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων. Κοιν. Σῶμα Χριςοῦ μεταλάβετε, πηγῆς ἀθανάτου γεύσασθε, ἀλληλούϊα. Ἀντὶ δὲ τοῦ, Εἴη τὸ ὄνομα κυρίου, λέγεται τρὶς, Χριςὸς ἀνέςη. καὶ ὁμοίως εἰς τὴν τῆς τραπέζης εὐλογίαν, ψάλλ. τὸ αὐτό.

Τῇ αὐτῇ ἡμέρᾳ εἰς τὸ λυχνικὸν.

Μετὰ τὸ Εὐλόγησον Δέσποτα, καὶ τὸ Εὐλογημένη ἡ βασιλ. καὶ τὸ Ἀμὴν, ἀρχόμεθα ψάλλειν ὡς εἰς τὸν ὄρθρ. Χριςὸς ἀνέςη, καὶ ὅλην κατὰ τὴν τάξιν. Εἰς τὸ Ὅτι σοῦ ἐςιν, ᾄδεται τὸ, Κύριε ἐκέκραξα, εἰς ἦχ. β'. Εἶτα. σίχ. ς'. τοῦ ἀνας. καὶ Δόξα καὶ νῦν. Τὸν λόγον. Μετὰ τὸ Φῶς ἱλαρὸν, προκ. Τίς Θεὸς μέγ. Ἐγνώρησας. καὶ εὐθὺς τὸ Καταξίωσον. Πληρώσομεν, ὡς ἐν ταῖς Δεσποτικαῖς ἑορταῖς. Καὶ μετὰ τ Εὐχὴν, τὸ σιχηρὸν ἐκ τοῦ Ἀλφαβ. τοῦ ἀναςασ.

Ἡ ἀναςασίς σου Χριςὲ. καὶ σίχ. διαμέσως εἰς



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ἦχ. πλ. α'. Ἀναστήτω ὁ Θεὸς καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν. καὶ στιχ. Πάσχα ἱερὸν ἡμῖν σήμερ. ἕτερ. στίχ. Ὡς ἐκλείπει καπνός. καὶ στιχ. Δεῦτε ἀπὸ θέας γυναῖκες.

Δόξα καὶ νῦν. ἦχ. πλ. α'. Ἄγγελοι σκιρτήσατε, ἀγαλλιᾶσθε γηγενεῖς, βασιλεῖς ᾄσατε, καὶ ἀνυμνήσατε ἱερεῖς, πρεσβύται, νέοι πανηγυρήσατε λαμπρῶς· ὅτι ἀνέστη ὁ κύριος συνανασηστήσας τὸν Ἀδάμ, καὶ καθελὼν τὸν ᾅδην θεότητος ἰσχύϊ, καὶ κράτει ἐξουσίας. ὅθεν κροτοῦντες χεῖρας, ἐν ὕμνοις εἴπωμεν εὐφροσύνως, πάσχα κυρίου πάσχα. πάσχα χριστιανικώτατον καὶ λύπης ἡ ἀναίρεσις, καὶ κόσμου ἡ τερπνότης. πάσχα καινόν, πάσχα σεπτόν. πάσχα τῆς τριάδος τιμὴ καὶ θεία δόξα.

Χριστὸς ἀνέστη ἐκ νεκρῶν. ἐκ γ'. καὶ ἐπειτα ὁ ἱερεύς. Ὅτι σοῦ ἐστιν. εἶτα ὁ χορ. λέγει τὸ ἀπολυτ. εἰς ἦχ. β'. Ὅτε κατῆλθες. καὶ νῦν θεοτοκίον, Πάντα ὑπὲρ ἔννοιαν. καὶ Δόξα σοι Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν. καὶ ἀπόλυσ.

Εἰς τὸ ἀποδ. ὁ ἱερεύς. Εὐλογημένη ἡ βασιλ. καὶ ψάλλεται τὸ Χριστὸς ἀνέστη. σὺν τοῖς στιχ. κατὰ τάξιν καθὼς γέγραπται ἐν τῷ ὄρθρῳ. εἶτα ὁ καν. τῆς ἑορτ. ἤγουν, Ἀναστάσεως ἡμέρα. ἀπὸ ς'. τὸ κοντάκ. ἀλλ' ἀνοῦ τοῦ οἴκ. καὶ εἰς τὸ τέλος τοῦ καν. Χριστὸς ἀνέστη. ἐκ γ'. καὶ ἀμέσως ὁ ἱερεὺς λέγει, Ὅτι σοῦ, καὶ ᾄδεται

τὸ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

τὸ τροπ. σὺν τῷ θεοτοκίῳ αὐτῦ. Ὅτε κατῆλθες, καὶ εὐθὺς Δόξα σοι Ἰησῦ Χριστὲ. καὶ ἀπόλυσις. Αὕτη ἡ τάξις καὶ ἀκολυθ. τελεῖται. εἰς πᾶσαν τὴν ἑβδ. ταύτην, ἤγυν εἰς τὸ ἑσπερ. εἰς τὸ ἀπόδ. καὶ εἰς τὸν ὄρθρον.

Τῇ β'. τῆς διακαινησίμ. εἰς τὸν ὄρθρον.

Μετὰ τὸ Χριστὸς ἀνέστη, ὡς ἄνωθεν, καὶ τὸ Ὅτι σῦ ἐστὶν ἡ βασιλ. ἀπολυτ. Ὅτε κατῆλθ. καὶ θεοτοκίον. λέγεται ὁ καν. Ἀναστάσεως ἡμέρα, καὶ ἀπὸ γ'. ὑπακοὴ τῦ ἤχ. ἀπὸ ς'. κοντάκ. ἀπὸ θ'. ἐξαποστ. τῆς ἑορτ. Εἰς τὸν αἶν. στιχ. ς'. ἤγυν. δ'. τῦ ἀνας. καὶ δύο τῦ πάσχα, καὶ διαμέσ. στίχ. ἦχ. πλα. α'. Ἀναστήτω ὁ Θεός. καὶ δόξα καὶ νῦν ὡς ἐγράφη εἰς τὸν ὄρθρον τῦ πάσχα. καὶ ὁμοίως εἰς τὰς ὥρας.

Ιστέον ὡς εἴρηται, ὅτι αὕτη ἡ τάξις καὶ ἀκολυθία τελεῖται διὰ πᾶσαν τὴν ἑβδομ. ταύτην εἰς τὸ ἑσπερινὸν, εἰς τὸ ἀποδ. καὶ εἰς τὸν ὄρθρον. χωρὶς, ὅτι καθ' ἡμέραν ἀλλάττομεν ἦχ. τῇ γὰρ κυρ. ἑσπέρα ἔσαι ἦχ. β'. τῇ β'. ἑσπέρᾳ ἦχ. γ'. καὶ καθεξῆς ἕως τῦ η'. ἦχ. καὶ καθ' ἑκάστην ἡμέραν εἰς τὸν ὄρθρον λέγομεν τό, Ἀνάστασιν Χριστῦ θεασάμενοι, μετὰ τὸ κοντάκ. Ἀπὸ δὲ τῆς κυρ. τῦ θωμᾶ ψάλλομεν αὐτὸ περὶ τῦ πεντηκοστῦ καθεκάστην ἡμέραν ἄχρι τῆς Αναλήψεως, ὁμοίως καὶ τὸ Χριστὸς ἀνέστη εἰς τὸ ἑσπέρ. καὶ εἰς πᾶσαν τὴν ἀκολυθίαν. Εἰς τὴν λειτυργ. ἀντὶ τῦ τρισαγίυ λέγεται Ὅσοι εἰς Χριστὸν. καὶ ταῦτα μέχρι τῆς παραμονῆς τῆς Χριστῦ Αναλήψεως.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Τῇ β΄. εἰς τὴν λειτ.

Ψαλλ. τὸ Χριστὸς ἀνέστη, καὶ τὰ ἀντίφωνα ὡς ἐν κυρ. τοῦ ἁγ. Πάσχα. Προκ. εἰς ἀποστόλους. Κοινων. Σῶμα Χριστοῦ μεταλ.

Τῇ ἑσπ. ἦχ. γ΄. ὅλα ὡς ἄνω. Προκ. Ὁ Θεὸς ἡμῶν. στίχ. Ἐν ἐξόδῳ. Ἡ θάλασσα. Εἰς τὴν λειτ. Προκ. ἦχ. γ΄. Μεγαλυνεῖ. Ὅτι ἐπέβλεψεν. Ἀλλ. ἦχ. πλ. δ΄. Ἀνάστηθι κύριε εἰς τὴν ἀνάπαυσίν σου, σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου. στίχ. Ὤμωσε κύριος τῷ Δαβὶδ ἀλήθειαν, καὶ οὐ μὴ ἀθετήσει αὐτήν, ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου. Κοιν. Ποτήριον.

Τῇ γ΄. ἑσπ. ἦχ. δ΄. ὅλα ὡς ἄνω. Προκ. ἦχ. βαρ. Φωνῇ μου πρὸς κύριον ἐκέκραξα, φωνῇ μου πρὸς τὸν Θεόν, καὶ προσέσχε μοι. στίχ. Ἐν ἡμέρᾳ θλίψεώς μου τὸν Θεὸν ἐξεζήτησα, καὶ οὐκ ἠπατήθην. Εἰς τὴν λειτ. προκ. ἦχ. πλ. β΄. Μνησθήσομαι. Ἄκουσον θύγατερ. ἀλλ. Ἄκουσον θύγατ. Τὸ πρόσωπόν σου. Κοιν. Ποτήριον.

Τῇ δ΄. ἑσπ. ἦχ. πλ. α΄. ὅλα ὡς ἄνω. Προκ. ἦχ δ΄. Ἐνώτισαι ὁ Θεὸς τὴν προσευχήν μου, καὶ μὴ ὑπερίδῃς τὴν δέησίν μου. στίχ. Πρόσχες μοι, καὶ εἰσάκουσόν μου, ἐλυπήθην ἐν τῇ ἀδολεσχίᾳ μου, καὶ ἐταράχθην ἀπὸ φωνῆς ἐχθροῦ, καὶ ἀπὸ θλίψεως ἁμαρτωλοῦ. Εἰς τὴν λειτουργ. Προκ. ἦχ δ΄. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου κύριε... Εὐλόγει ἡ ψυχ. ἀλλ. Εἰς ἀπος. Ἐξομολογή-

λογήσονται οἱ οὐρανοὶ τὰ. Ο Θεὸς ἐνδοξαζ. Κοιν. Σῶμα Χριστοῦ.

Τῇ ε΄. ἑσπ. ὅλα ὡς ἄνω ἦχ. πλ. β΄. προκ. ἦχ. βαρ. Αγαπήσωσε κύριε ἡ ἰσχύς μου, κύριος στερεωμάμου, καὶ καταφυγήμου, καὶ ῥύστης μου. στίχ. Ο Θεός μου, καὶ ἐλπιῶ ἐπ' αὐτῷ, ὑπερασπιστής μου, καὶ κέρας σωτηρίας μου, καὶ ἀντιλήπτωρ μου. Εἰς τὴν λειτ. Προκείμ. Εἰς πᾶσαν. Οἱ οὐρανοὶ. Ἀλληλ. Αγαθὸν τὸ ἐξομ. Τοῦ ἀναγγέλλ. εἰς μάρτ. Κοινων. Σῶμα Χριστοῦ.

Τῇ ς΄. ἑσπ. ἦχ. πλ. δ΄. Προκ. Εδωκας κληρόνομίαν, τοῖς φοβουμένοις τὸ ὄνομάσου κύριε. Απὸ τῶν περάτων τῆς γῆς πρὸς σὲ ἐκέκραξα, ἐν τῷ ἀκηδιᾶσαι τὴν καρδίαν μου, ἐν πέτρᾳ ὕψωσάς με. Εἰς τὴν λειτουργ. προκ. ἦχ. γ΄. Κύριος φωτισμός μου καὶ σωτήρ μου, τίνα φοβηθήσομαι. στίχ. Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου, ἀπὸ τίνος δειλιάσω. Αλλ. Ο κύριος ἐβασίλευσεν εὐπρέπειαν ἐνεδύσατο, ἐνεδύσατο κύριος δύναμιν, καὶ περιεζώσατο. Καὶ γὰρ ἐστερ. Κοιν. Σῶμα.

ΣΑΒΒΑΤΩ ΤΗΣ ΔΙΑΚΑΙΝΗΣΙΜΟΥ.

Εἰ τὸ ἑσπ. ἀρχόμεθα ψάλλειν τὸ Εὐλόγει ἡ ψυχ. καὶ τὰ λοιπὰ, ὡς ἔθος. Οὐ στιχολογεῖται τὸ Μακάριος ἀνὴρ, ἕως τοῦ σαββ. τῶν ἁγ. πάντ. Εἰς τὸ Κύρ. ἐκέκ. ἰδιόμ. δ΄. τοῦ Θωμᾶ, καὶ Δόξακαὶνῦν. τοῦ αὐτοῦ. Προκ. Ο κύριος ἐβασίλ. στοπ. μόν. ἦχ. βαρ.

Εσφραγισμένου τοῦ μνήματος, ἡ ζωὴ ἐκ τάφου ἀνέτειλας Χριστὲ ὁ Θεὸς, καὶ τῶν θυρῶν κεκλεισμένων

τοῖς

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

τοῖς μαθηταῖς ἐπέσης ἡ πάντων ἀνάστασις. πνεῦμα εὐθὲς δι' αὐτῶν ἐγκαινίζων ἡμῖν, καὶ τὸ μέγα ἔλεος.

Εἰς τὸ ἀπόδ. στιχώδ. τοῦ Στουδ. ἕως τῆς κυρ. τῶν ἁγίων πάντ. Εἰς τὴν θ'. ᾠδ. μετὰ τὸ Μεγαλυνάρια, τὸ συναξάρ. τοῦ ἁγίου, ὅτι οὐκ ἄλλην τὴν μνήμην οὐκ ἑορτάζομεν ἐν ταῖς τοῦ Πεντηκος. Κυριακαῖς. Μετὰ τὴν θ'. ᾠδὴν, τὸ Χριστὸς ἀνέστη γ'. Δόξα καὶ νῦν, κύριε ἐλέησον κύριε εὐλόγ. τὸ, Πάτερ ἡμῶν, Τροπ. καὶ ἀπόλυσ. ἕως τῆς αὐτῆς κυρ. τῶν ἁγ. πάντ. ἐκτὸς ὅπου ἐστὶ τὸ στιχώδιον ἐκ τοῦ κανόνος.

Εἰς τὸν ὄρθρ. ἀρχόμεθα τὰ συνήθη τῆς Κυρ. ὡς ἐν τῇ Ἑρμηνείᾳ φύλλ. 492. οἱ ἀναβάθμ. τοῦ α'. ἤχου. Εὐαγγ. τό α'. Εωθ. Οἱ ἕνδεκα μαθ. μετὰ τὸ Ἀνάστασιν, καὶ τὸν Ν'. καὶ πεντηκος. τοῦ ἤχ. Ὁ κανὼν μόν. τοῦ Θωμᾶ. Κοντ. Τῇ φιλοπράγμονι δεξιᾷ τὴν ζωοπαρόχον σου πλευρὰν ὁ Θωμᾶς ἐξηρεύνησε, Χριστὲ ὁ Θεός. Συγκεκλεισμένων γὰρ τῶν θυρῶν, ὡς εἰσῆλθες, σὺν τοῖς λοιποῖς ἀποστόλοις ἐβόασοι, κύριος ὑπάρχεις καὶ Θεός μου. Εἰς τοὺς αἶν. τοῦ αὐτοῦ ἰδιόμ. δ'. καὶ Δόξα καὶ νῦν. Τροπ. Ἐσφραγισμ.

**Εἰς** τὴν λειτ. προκ. ἤχ. γ'. Μέγας κύριος. Ἀνάγνωσ. ζήτ. φύλλ. 23. Ἀλλ. Δεῦτε ἀγαλλιασώμεθα τῷ κυρίῳ, ἀλαλάξωμεν τῷ Θεῷ τῷ σωτῆρι ἡμῶν. στίχ. Ὅτι Θεὸς μέγας κύριος, καὶ βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. Κοιν. Ἐπαίνει Ἱερουσαλὴμ τὸν κύριον. αἴνει τὸν Θεόν σου Σιών.

Τῇ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Τῇ αὐτῇ Κυρ. τοῦ Θωμᾶ ἑσπ.

Πρόσ. β΄. τοῦ Θωμᾶ, καὶ πρόσ. β΄. τοῦ κατὰ τὴν ἡμέραν ἀγ. Δόξα τοῦ Θωμᾶ. Προκ. Τίς Θεὸς μέγας. Τροπ. τοῦ Θωμᾶ, τοῦ ἀγ. καὶ Θεοτοκ. τοῦ Τροπαρ. τοῦ ἀγ. Εἰς τὸ συνήθες Ἀπόδ. Τελώδ. τοῦ Πεντηκοσταρίου, ἕως τῆς Κυρ. τῶν ἁγ. Πάντ.

Εἰς τὸν ὄρθ. μετὰ τὸ ἐξάψαλμ. καὶ Τροπ. τοῦ ἑσπ. Τελώδ. ἐκ τοῦ ἀγ. Καν. εἰς γ΄. τροπ. τοῦ Θωμᾶ. Εἰς τὴν γ΄. ᾠδὴν, Καθ. τοῦ ἀγ. καὶ τὰ καθ. τῆς ἑβδομάδος τοῦ Πεντηκος. σὺν τοῖς στίχ. καθ. ἡμέραν. φύλλ. 62. ἤγουν τὸ πρῶτον, τοῦ ἀγ. Τὸ β΄. τοῦ αἰνας. τὸ γ΄. τῆς ἑβδομ. τὸ δ΄. μαρτυριακ. τὸ ε΄. Δόξα καὶ νῦν. τῆς Κυρ. τοῦ Θωμᾶ. καὶ οὕτως ἀκολουθοῦμεν ἕως τοῦ σαββ. ἀκαταπαύστως. Τῇ δ΄. δὲ, καὶ τῇ Παρασκευῇ ἐν τοῖς καθίσμασιν, καὶ εἰς τοὺς αἶν. τὰ σταυρώσιμα προηγοῦνται τοῖς ἀναστασίμοις. Εἰς τὴν ς΄. ᾠδὴν μετὰ τὸ Κοντ. τοῦ καν. καὶ τοῦ Τελώδ. Τὸ Ἀνάστασιν Χριστοῦ, καὶ Ὁ Ν΄. καὶ Πεντηκ. τῆς κυρ. εἶτα τὸ συναξ. καὶ τὰ ἑξῆς. Εἰς τοὺς αἶν. δ΄. στιχ΄. ὧν τὸ α΄. τοῦ ἀναστασίμου β΄. τῆς ἑβδομ. τὸ δ΄. μαρτυρ. Δόξα καὶ νῦν. τοῦ Θωμᾶ.

Εἰς τὴν λειτ. τοῦ ὅλου Πεντηκος. προκείμ. εἰς τοὺς αἶνος ὡς καὶ τὸ Ὅσοι εἰς Χριστὸν ἐβαπτ.

Τῇ παρασκευῇ ἑσπ. γ΄. ἰδιόμ. τοῦ Θωμᾶ, καὶ ἐν πρόσ. τοῦ ἀγ. Δόξα καὶ τοῦ Θωμᾶ. Τροπ. ὡς ἐν τῇ κυρ. ἑσπ. εἰς τὸν ὄρθ. ὡς ἔθος τῆς ἑβδομ. μόνον τὰ καθίσματα, καὶ στιχηρὰ εἰς τοὺς αἶν. ὅλα τοῦ ἀναστασ. Δόξα καὶ νῦν. τοῦ Θωμᾶ.

ΤΗ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου -
Μουσείο Τυπάλδων Ιακωβάτων

## ΤΗ Β'. ΚΥΡΙΑΚΗ ΑΠΟ ΤΟΥ ΠΑΣΧΑ, τῶν μυροφόρων.

Τῷ σαββ. ἑσπ. πρόσ. γ'. τῆς ἀναστ. ἦχ. β'. καὶ ἐν τῷ ἀγ. Δόξα καὶ. τῶν μυροφ. Τροπ. μόνον. εἰς ἦχ. β'. Ὁ εὐσχήμων Ἰωσὴφ ἀπὸ τοῦ ξύλου καθελὼν τὸ ἄχραντόν σου σῶμα, σινδόνι καθαρᾷ εἱλήσας, καὶ ἀρώμασιν ἐν μνήματι καινῷ κηδεύσας ἀπέθετο. Ἀλλὰ τριήμερος ἀνέστης Χριστὲ ὁ Θεὸς ἡμῶν, δωρούμενος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Θεοτοκίον. Ταῖς μυροφόροις γυναιξὶ παρὰ τὸ μνῆμα ἐπιστὰς ὁ ἄγγελος ἐβόα, τὰ μύρα τοῖς θνητοῖς ὑπάρχει ἁρμόδια. Χριστὸς δὲ ἐκ φθορᾶς ἐδείχθη ἀλλότριος, ἀλλὰ κραυγάσατε ἀνέστη ὁ κύριος, δωρούμενος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Εἰς τὸ ἀπόδ. ὡς ἔθ.

Εἰς τὸν ὄρθ. μετὰ τὰ συνήθη τῆς κυριακ. Εὐαγγ. ἑωθ. δ'. Τῇ μιᾷ. Κανὼν μόν. τῶν μυροφ. Εἰς τὴν γ' ᾠδ. μετὰ τὸ καθ. τῶν μυροφ. τὰ καθίσμ. τῆς ἀναστ. Κοντ. Τὸ χαῖρε ταῖς μυροφόροις προσέταξας, τὸν θρῆνον τῆς προμήτορος Εὔας κατέπαυσας τῇ ἀναστάσει σου Χριστὲ ὁ Θεός, τοῖς ἀποστόλοις δὲ τοῖς σοῖς κηρύττειν ἐπέταξας, ὁ σωτὴρ ἐξανέστη τοῦ μνήματος. Εἰς τοὺς αἶν. στιχ'. ς'. τῆς ἀναστ. Δόξα ἓν. τῶν μυροφ. Μετὰ τὴν δοξολογ. μεγ. Τροπ. τοῦ ἑσπ.

Εἰς τὴν λειτ. προκ. ἦχ. β'. Καυχήσονται ὅσιοι. Ἄσατε. φύλλ. 46. Ἀλλ. Εὐδόκησας κύριε τὴν



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

γῆν σε, ἀπέστρεψας τὴν αἰχμαλωσίαν Ἰακώβ. στιχ. Ἔλεος καὶ ἀλήθεια συνήντησαν, δικαιοσύνη καὶ εἰρήνη κατεφίλησαν. Κοιν. Αἰνεῖτε.

Ἐν ταύτῃ τῇ ἑβδ. ἕως τῆς ἀναλήψεως ὅλα συνήθως, ὡς ἐν τῇ ἑβδομ. παρελθούσῃ.

## ΚΥΡΙΑΚΗ ΤΡΙΤΗ ΜΕΤΑ ΤΟ ΠΑΣΧΑ τοῦ παραλύτου.

Τῷ σαββ. ἑσπ. ὡς ἐν παρελθόντι σαββ. τὰ ςοπ. τοῦ ἀνας. ἦχ. γ'.

Εἰς τὸν ὄρθ. ὡς ἔθ. Εὐαγγ. ἑωθ. ε'. Ὁ Πέτρος. τὰ λοιπὰ ὡς ἐν τῇ παρελθούσῃ κυρ. Κοντ. Τὴν ψυχήν μου κύριε ἐν ἁμαρτίαις παντοίαις, καὶ ἀτόποις πράξεσι δεινῶς παραλελυμένην, ἔγειρον τῇ θεϊκῇ σου ἐπιστασίᾳ, ὥσπερ καὶ τὸν παράλυτον ἤγειρας πάλαι, ἵνα κράζω σεσωσμένος, οἰκτίρμων, δόξα μοι Χριστὲ τὴν ἴασιν. Εἰς τὸ Δόξα εἰς τοὺς αἰῶ. τὸ τοῦ παραλύτ. καὶ νῦν Ὑπερευλογημ. Τροπ. Σήμερον σωτηρία.

Εἰς τὴν λειτ. προκ. τοῦ ἦχ. ἀλλ. ἦχ. πλ. δ'. Κύριε μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με. στίχ. Ἐλέησόν με κύριε ὅτι ἀσθενής εἰμι, ἴασαί με κύριε ὅτι ἐταράχθη τὰ ὀστᾶ μου. Κοιν. Αἰνεῖτε.

### Τῇ δ'. τῆς μεσοπεντηκοστῆς.

Τῇ γ'. ἑσπ. ἰδιόμ. δ'. τῆς μεσοπεντ. καὶ Δόξα καὶ νῦν. Προκείμ. Τίς Θεὸς μεγ. ἀναγνώσμ. γ'. Τροπ. ἦχ. πλ. δ'. Μεσούσης τῆς ἑορτῆς διψῶσαν μου, τὴν ψυχὴν ἄρδευ-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

εὐσεβείας πότισον νάματα. Ὅτι πᾶσι σῶτερ ἐβόησας, ὁ διψῶν ἐρχέσθω πρός με, καὶ πινέτω, ἡ πηγὴ τῆς ζωῆς ἡμῶν δόξα σοι. Εἰς τὸ ἀπόδ. ἀντὶ τοῦ μεσονυκτ. Τελῶδ. τοῦ ἁγ.

Εἰς τὸν ὄρθρ. ψαλμ. πα΄. Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ. καθ. φύλλ. 351. Πεντηκοσ. τοῦ ἀναστ. καὶ καν. μόν. τῆς μεσοπεντηκοστῆς. Κοντ. Τῆς ἑορτῆς τῆς νομικῆς μεσαζούσης, ὁ τῶν ἁπάντων ποιητὴς, καὶ δεσπότης πρὸς τοὺς παρόντας ἔλεγες, Χριστὲ ὁ Θεός. Δεῦτε καὶ ἀρύσασθε ὕδωρ ἀθανασίας. Ὅθεν σοὶ προσπίπτομεν, καὶ πιστῶς ἐκβοῶμεν, τοὺς οἰκτιρμούς σου δώρησαι ἡμῖν, σὺ γὰρ ὑπάρχεις, πηγὴ τῆς ζωῆς ἡμῶν. Εἰς τοὺς αἶν. ἰδιόμ. δ΄. καὶ Δόξα καὶ. τῆς μεσοπεντ.

Εἰς τὴν λειτ. προκ. ἦχ. γ΄. Μέγας κύριος. Αἰνεῖτε. φύλ. 23. Ἀλλ. Μνήσθητι κύριε. Ὁ δὲ Θεός. φύλλ. 33. Κοιν. Ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ εἶπεν ὁ κύριος.

Ταύτην τὴν ἑορτὴν ἀποδίδομεν τῷ σαββ. τῆς ἑβδόμ.

## ΚΥΡ. Δ΄. ΑΠΟ ΤΟΥ ΠΑΣΧΑ. τῆς σαμαρείτιδος.

Τῷ σαββ. ἑσπ. ὡς ἐν παρελθόντι σαββ. Δόξα καὶ. τῆς σαμαρειτ. Τροπ. τοῦ ἀνασ.

Εἰς τὸν ὄρθρ. μετὰ τὰ συνήθη τῆς κυριακῆς, Εὐαγγεάλθ. ζ΄. Τῇ μιᾷ δὲ τῶν σαβ. Καν. μόν. τῆς σαμαρειτ.

Κοντ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Κοντ. Πίστει ἐλθοῦσα ἐν τῷ φρέατι ἡ σαμαρεῖτις, ἐθεάσατο τὸ τῆς σοφίας ὕδωρ σε. ᾧ ποτισθεῖσα δαψιλῶς, βασιλείαν τὴν ἄνωθεν ἐκληρώσατο αἰωνίως ἡ ἀοίδιμος. Εἰς τοὺς αἴν. στίχ. ς'. τοῦ ἀνας. Δοξαστικ. τῆς σαμαρείτιδος. Τροπαρ. Ἀναστὰς ἐκ τοῦ τάφου.

Εἰς τὴν λειτ. πάντα τοῦ ἤχου.

ΚΥΡΙΑΚΗ Ε'. ΑΠΟ ΤΟΥ ΠΑΣΧΑ.

ἤγουν τοῦ Τυφλοῦ.

Τῷ σαββ. ἑσπ. γ'. τοῦ ἀνας. καὶ ἓν τοῦ καὶ τὴν ἡμέραν ἁγ. Δόξακαὶ. τοῦ τυφλοῦ. Ἀπόστ. τοῦ ἀνας.

Εἰς τὸν ὄρθ. ὡς ἔθ. Εὐαγγ. ἑωθ. η'. Τῷ καιρ. Μαρία εἱστήκει. Καν. μόν. τοῦ τυφλοῦ. Κοντ. Τῆς ψυχῆς τὰ ὄμματα πεπηρωμένος, σοὶ Χριστὲ προσέρχομαι, ὡς τυφλὸς ἐκ γενετῆς, ἐν μετανοίᾳ κραυγάζων σοι, σὺ τῶν ἐν σκότει τὸ φῶς τὸ ὑπέρλαμπρον. Εἰς τοὺς αἴν. τὰ τοῦ ἀναστασ. καὶ Δόξα τοῦ τυφλ. καὶ νῦν Ὑπερευλογημένη.

Εἰς τὴν λειτ. προκ. τοῦ ἤχ. Ἀλλ. ἤχ. πλ. δ'. Ἐπίβλεψον ἐπ' ἐμὲ, καὶ ἐλέησόν με, κατὰ τὸ κρίμα τῶν ἀγαπώντων τὸ ὄνομά σου. στίχ. Τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου, καὶ μὴ κατακυριευσάτω μου πᾶσα ἀνομία. Κοιν. Αἰνεῖτε τὸν κύριον.

Τῇ γ'. τῆς αὐτῆς ἑβδομ. εἰς τὸ ἑσπ. ἀποδίδοται ἡ πολ. καὶ πάντα τοῦ ἀνας.

Εἰς τὸ κύριε ἐκεκρ. στίχ. δ'. ἤγουν γ'. τοῦ ἀναστασ. καὶ ἓν τοῦ ἁγ. Δόξακαὶν. τοῦ Τυφλοῦ. Τροπ. μόν. τοῦ ἀνας.

Εἰς

Εἰς τὸν ὄρθ. κανόν. τοῦ Τυφλ. Εἰς τοὺς αἰν. ὅλα τοῦ ἀνας. Δόξα καὶ. τὸ ἀναλήψ. Ἐκ ἀπὸ ταύτης τῆς ἡμέρας, ἀναςάσιμον οὐ ψάλλεται ἕως τῆς Κυρ. τῶν ἁγ. πάντων.

Τῇ ε'. τῆς ς'. ἑβδομάδος.

## Η ΕΝΔΟΞΟΣ ΑΝΑΛΗΨΙΣ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Τῇ ἑσπ. ἰδιόμ. δ'. καὶ Δόξα καὶ. τῆς Ἀναλήψ. προκ. Ὁ κύριος ἐβασίλευσ. Ἀναγνώσμ. γ'. Μετὰ τὸ Νῦν ἀπολύεις τὸν δοῦλον σου, ἄρχεται τὸ ζισάμιον. Τροπάρ. ἦχ. δ'. Ἀνελήφθης ἐν δόξῃ Χριστὲ ὁ Θεὸς ἡμῶν, χαροποιήσας τοὺς μαθητὰς τῇ ἐπαγγελίᾳ τοῦ ἁγίου πνεύματος, βεβαιωθέντων αὐτῶν διὰ τῆς εὐλογίας, ὅτι σὺ ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ λυτρωτὴς τοῦ κόσμου. Ἀπόλυσις ἰδία. Εἰς τὸ ἀπόδειπ. Τριώδ. ἐκ τοῦ κανόνος τῆς ἑορτῆς.

Εἰς τὸν ὄρθρ. ἀντίφ. γ'.

Ψαλ. μς'. Πάντα τὰ ἔθνη. φύλλ. 300. ψαλ. κγ'. Τοῦ κυρίου ἡ γῆ, φύλλ. 270. ψαλ. νς'. Ἐλεησόν με ὁ Θεὸς ἐλεησ. φύλλ. 309. Κάθ. Ἀγγέλων θαυμαζόντων. Ἐκ νεότ. προκ. ἦχ. δ'. Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, κύριος ἐν φωνῇ σάλπιγγος. στίχ. Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας, ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως. τὸ πᾶσα πνοή. Εὐαγγ. Μάρκ. Τῷ καιρ. . . . Ἀναςὰς ὁ Ἰησοῦς ἑωθ. γ'. φύλλ. 454. Πεντηκος. εἰς Δόξα Ἐν. ἦχ. α'. Ὁ εἰς τὸν κόσμ.

Ὁ κα-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Ὁ κανὼν τῆς ἑορτῆς. Εἰς τοὺς αἶν. στιχ. καὶ Δόξα καὶ νῦν. τῆς αὐτῆς.

Εἰς τὴν λειτουργ. τὸ ζ. στιχ. προκ. ἦχ. βαρὺς, Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ Θεὸς, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου. στίχ. Ἑτοίμη ἡ καρδία μου ὁ Θεὸς, ἑτοίμη ἡ καρδία μου, ᾄσομαι, καὶ ψαλῶ ἐν τῇ δόξῃ μου. Ἀλλ. ἦχ. β'. Ἀνέβη ὁ Θεὸς. Πάντα τὰ ἔθνη, ὡς ἄνω εἰς τὸν ὄρθρ. Κοινων. Ἀνέβη ὁ Θεὸς, ὡς ἄνω.

Αὕτη ἡ ἑορτὴ ἑορτάζεται ἡμέρας θ'. καὶ ἀποδίδοται ἐν τῇ παρασκευῇ τῆς Πεντηκοστῆς.

Τῇ δὲ αὐτῇ ἡμέρᾳ τῆς ἑορτῆς, εἰς τὸ ἑσπέρας προσ. β'. τῆς ἑορτ. καὶ β'. τοῦ κατὰ τὴν ἡμέραν ἁγίου. Δόξα καὶ νῦν τῆς ἑορτῆς. Προκ. Ὁ Θεὸς ἡμῶν. Ἐν ἐξόδῳ. Τροπ. μόν. τῆς ἑορτῆς. Εἰς τὸ ἀπόδειπν. διὰ τὸ μεσονύκτιον, Τριῴδ. τοῦ ἁγίου.

Εἰς τὸν ὄρθρ. τὰ αὐτὰ Ἀντιφ. γ'. τῆς ἑορτ. κανὼν, στιχ. Δόξα καὶ νῦν. τῆς ἑορτῆς.

Εἰς ἀπόδοσιν τῆς ἑορτῆς, τῇ ε'. ἑσπέρας ἰδιόμελα γ'. τῆς ἑορτ. καὶ προσόμ. γ'. τοῦ καθ' ἡμέραν ἁγίου. Δόξα καὶ. τῆς ἑορτ. Τροπ. μόν. τῆς ἑορτ. Εἰς τὸ ἀπόδ. τοῦ ἁγίου. Εἰς τὸν ὄρθ. Ἀντίφ. γ'. τῆς ἑορτ. Κανὼν, σύντ. Δόξα καὶ ν. τῆς αὐτῆς.

## ΚΥΡΙΑΚΗ Ϛ'. ΤΩΝ ΑΓΙΩΝ ΠΑΤΕΡΩΝ.

Τῷ σαββ. ἑσπ. β'. τοῦ ἀναστ. ἦχ. πλ. β'. καὶ β'. ἰδιόμ. τῶν ἁγ. πατέρων. Δόξα καὶ νῦν. τῆς Ἀναλήψεως. Προκ. Ὁ κύριος ἐβασίλευσεν. Ἀναγνώσ-



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ματα γ΄. Ἀπολυτ. τῶν ἁγ. πατέρ. ἦχ. πλα. δ΄.

Ὑπερδεδοξασμένος εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ φωστῆρας ἐπὶ γῆς τοὺς πατέρας ἡμῶν θεμελιώσας. καὶ δι᾽ αὐτῶν πρὸς τὴν ἀληθινὴν πίστιν πάντας ἡμᾶς ὁδηγήσας, πολυεύσπλαγχνε δόξα σοι. καὶ τῆς Ἀναλήψ. μόνον. Ἀνελήφθης Χριστέ. Εἰς τὸ ἀπόσ. ἐκ τοῦ καν. τῆς αὐτῆς Ἀναλήψεως.

Εἰς τὸν ὄρθ. Τροπάρια τοῦ ἀναστάσ. καὶ τὰ τῆς ἑσπ. καὶ θεοτοκ. τοῦ ἀναστάσ. Μετὰ τὴν συνήθ. στιχολογίαν, Εὐαγγ. Ι΄. Τῷ καιρ. . . . ἐφανέρωσεν ἑαυτόν. Πεντηκ. τῆς ἀναλήψ. καὶ τῶν ἁγ. πατέρων, Ταῖς τῶν ἁγίων πατέρων πρεσβείαις. Καὶ νῦν. Ταῖς τῆς θεοτ. Τριῳδ. ἐκ τῆς Αναληψ. Καν. τῶν πατέρων. Κοντ. μόν. Τῶν πατέρων. Εἰς τοὺς αἶν. στιχηρ. δ΄. τοῦ ἀνασ. γ΄. τῆς ἀναλήψ. καὶ ἰδιόμ. ἓν τῶν πατέρων. Δόξα τῆς Ἀναλ. Καὶ νῦν. Ὑπερευλογημένη. Μετὰ τὸ Δόξα ἐν Ὑψίσ. Τροπ. μόν. τῆς ἀναλήψεως.

Εἰς τὴν λειτουργ. Προκ. ἦχ. δ΄. Εὐλογητὸς εἶ κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν, καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. στίχ. Ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν οἷς ἐποίησας ἡμῖν, καὶ πάντα τὰ ἔργα σου ἀληθινὰ, καὶ εὐθεῖαι αἱ ὁδοί σου. Ἀλλ. Θεὸς θεῶν κύριος ἐλάλησε, καὶ ἐκάλεσε τὴν γῆν, ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν. στίχ Συναγάγετε αὐτῷ τοὺς ὁσίους αὐτοῦ, τοὺς διατιθεμένους τὴν διαθήκην αὐτοῦ ἐπὶ θυσίαις. Κοινων. Αἰνεῖτε τὸν κύριον.

ΤΩ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ ΠΕΝΤΗΚΟΣΤΗΣ.

Ζήτει πᾶσαν ἀκολουθίαν, ὡς ἐστὶ ὑπογεγραμμένη ἐν τῷ Σαββάτῳ τῆς ἀποκρέω. ὁμοίως εἰς τὸ ἀπόδειπν. καὶ εἰς τὸν ὄρθρον.

Η ΑΓΙΑ ΠΕΝΤΗΚΟΣΤΗ.

Τῷ σαββ. ὀψὲ ἑσπ. ἰδιόμελα δ'. Ἀγνοοῦντα τὰ ἔθνη. Κύριε τοῦ παναγίου πνεύματος. Βασιλεῦ οὐράνιε, τοῦτο δυσωπεῖται. Δόξα καὶ νῦν, πάλιν τὸ αὐτό. Προκ. Ὁ κύριος ἐβασίλευσ. Ἀναγνώσμ. γ'. Τροπ. ἦχ. πλ. δ'. Εὐλογητὸς εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πανσόφους τοὺς ἁλιεῖς ἀναδείξας, καταπέμψας αὐτοῖς τὸ Πνεῦμα τὸ ἅγιον, καὶ δι' αὐτῶν τὴν οἰκουμένην σαγηνεύσας, φιλάνθρωπε δόξα σοι. Ἀπόλυσ. ἰδία.

Εἰς τὸ ἀπόδ. Τριῴδ. ἐκ τοῦ καν. τῆς ἑορτῆς, Πόντῳ ἐκάλυψε.

Εἰς τὸν ὄρθρ. ἀντίφωνα γ'.

Ψαλ. ν'. Ἐλέησόν με ὁ Θεὸς φύλλ. 137. ψαλ. ρμβ'. Κύριε εἰσάκουσον τῆς προσευχ. φύλλ. 9. ψαλ. ρμη'. Αἰνεῖτε τὸν κύριον. φύλλ. 89. Κάθ. Ἡ τοῦ Πνεύματος πηγή. τὸ Ἐκ νεότητ. Προκ. ἦχ. δ'. Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν, ὁδηγήσει με ἐν γῇ εὐθείᾳ. στίχ. Κύριε εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου. Πᾶσα πνοή. Εὐαγγ. Ἰωάν. Οὔσης ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ. τέλ. Ἄν τινων κρατεῖτε κεκράτηνται. Ἀνάστασιν Χριστοῦ οὐ λέγ. Πεντηκος. Ὁ τοῖς μαθηταῖς. φύλλ. 68. καὶ



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

ἀμέσως ὁ καν. Θείῳ καλυφθεὶς. Τὸ Ἅγιος κύριος οὐ λέγεται. Εἰς τοὺς αἴν. στιχ. καὶ Δόξα καὶ νῦν. Μετὰ τὸ ἀπολυτ. τὸ, Εἴπωμεν πάντες.

Εἰς τὴν λειτουργ. Προκ. εἰς ἀπος. ἦχ. πλ. δ'. Εἰς πᾶσαν τὴν γῆν. Οἱ οὐρανοί. Ἀλλ. ἦχ. α'. Τῷ λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν. στίχ. Ἐξ οὐρανοῦ ἐπέβλεψεν ὁ κύριος, εἶδε πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων. Κοινων. Τὸ Πνεῦμά σου τὸ ἀγαθόν.

Ἑορτὴ ὀκταήμερος.

Τῇ αὐτῇ κυριακῇ τῆς Πεντηκοστῆς ἑσπέρας, ἰδιόμ. δ'. Δόξα καὶ νῦν. Βασιλεῦ οὐράνιε. Προκ. Τίς Θεὸς μέγας. Τροπ. Εὐλογητὸς. Εἰς τὸ ἀπόδ. Τριῴδιον συνήθως τοῦ Πεντηκοσταρίου.

Εἰς τὸν ὄρθ. τῇ ἐπαύριον τῆς Ν'. Ἀντίφωνα γ'. ψαλ. ν'. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα. φύλλ. 137. ψαλ. ρμβ'. Κύριε εἰσάκουσ. φύλλ. 9. ψαλ. λβ'. Ἀγαλλιᾶσθε δίκαιοι. φ. 277. Καθ. ἦχ. πλ. δ'. Οἱ τοῦ σωτῆρος ἐρασ. Τριῴδ. τῆς ἑορτ. καὶ καν. τοῦ παναγίου Πνεύματος. εἰδὲ οὕτως οὐκ εὑρίσκεται, λέγομεν Τριῴδ. ἐκ τούτου τοῦ ὡρολογίου ἔξω τοῦ χοροῦ, καὶ κανόνα τῆς ἑορτῆς. Εἰς τοὺς αἴν. στιχ. καὶ Δόξα καὶ νῦν. τῆς ἑορτῆς.

Εἰς τὴν λειτουργ. Προκ. ἦχ. πλ. β'. Σῶσον κύριε. Πρὸς σὲ κύριε. φύλλ. 33. Ἀλλ. ἦχ. β'. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου. στίχ. Μὴ ἀποῤ-

ῥίψῃς

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμα σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ. Κοινων. Τὸ Πνεῦμα σου τὸ ἀγ.

Τῷ σαββάτῳ ἀποδίδομεν τὴν ἑορτήν. Τῇ οὖν παρασκευῇ ἑσπ. ψάλλονται πάντα ὡς προγέγραπται ἐν τῇ ἑορτῇ. Εἰς τὸ ἀπόδ. Τροπάρ. τοῦ ἁγ. τῆς ἡμέρ. Εἰς τὸν ὄρθρον πάντα ὡς ἐν τῇ ἑορτῇ, ὡς καὶ εἰς τὴν λειτουργίαν.

## ΚΥΡΙΑΚΗ ΤΩΝ ΑΓΙΩΝ ΠΑΝΤΩΝ.

Ἀρχόμεθα εἰς τὸ τοῦ σαββ. ὀψὲ ἑσπ. στιχολογεῖν τὸ Μακάριος ἀνήρ, ἤγουν τὸ α'. δόξα ὡς ἔθος. στιχηρὰ δὲ δ'. τουτέστι. β'. τοῦ ἀναστ. ἦχ. πλ. δ'. καὶ β'. προσ. τῶν ἁγ. Πάντων. Δόξα, Ἄγγελοι ἐν οὐρανῷ φύλλ. 178. Καὶ νῦν τὸ Δογματικόν. Ἀναγνώσμ. γ'. Τροπ. μόν. τῶν ἁγ. πάντων ἦχ. δ'. Τῶν ἐν ὅλῳ τῷ κόσμῳ μαρτύρων σου, ὡς πορφύραν καὶ βύσσον τὰ αἵματα ἡ ἐκκλησία σου στολισαμένη, δι' αὐτῶν βοᾷ σοι Χριστὲ ὁ Θεὸς ἡμῶν, τῷ λαῷ σου τοὺς οἰκτιρμούς σου κατάπεμψον, εἰρήνην τῇ πολιτείᾳ σου δώρησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος. Εἰς τὸ ἀπόδ. Τροπάρ. τῶν ἀγ. πάντων.

Εἰς τὸν ὄρθ. Τροπ. τοῦ ἀναστασ. τῶν ἁγ. πάντων, τοῦ ἁγ. (διὰ τὸ μεσονύκτ.) καὶ θεοτ. τοῦ ἀναστασ. Μετὰ τὴν συνήθ. στιχολογίαν. Εὐαγγ. τὸ α'. ἑωθινόν. κατὰ Ματθ. Οἱ ἕνδεκα. Μετὰ τὸν Ν'. πεντηκος. τοῦ ἤχου, Τροπάρ. τοῦ ἀναστ. Κανὼν τῶν ἁγ. πάντων. Ἀπὸ γ'.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

κάθ. μόν. τ῀ ἁγίων. ἀφ᾽ ς΄. τὸ Κοντάκ. Ἀπὸ θ΄. τὸ Ἅγιος κύριος, Ἐξαποστειλ. τῦ ἀναστ. καὶ τῶν ἁγ. πάντων. Εἰς τοὺς αἶν. στιχ΄. γ΄. τῦ ἀναστ. καὶ ἰδιόμ. γ΄. τῶν ἁγ. πάντων. Δόξα τὸ πρῶτον ἑωθινὸν. ἦχ. α΄. Εἰς τὸ ὄρθρ. καὶ νῦν Ὑπερευλογημ. Τροπ. μόν Τῶν ἐν ὅλῳ.

Εἰς τὴν λειτουργ. προκ. ἦχ. βαρ. Τοῖς ἁγίοις τοῖς. Περισσεῖ φύλλ. 40. Ἀλλ. Ἐκέκραξαν οἱ δίκαιοι, ζήτ. ἐκεῖ. Ὁ Θεὸς ἐνδοξαζόμενος ἐν βουλῇ ἁγίων, μέγας καὶ φοβερὸς ἐστιν ἐπὶ πάντας τοὺς περικύκλῳ αὐτοῦ. Κοινων. Ἀγαλλιᾶσθε.

Τῇ αὐτῇ κυριακῇ ἑσπέρᾳ.

Στιχηρὰ β΄. τὰ ἀνατολικὰ ἤχου πλ. δ΄. (ἅ ζήτ. εἰς τέλος τῶν ἀκολουθιῶν ἔξω τοῦ χοροῦ) καὶ β΄. τῦ κατὰ τὴν ἡμέραν ἁγίου. Δόξα τῶν ἁγ. πάντων. Τῇ ἠοῖ πανηγύρει προσδράμωμεν. Ἀπολυτ. τῶν ἁγ. πάντων μόνον. Καὶ οὕτω ἐκτελοῦμεν τὴν αὐτῶν πανήγυριν. Εἰς τὸν ὄρθ. τὸ συνήθες τῦ ἁγίου, ἢ τῆς ἑβδομάδος.

ΑΚΟ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΤΙΜΙΟΥ, ΚΑΙ ΑΧΡΑΝΤΟΥ ΣΩΜΑΤΟΣ,

Καὶ αἵματος τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Τῇ δ΄. ἑσπέρ. μετὰ τὴν ἑορτὴν τῶν ἁγίων πάντων, Εἰς τὸ κύριε ἐκέκ. στιχ΄. δ΄. καὶ ψάλλομεν τὰ παρόντα.

Ἰδιόμ. εἰς ἦχ. πλ. β΄. καὶ τὸ ἐν διαστέλετ.

Τὸ μέγα μυστήριον τῆς σῆς ἐνανθρωπήσεως, ὅτε τοῦ δείπνου συνανακειμένου σου τοῖς μύσταις φιλάνθρωπε, ἀνακαλύψας ἔφης, λάβετε ἄρτον ζωοποιὸν, τοῦτο μου ἐστὶ τὸ σῶμα, καὶ τὸ αἷμα τῆς ἀφθάρτου ζωῆς. Σκηνὴ ἐπουράνιος ἐδείχθη τὸ ἀνώγεον, ἔνθα τὸ πάσχα Χριστὸς ἐξετέλεσε, καὶ δεῖπνον ἀναίμακτον, καὶ λογικὴν λατρείαν. ἡ τράπεζα γὰρ τῶν ἐκεῖ τελεσθέντων μυστηρίων, νοητὸν θυσιαστήριον.

Τὰς χεῖρας ἐξέτεινας, ἐν αἷς τὸν ἄρτον ἔλαβες τῆς ἀφθαρσίας, λαβεῖν τὰ ἀργύρια, τὸ στόμα πρὸς φίλημα προσάγων δολιῶδες, ἐν ᾧ τὸ σῶμα, καὶ τὸ αἷμα τοῦ Χριστοῦ ὑπεδέξω. ἀλλ' οὐαί σοι ὡς φησὶν ὁ Χριστός.

Δόξα καὶ νῦν ἦχ. πλ. β΄.

Τὸ πάσχα Χριστὸς ἐστὶ τὸ μέγα καὶ σεβάσμιον, βρωθεὶς ὡς ἄρτος, τυθεὶς ὡς πρόβατον, αὐτὸς γὰρ ἀνήνεκται ὑπὲρ ἡμῶν θυσία. Αὐτοῦ τὸ σῶμα εὐσεβῶς, καὶ αὐτοῦ τὸ θεῖον αἷμα, μεταλάβωμεν πιστοὶ μυστικῶς.

Καὶ μετὰ τὸ Φῶς ἱλαρὸν, προκ. ἦχ. πλ. β΄.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Μακάριος ὁ συνιῶν ἐπὶ πτωχὸν καὶ πένητα ἐν ἡμέρᾳ πονηρᾷ, ῥύσεται αὐτὸν ὁ κύριος. στίχ. Ὁ ἐσθίων ἄρτους μου ἐμεγάλυνεν ἐπ᾽ ἐμὲ πτερνισμόν. στίχ. Ἐξεπορεύετο ἔξω, καὶ ἐλάλει ἐπὶ τὸ αὐτό. στίχ. Λόγον παράνομον κατέθεντο κατ᾽ ἐμοῦ. Εἶτα ἀναγν. γ᾽. τὸ α᾽. τῆς ἐξόδου. Εἶπεν ὁ κύριος πρὸς Μωσῆν, καταβὰς διαμάρτυραι, ζήτ. ἐν τῇ ἑσπ. τῆς μεγάλ. ε᾽. τὸ β᾽. Ἠσαΐου, Κύριος δίδωσί μοι γλῶσσαν, ζήτει ἐκεῖ. Τὸ γ᾽. Ἠσαΐου, Τάδε λέγει κύριος σαβαώθ, ἰδοὺ συνήσει ὁ παῖς. ζήτει ἐν τῇ ς᾽. ὥρᾳ τῆς μεγάλης παρασκ. ἐν τῷ Τριῳδ.

Ἀπολυτίκια ἦχ. πλ. δ᾽. Τοῦ δείπνου σου τοῦ μυστικοῦ σήμερον υἱὲ Θεοῦ κοινωνόν με παράλαβε, οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου τὸ μυστήριον εἴπω, οὐ φίλημά σοι δώσω καθάπερ ὁ Ἰούδας, ἀλλ᾽ ὡς ὁ λῃστὴς ὁμολογῶ σοι, μνήσθητί μου κύριε ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου.

Καὶ ἄλλο τοῦ αὐτοῦ ἦχ.

Ἡ τοῦ ἁγίου σου σώματος δωρεὰ, καὶ χάρις ἐφώτισε τοὺς ἁγίους σου μαθητὰς, καὶ ἀποστόλους, καὶ δι᾽ αὐτῶν τὴν οἰκουμένην πρὸς τὴν ὀρθόδοξον πίστιν ὡδήγησας, πολυεύσπλαγχνε δόξα σοι. τὰ αὐτὰ καὶ εἰς τὸ Θεὸς κύριος, καὶ εἰς τὰς λοιπ. ἀκολουθ. μέχρι τῆς ὀγδόης ἡμέρ.

Εἰς τὸ ἀπόδ. ὁ καν. ἦχ. β᾽. ᾠδ. α᾽. Δεῦτε λαοί.

Ἄρτος ζωῆς, αἰωνιζούσης γενέσθω μοι, τὸ σῶμά σου τὸ ἅγιον εὔσπλαγχνε κύριε, καὶ τὸ τίμιον αἷμα, καὶ νόσων πολυτρόπων ἀλεξητήριον.

Βεβη-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Βεβηλωθεὶς ἔργοις ἀτόποις ὁ δείλαιος, τοῦ σοῦ ἀχράντου σώματος, καὶ θείου αἵματος ἀνάξιος ὑπάρχω, Χριστὲ τῆς μετουσίας, ἧς με ἀξίωσον. Θεοτ.

Γῆ ἀγαθὴ εὐλογημένη θεόνυμφε, τὸν στάχυν ἡ βλαστήσασα τὸν ἀγεώργητον, καὶ σωτήριον κόσμῳ, ἀξίωσόν με τοῦτον τρώγοντα σώζεσθαι.

ᾨδ. γ'. Ἐν πέτρᾳ με τῆς πίστεως.

Δακρύων μοι παράσχου Χριστὲ ῥανίδας, τὸν ῥύπον τῆς καρδίας μου καθαιρούσας, ὡς ἂν εὐσυνειδότως κεκαθαρμένος, πίστει προσέρχομαι, καὶ φόβῳ δέσποτα, ἐν τῇ μεταλήψει τῶν θείων δώρων σου.

Εἰς ἄφεσιν γένοιτο μοι τῶν πταισμάτων, τὸ ἄχραντόν σου σῶμα καὶ θεῖον αἷμα, εἰς Πνεύματος ἁγίου τε κοινωνίαν, καὶ εἰς αἰώνιον ζωὴν φιλάνθρωπε, καὶ παθῶν καὶ θλίψεων ἀλλοτρίωσιν. Θεοτ.

Ζωῆς τοῦ ἄνωθεν δι' ἔλεον καταβάντος, καὶ κόσμῳ καινοτέραν ζωὴν διδόντος, κἀμὲ ἀξίωσον νῦν τὸν ἀνάξιον, μετὰ φόβου γεύσασθαι τούτου καὶ ζήσεσθαι.

ᾨδ. δ'. Ἐλήλυθας ἐκ παρθένου.

Ἠθέλησας δι' ἡμᾶς σαρκωθεὶς πολυέλεε τυθῆναι ὡς πρόβατον, διὰ βροτῶν ἁμαρτήματα. ὅθεν ἱκετεύω σε, καὶ τὰ ἐμὰ ἐξάλειψαι πλημμελήματα.

Θεράπευσον τῆς ψυχῆς μου τὰ τραύματα κύριε, καὶ ὅλον ἁγίασον, καὶ καταξίωσον δέσποτα ὅπως κοινωνήσω σου τοῦ μυστικοῦ θείου δείπνου ὁ ταλαίπωρος. Θ.

Ἱλέωσαι καὶ ἐμοὶ τὸν ἐκ σπλάγχνων σου δέσποινα, καὶ τήρει-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

τήρησον ἄῤῥυπον τὸν σὸν ἱκέτην καὶ ἄμεμπτον, ὅπως εἰσδεχόμενος τὸν νοητὸν μαργαρίτην, ἁγιάζωμαι.

ᾠδ. ε΄. Ὁ τοῦ φωτὸς χορηγός.

ΚΑθὼς προέφης Χριστὲ, γενέσθω δὴ τῷ εὐτελεῖ δούλῳ σου, καὶ ἐν ἐμοὶ μένον ὡς ὑπέσχου, ἰδοὺ γὰρ τὸ σῶμα τρώγω σου τὸ θεῖον, καὶ πίνω τὸ αἷμά σου.

Λόγε Θεοῦ καὶ Θεὲ, ὁ ἄνθραξ γένοιτο τοῦ σοῦ σώματος εἰς φωτισμὸν τῷ ἐσκοτισμένῳ ἐμοὶ, καὶ καθαρισμὸς τῆς βεβηλωθείσης ψυχῆς μου τὸ αἷμά σου. Θεοτ.

Μαρία μήτηρ Θεοῦ τῆς εὐωδίας τὸ σεπτὸν σκήνωμα, ταῖς σαῖς εὐχαῖς σκεῦος ἐκλογῆς με ἀπέργασαι, ὅπως τῶν ἁγιασμάτων μετέχω τοῦ τόκου σου.

ᾠδ. ς΄. Ἐν ἀβύσσῳ πταισμάτων.

ΝΟῦν ψυχὴν, καὶ καρδίαν ἁγίασον, σῶτερ, καὶ τὸ σῶμά μου, καὶ καταξίωσον, ἀκατακρίτως δέσποτα, τοῖς φρικτοῖς σου μυστηρίοις προσέρχεσθαι.

Ξενωθείην παθῶν, καὶ τῆς χάριτος, χοίην σου προσθήκην ζωῆς τε ἀσφάλειαν, διὰ τῆς μεταλήψεως τῶν ἁγίων Χριστὲ μυστηρίων σου. Θεοτ.

Ὁ Θεοῦ Θεὸς λόγος, ὁ ἅγιος, ὅλον με ἁγίασον προσερχόμενον νῦν, τοῖς θείοις μυστηρίοις σου, τῆς ἁγίας μητρός σου δεήσεσι.

Καθ. ἦχ. πλ. β΄.

Τὰς ἀνομίας μου πάριδε κύριε, ὁ ἐκ παρθένου τεχθεὶς, καὶ τὴν καρδίαν μου καθάρισον, ναὸν αὐτὴν ποιῶν τοῦ ἀχράντου σώματός σου, καὶ αἵματος, μή με ἐξουδενώ-

σης

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

σης ἀπὸ τοῦ σοῦ προσώπου, ὁ ἀμέτρητον ἔχων τὸ μέγα ἔλεος. (ἄνευ τοῦ συναξ.)

ᾠδ. ζ΄. Εἰκόνος χρυσῆς.

ΠΗγὴ ἀγαθῶν ἡ μετάληψις Χριστὲ τῶν ἀθανάτων σου νῦν μυστηρίων, γενηθήτω μοι φῶς καὶ ζωὴ καὶ ἀπάθεια, καὶ πρὸς ἀρετῆς θειοτέρας προκοπὴν, καὶ ἐπίδοσιν πρόξενος, μόνε ἀγαθὲ, ὅπως δοξάζω σε.

Ῥυσθείην παθῶν, καὶ ἐχθρῶν, καὶ ἀναγκῶν καὶ πάσης θλίψεως. τρόμῳ καὶ πόθῳ προσιόντα σοῦ δέξαι, μετ' εὐλαβείας φιλάνθρωπε, σοῦ τοῖς ἀθανάτοις, καὶ καὶ θείοις μυστηρίοις, τοῦ ψάλλειν σοι, εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν. Θεοτ.

Σωτῆρα Χριστὸν ἡ τεκοῦσα ὑπὲρ νοῦν θεοχαρίτωτε, ἐκδυσωπῶ σε νῦν ὁ δοῦλος σου τὴν καθαρὰν ἀκάθαρτος, μέλλοντά με νῦν τοῖς ἀχράντοις μυστηρίοις προσέρχεσθαι, κάθαρον ὅλον ἀναδεῖξαι μολυσμοῦ σαρκὸς καὶ πνεύματος.

ᾠδ. η΄. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

ΤΩν οὐρανίων καὶ φρικτῶν, καὶ ἁγίων σου Χριστὲ νῦν μυστηρίων, καὶ τοῦ θείου σου δείπνου καὶ μυστικοῦ κοινωνὸν γενέσθαι, κἀμὲ καταξίωσον τὸν ἀπεγνωσμένον ὁ Θεὸς ὁ σωτήρ μου.

Ὑπὸ τὴν σὴν καταφυγὴν καὶ εὐσπλαγχνίαν ἀγαθὲ κεκράζω σοι φόβῳ, ἐν ἐμοὶ μένειν σῶτερ, κἀγὼ ὡς ἔφης ἐν σοὶ, ἰδοὺ γὰρ θαρρῶν τῷ ἐλέει σου, τρώγω σου τὸ σῶμα, καὶ πίνω σου τὸ αἷμα. Θεοτ.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Φλέγω δεχόμενος τὸ πῦρ, μὴ φλεχθῶ ὡσεὶ κηρὸς καὶ ὡσεὶ χόρτος, ὢ φρικτοῦ μυστηρίου, ὢ εὐσπλαγχνίας Θεοῦ. πῶς θείου σώματος καὶ αἵματος ὁ πηλὸς μετέχω, καὶ ἄφθαρτος ποιοῦμαι.

ᾠδ. θ΄. Ἀνάρχου γεννήτορος.

Χριστός ἐστι γεύσασθε, καὶ ἴδετε ὁ κύριος δι᾿ ἡμᾶς καθ᾿ ἡμᾶς γὰρ πάλαι γενόμενος, ἅπαξ ἑαυτόν τε προσάξας, ὡς προσφορὰν πατρὶ τῷ ἰδίῳ, ἀεὶ σφαγιάζεται, ἁγιάζων τοὺς μετέχοντας.

Ψυχὴν σοῦ τῷ σώματι ἁγιασθείην δέσποτα, φωτισθείην, σωθείην, γενοίμην οἶκος σοῦ, τῇ τῶν μυστηρίων μεθέξει τῶν ἱερῶν, ἔνοικον σὲ ἔχων σὺν πατρὶ καὶ πνεύματι, εὐεργέτα πολυέλεε.

Ὡς πῦρ γενηθήτω μοι, καὶ ὡσεὶ φῶς τὸ σῶμα σοῦ καὶ τὸ αἷμα σωτήρ μου τὸ τιμιώτατον, φλέγον ἁμαρτίας τὴν ὕλην, καὶ ἐμπιπρῶν παθῶν τὰς ἀκάνθας, καὶ ὅλον φωτίζον με προσκυνεῖν σοῦ τὴν θεότητα. Θεοτ.

Θεὸς σεσωμάτωται ἐκ τῶν ἁγνῶν αἱμάτων σοῦ, ὅθεν πᾶσα ὑμνεῖ σε γενεὰ δέσποινα. νόων τε τὰ πλήθη δοξάζει ὡς διὰ σοῦ σαφῶς κατιδόντα, τὸν πάντων δεσπόζοντα οὐσιωθέντα τὸ ἀνθρώπινον.

Εἰς τὸν ὄρθρον Ἀντίφ. γ΄. ψαλ. κα΄. Ὁ Θεός. φύλλ. 266. ψαλ. μ΄. Μακάριος ὁ συνιῶν. φύλλ. 292. καὶ ψαλ. ρι΄. Ἐξομολογήσομαι. φύλλ. 387. ἐκφών. Μνείαν ἐποιήσ. Καθ. ἦχ. πλα. δ΄.

Ἄρτον ἔφαγεν ἄνθρωπος ἀγγέλων πάλαι Ἰσραὴλ

Σινᾶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Σινᾶ ἐν τῇ ἐρήμῳ, ἐτύπου δὲ τὴν ἀλήθειαν σὲ Χριστὲ, ἦλθες γὰρ πληρῶσαι τὰ πάντα. εἰς βρῶσιν ἔθου τὸ σῶμά σου. πιστοὶ ἐν ἀγαλλιάσει ἀεὶ σὲ δοξάζουσι.

Ἐκ νεότητός μου. ἔπειτα προκ. ἦχ. πλα. β΄. Μακάριος ὁ συνιῶν ἐπὶ πτωχὸν καὶ πένητα ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ κύριος. στίχ. Ὁ ἐσθίων ἄρτους μου ἐμεγάλυνεν ἐπ᾽ ἐμὲ πτερνισμόν, σὺ δὲ κύριε ἐλέησόν με, καὶ ἀνάστησόν με, καὶ ἀνταποδώσω αὐτοῖς. Καὶ εὐαγγ. κατὰ Ἰωάνν. Εἶπεν ὁ κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν ἰουδαίους, ὁ τρώγων μου. τελ. τὸν ἄρτον ζήσεται εἰς τὸν αἰῶνα. ζήτει ἐν τῇ β΄. τῆς δ΄. ἑβδ. Καὶ ὁ Ν΄. δόξα ἦχ. β΄. Σῶμα Θεῖον λόγου, καὶ τὸ πάντιμον αἷμα ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων. καὶ νῦν τὸ αὐτό. εἶτα ὁ παρὼν καν.

ᾠδ. α΄. ἦχ. β΄. Δεῦτε λαοὶ ᾄσωμεν.

Βλέπε ψυχὴ τάλαινα, Χριστὸν θυόμενον ἐπὶ τὴν θείαν τράπεζαν, καὶ μὴ τοῖς φίλοις σου, προσεχῶς διαλέξῃς, καὶ Θεὸν παροξύνῃς πολυαμάρτητε.

Ἐν οὐρανῷ ἄγγελοι φόβῳ παρίστανται, καὶ σὺ ψυχὴ ταλαίπωρε, ἀφόβως ἔστηκας, μετεωριζομένη βλέπουσα τὸν σωτῆρα Χριστὸν θυόμενον.

Ποία ψυχὴ βλέπουσα, ἢ ποῖος ἄνθρωπος ὁρῶν τὰ νῦν τελούμενα, Χριστὸν θυόμενον, ἱερεῖς λειτουργοῦντας οὐ δοξάζει ἐν φόβῳ τὸν μελιζόμενον.

Τὰ χερουβὶμ φόβῳ καὶ τρόμῳ παρίστανται, τὰ σεραφὶμ δοξάζουσι, τὰ ἑξαπτέρυγα συγκαλύπτονται φόβῳ,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

φόβῳ, ἡμεῖς δὲ παρεστῶτες οὐδὲν δεδοίκαμεν.

Δόξα καὶ νῦν.

Ὁ τοῦ πατρὸς λόγος σκηνώσας ἐν μήτρᾳ σου, παρθενομῆτορ ἄχραντε, ἡμᾶς ἀνέπλασε σαρκωθεὶς ἑκουσίως, καὶ θείας μεταχεῖν σου σαρκὸς πεποίηκεν.

ᾠδ. γ΄. Στερέωσον ἡμᾶς ἐν σοὶ κύριε.

Ἀξίωσον ἡμᾶς τοῦ σοῦ σώματος, σωτήρ μου μεταχεῖν ἀκατακρίτως, καὶ τοῦ αἵματός σου τοῦ τιμίου σου, καὶ δοξάζειν τὴν σὴν νῦν ἀγαθότητα.

Μὴ ὥσπερ ἀετοὶ ἐπὶ τοῦ πτώματος, τῷ λόγῳ, συναχθῶμεν ὦ ἀδελφοί μου, ἵνα μὴ τὸν ἀνεξίκακον παροργίσωμεν ὄντως οἱ ἀνάξιοι.

Σκέπασον ἡμᾶς εἰς τὸν φόβον σου, σωτήρ μου, καὶ τὴν θείαν σου ἁγίαν λειτουργίαν, καταξίωσον, μετὰ φόβου πολλοῦ ἐκτελέσαι ἡμᾶς. Δόξα καὶ νῦν.

Ἐθέωσας ἡμᾶς τῷ θείῳ τόκῳ σου παρθένε, τὸν Θεὸν γὰρ ὑπεδέξω ἐν γαστρί σου σωματούμενον, οὗ τὴν σάρκα ἡμεῖς νῦν ἐσθίομεν.

Καθ. ἦχ. α΄. Πρὸς Τὸν τάφον σου σωτήρ.

Ὁ λίμνας καὶ πηγὰς, καὶ θαλάσσας ποιήσας, ταπείνωσιν ἡμᾶς ἐκπαιδεύων ἀρίστην, λεντίῳ ζωσάμενος, μαθητῶν πόδας ἔνιψε ταπεινούμενος, ὑπερβολῇ εὐσπλαγχνίας, καὶ ὕψωσεν ἡμᾶς ἀπὸ βαράθρων κακίας ὁ μόνος φιλάνθρωπος.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ᾠδ. δ'. Ἐλήλυθας ἐκ παρθένου οὐ πρέσ.

Σ Τῶμεν πάντες μετὰ φόβου καὶ τρόμου, τὰ ὄμματα τῆς καρδίας ἔχοντες πρὸς τὸν σωτῆρα, κραυγάζοντες· στήριξον, σκέπασον ἡμᾶς Θεὲ τῶν ὅλων εἰς τὸν φόβον σου.

Ὁ βασιλεὺς γὰρ τῶν ἁπάντων προσέρχεται σήμερον, ἁγιάζων ἅπαντας ἐν τῇ εἰσόδῳ ὡς εὔσπλαγχνος, σὺ δὲ τοῦτο βλέπουσα, οὐ χαλινοῦσα τῷ φόβῳ ἁμαρτάνουσα.

Μηδεὶς ἡμῶν τῶν ἐνταῦθα ἑστώτων τολμήσειεν ἐξελθεῖν τὸ σύνολον, πρὶν ἂν τὴν θείαν τελέσωμεν λειτουργίαν. τοῦτο δὲ ὁ μὴ ποιῶν, ἀδελφοί μου ἤδη κέκριται.

Δόξα καὶ νῦν.

Ἡ ἄμπελος ἡ τὸν βότρυν τὸν θεῖον βλαστήσασα, ἀσπόρως σὺ πέφυκας, θεογεννῆτορ παναμώμε, καὶ ψυχὰς κατεύφρανας τῶν εὐσεβῶς θεοτόκον δοξαζόντων σε.

ᾠδ. ε'. Ὁ τοῦ φωτὸς χορηγός.

Φ Ρίξον ψυχὴ ταπεινὴ, παρισταμένη τῷ Θεῷ βλέπουσα τὸ φοβερὸν καὶ ἄχραντον σῶμα Χριστοῦ, ἐν τραπέζῃ ἀπὸ ἱερέων σεπτῶν μελιζόμενον.

Οἱ ἱερεῖς ἀδελφοὶ, αὐχένας κλίνας τῷ Θεῷ δέεται ὑπὲρ ἡμῶν, ἡμεῖς δὲ ἑστῶτες ῥεμβόμεθα τὸν νοῦν, ματαίοις φροντίσι βίου περισπάσεων.

Εἰπέ μοι ἄνθρωπε, σὺ τὸν μεγαλείτην τὸν φαιδρὸν δέξασθαι μέλλων, νυνὶ ἑστῶς γελεάζεις προσέρχεσθαι, Χριστοῦ γὰρ ὑπάρχει τὸ μέγα μυστήριον. Δόξα καὶ νῦν.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἐν τῇ ὑλώδει γαστρὶ τὸν φύσει ἄϋλον, σεμνὴ τέτοκας ὑπερφυῶς, καὶ τοῦτον παρθένε σαρκώσασα, ἡμᾶς τῆς θείας μετέχειν σαρκὸς ἀξίωσον.

ᾠδ. ϛʹ. Ἐν ἀβύσσῳ πταισμάτων.

Βασιλεῖ ἐπικαίρῳ καὶ ἄρχουσι φόβῳ παριστάμεθα, ἐνταῦθα δὲ ἀδελφοὶ ἑστῶτες οὐ πτοούμεθα, βλέποντες τὸν τὰ πάντα θείᾳ δυνάμει δεσπόζοντα.

Μετὰ φόβου καὶ τρόμου προσέλθωμεν, πάντες νῦν τὸ ἅγιον σῶμα δεξώμεθα, Χριστοῦ καὶ τὸ πανάγιον, καὶ πανάχραντον αἷμα, καὶ τίμιον.

Τὰς εὐχαριστηρίους καὶ θείας σοι δέσποτα, προσάγομεν φωνὰς οἱ δοῦλοί σου, ὅτι ἡμᾶς ἠξίωσας μετασχεῖν τοῦ τιμίου σου σώματος. Δόξα καὶ νῦν.

Ἡ σκηνὴ ἡ ἁγία σὺ πέφυκας, δέσποινα πανάμωμε, ἐν σοὶ γὰρ κύριος σωματωθεὶς ἀνέπεσεν, ὥσπερ ἄρτος τῷ κόσμῳ καλούμενος. Κοντάκ. ἦχ. βʹ.

Τὸν ἄρτον λαβὼν, εἰς χεῖρας ὁ προδότης κρυφίως αὐτὰς ἐκτείνει, καὶ λαμβάνει τὴν τιμὴν τοῦ πλάσαντος οἰκείαις χερσὶ τὸν ἄνθρωπον, καὶ ἀδιόρθωτος ἔμεινεν Ἰούδας ὁ δοῦλος, καὶ δόλιος. ὁ οἶκος.

Τῇ μυστικῇ τραπέζῃ ἐν φόβῳ προσεγγίσαντες, πάντες καθαραῖς ταῖς ψυχαῖς τὸν ἄρτον ὑποδεξώμεθα, συμπαραμένοντες τῷ διδασκάλῳ, ἴδωμεν καὶ τοὺς πόδας πῶς ἀπονίπτει τῶν μαθητῶν, καὶ ποιήσωμεν ἅπερ κατίδομεν, ἀλλήλων τοὺς πόδας νίπτειν, ὅπως φίλοι κυρίου γενώμεθα. Χριστὸς γὰρ οὕτως ἐδίδαξε τοὺς

αὐτοῦ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

αὐτοῦ μαθητὰς, ἀλλ' οὐκ ἤκουσε, Ἰούδας ὁ δοῦλος καὶ δόλιος.

ᾠδ. ζ'. Τὰ χερουβὶμ μιμούμενοι παῖδες.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καταμόνας πλάσας τοὺς νεφροὺς ἡμῶν, καὶ τὰς καρδίας κύριε γινώσκων, καὶ τὸ ἀσθενὲς τῆς σαρκὸς, μὴ μνησθῇς φιλάνθρωπε ἡμῶν τὰς ἁμαρτίας ὡς ὑπεράγαθος, ὁ ὑπερύμνητος, καὶ δεδοξασμένος εἰς πάντας τοὺς αἰῶνας.

Προσέλθωμεν πίστει, καὶ φόβῳ προσπέσωμεν, ἵνα ἀξιωθῶμεν, ἀκατακρίτως προσψαῦσαι τοῦ Θείου σώματος τοῦ Χριστοῦ, καὶ αἵματος τοῦ τιμίου αὐτοῦ. πηγὴ γὰρ ζωῆς ἀληθῶς καὶ ἀδαπάνητος. βρῶσις καὶ πόσις ἁγιασμοῦ ἐστὶ τὸ τελούμενον.

Οἱ κατηχούμενοι τάχος προσέλθετε, ὡς ὁ ἱερεὺς προτρέπει, μὴ διαλογίζεσθαι πρὸς ἀλλήλους. ἐνθάδε φρικτὸν γὰρ ἀδελφοὶ καὶ φοβερὸν ὡς ἀληθῶς· τὸ τελούμενον ἐστὶ, προσέχωμεν αὐτοῖς φόβῳ στοιχούμενοι ὁ ὑπερύμνητος, καὶ δεδοξασμένος εἰς πάντας τοὺς αἰῶνας. Δόξα καὶ νῦν.

Ἐδέξω ἐν μήτρᾳ σου, παρθενομῆτορ, λόγον τοῦ προανάρχου πατρὸς, καὶ ἐσωμάτωσας ὡς αὐτὸς ηὐδόκησε, καὶ πάντας δέσποινα τῆς αὐτοῦ ἀξίωσον τυχεῖν σαρκὸς μετέχειν παναμώμε, ὁ ὑπερύμνητος, καὶ δεδοξασμένος εἰς πάντας τοὺς αἰῶνας.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

ᾠδ. η΄. Τὸν ἐν καμίνῳ τοῦ πυρὸς

Πατέρα κράζεις καὶ βοᾷς παρεστῶτι ὦ ψυχή μου τῷ παντεπόπτῃ, μηδαμῶς ἐκπληροῦσα αὐτοῦ τὸ πρόσταγμα. υἱὸς γὰρ γνήσιος ταλαίπωρε, βλέπε ἅπερ λέγεις μὴ καταδικασθείσῃ.

Χριστὸς ἐντέλλεταί ἡμῖν, καὶ διδάσκει ἀδελφοὶ ἀλλήλους πάντας ἀγαπᾷν, καὶ φοβεῖσθαι ἀεὶ τὸν θάνατον, καὶ πίστει αὐτοῦ τὸ πανάχραντον σῶμα, καὶ τὸ αἷμα δέχεσθαι εἰς αἰῶνας.

Μηδεὶς ἐνταῦθα ἀδελφοὶ, εἰσίτω ἔχθραν ἔχων πρὸς πλησίον, ὁ γὰρ ταῦτα ποιῶν τοιοῦτος ἐστὶν ὡς Ἰούδας, καὶ ὅλως ἀνάξιος Θεοῦ, καὶ τῆς δόξης καὶ θείας κοινωνίας. Εὐλογ.

Ὁ Θεῖος ἄρτος τῆς ζωῆς ἐν γαστρί σου ἀληθῶς θεογεννῆτορ, ἐξ οὗ ὤφθη, φυλάξας ἀδιαλώβητον τὴν νηδύν σου τὴν παναμώμητον, ὅθεν ὡς τροφόν σε ὑμνοῦμεν εἰς τοὺς αἰῶνας.

ᾠδ. θ΄. Ἀνάρχου γεννήτορος υἱὸς Θεὸς.

Τὸ δῶρον προσφέροντες ἐὰν μνησθῶμεν ἔχοντες, ἔχθραν πρὸς τὸν πλησίον, πρὸς τοῦτον σπεύσωμεν, καὶ διαλλαγῶμεν προθύμως ὦ ἀδελφοὶ, καὶ οὕτως τὸ δῶρον τὸ Θεῖον δεξώμεθα, μετὰ φόβου ἀγαλλόμενοι.

Ἡγίασας δέσποτα ἡμῶν τὸν νοῦν ὡς εὔσπλαγχνος τὴν ψυχὴν, καὶ τὸ σῶμα ἐπιφοιτήσει σου, διὰ τοῦ ἀχράντου σου λόγε σώματος νῦν, καὶ αἵματος Θείου, διό σε δοξάζομεν, καὶ πιστῶς δοξολογοῦμέν σε.

Ἠξίω-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ηξίωσας κύριε ἐμὲ τὸ θεῖον σῶμα σου, καὶ τὸ τίμιον αἷμα χερσὶ καὶ χείλεσι ῥερυπωμένοις σου τηρμοῦ δέξασθαι νῦν, τί δὲ προσενέγκω ἀντάξια δέσποτα τῇ πολλῇ μακροθυμίᾳ σου. Δόξα καὶ νῦν.

Θεὸν τὸν ἀσώματον, γαστρί σου σωματώσασα, ἀπεκύησας τοῦτον διπλοῦν ταῖς φύσεσι, καὶ τοὺς ἐκτακέντας τῇ λύπῃ μῆτερ ἁγνὴ ἁγία, πεινῶντας ἐνέπλησας, δέσποινα μεγαλύνομέν τὸν τόκον σου.

Ἐξαπος. πρός, γυναῖκες ἀκουτ.

Φρικτῆς οἰκονομίας σου Χριστὲ τελῶν μυστήριον, σῶμα καὶ αἷμα τὸ θεῖον, προτέθεικας εὐωχείαν, ὃ οὖν μεταχὼν Ἰούδας, καὶ πιπράσκειν οὐκ ἔδεισεν, ἑκουσίως θυόμενον, ἀλλὰ τῆς τούτου με ῥῦσαι φιλαργυρείας οἰκτίρμων. Θεοτ. ὅμοιος.

Τοῦ ἐκ πατρὸς ἀμήτορος, καὶ ἐκ μητρὸς ἀπάτορος, σοῦ τὸ σωτήριον πάθος, σὺν τῇ ἐγέρσει δοξάζω, σὺ ἐξήγειρον τῇ δυνάμει, καὶ ἐλθὲ εἰς τὸ σῶσαι με, τὴν ὑπὲρ ἐμοῦ πρεσβεύουσαν, τὴν σὲ κυήσασαν ἔχων, ὁ ἀναστὰς ἐκ τοῦ τάφου.

Εἰς τοὺς αἶν. σύντ. ἦχ. β΄. οἶκος τοῦ εὐφρ.

Ἀνάμνησιν πιστοὶ, ἐκτελοῦντες τοῦ δείπνου, τοῦ μυστικοῦ συμφώνως τὸ δόξα ἐν ὑψίστοις, Θεῷ ἀναβοήσωμεν.

Τοῖς μύσταις ὁ Χριστὸς, συνεσθίων τὸ πάσχα, λαβὼν ἄρτον καὶ κλάσας, τούτοις παρέσχε φήσας, τοῦτο ἐστὶ τὸ σῶμά μου.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου -
Μουσείο Τυπάλδων Ιακωβάτων
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Ποτήριον λαβὼν, Χριστὸς τοῖς μύσταις ἔφη, πίετε τοῦτο πάντες τοῦ ποτηρίου φίλοι τοῦτο ἐστὶ τὸ αἷμά μου.

Δέσποινα ἀγαθὴ, καὶ μήτηρ τοῦ Ὑψίστου, μὴ παύσῃ δυσωποῦσα, μετὰ τῶν ἀποστόλων ὑπὲρ ἡμῶν τῶν δούλων σου. Δόξα καὶ νῦν ἦχ. β'.

Σήμερον ἐπεδόθη ἐν ἡμῖν τὸ θειότατον σῶμα.

Σήμερον εἰς πόσιν εἰσάγεται τὸ αἰδέσιμον αἷμα.

Τὰς αἰσθήσεις τῆς ψυχῆς καὶ τοῦ σώματος, μολυσμένων τῶν σαρκικῶν, καὶ ὀρέξεων.

Καθαίρειν λαμπρύνειν τε χάρισον, ἀρετῶν δωρεαῖς τῶν τοῦ πνεύματος.

Ἡμεῖς δὲ οἱ καθαρθέντες βοῶμεν. Τὸ Εἴπωμεν πάντ.

Εἰς τὴν λειτουργ. προκ. ἦχ. βαρύς.

Οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ, κατὰ τοῦ κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ. στίχ. Ἵνα τί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά. Ἀλλ. ἦχ. πλα. β'. Ὁ ἐσθίων ἄρτους μου ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμὸν, σὺ δὲ κύριε ἐλέησόν με, καὶ ἀνάστησόν με, καὶ ἀνταποδώσω αὐτοῖς. στίχ. Ἐξεπορεύετο ἔξω, καὶ ἐλάλει ἐπὶ τὸ αὐτὸ, κατ' ἐμοῦ ἐψιθύριζον πάντες οἱ ἐχθροί μου.

Κοινων. Ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἔχει ζωὴν αἰώνιον.

Τῇ αὐτῇ ἡμέρᾳ εἰς τὸ ἑσπ. προσομ. β'. ἐκ τῶν παρόντων ἦχ. β'. Ὅτε ἐκ τοῦ ξύλου.

Δεῖπνον πρὸ τοῦ πάσχα μυστικὸν, θεῖον ἐκτελῶν συνεσθίει, τοῖς μαθηταῖς ὁ Χριστὸς, σῶμα τὸ πανάγιον

μετα-

μεταδιδοὺς εἰς ζωφὴν, καὶ ποτήριον αἵματος αὐτοῖς προσαποῤῥίζων, τούτοις πρὸς καθαίρεσιν τῶν ψυχικῶν μολυσμῶν, ὅθεν κοινωνοὺς καὶ τοῦ πάθους, καὶ τῆς ἀναστάσεως τούτους, καὶ τῆς θείας δόξης καταξίωσον.

Πόδας ἀποπλυνεῖ μαθητῶν, κλίνας τὸν αὐχένα ὁ πάντων δημιουργὸς καὶ Θεὸς, τύπον ταπεινώσεως ὑποδεικνύων αὐτοῖς, καὶ πρὸς πᾶσαν ἐπίβασιν, τοὺς πόδας στηρίζων, δράκοντος πατεῖν αὐτοὺς, τοῦ νοητοῦ κεφαλὴν, ἅμα καὶ ἀόκνως κηρύττειν πᾶσι τῆς σαρκός σου τὰ πάθη, καὶ θαυματουργίας σου φιλάνθρωπε.

Δεῦτε προκαθάραντες πιστοὶ, σῶμα καὶ ψυχὴν τῷ κυρίῳ προσεπιμάσωμεν, ὥσπερ καταγώγιον τὰς διανοίας ἡμῶν, καὶ πρὸς δεῖπνον οὐράνιον αὐτῷ συγκεράθέντες, πάντες κοινωνήσωμεν τῶν μυστηρίων αὐτοῦ, ὅπως καὶ τῆς δόξης ἐκείνου, σύμμορφοι, γινόμενοι, ἅμα καὶ τῆς ἀναστάσεως ἐσώμεθα.

Καὶ προσ. β'. τοῦ κατὰ τὴν ἡμέραν ἀγ.

Δόξα καὶ νῦν ἦχ. πλα. δ'.

Τὸν ἄρτον ηὐλόγησεν, ὁ ἄρτος ὁ οὐράνιος, καὶ ἀναδείξας Χριστὸς τῷ γεννήτορι, λαβὼν καὶ ποτήριον τοῖς μαθηταῖς ἐδίδου, λάβετε φάγετε ζωὴν, πιστοὶ πίετε τὸ αἷμα, κενωθὲν τῆς θεοπνεύστου πηγῆς.

Τροπάρ. Τοῦ δείπνου σου, τὸ τοῦ ἀγ. καὶ θεοτοκ. Ὁ καρπὸς τοῦ πνεύμ. Φύλλ. 44. Εἰς τὸ ἀπόδ. Γειφώδ. τῆς ἑορτ. ἀλλάττοντες τὰς ᾠδὰς, ἤγουν ἀεὶ



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

λέγομεν τὴν η'. καὶ τὴν θ'. ᾠδὴν, ἀλλὰ εἰς τὴν β'. ἡμέραν τῆς ὀκταημ. λέγομεν τὴν γ'. τὴν η'. καὶ τὴν θ'. εἰς γ'. ἡμέραν, τὴν δ'. τὴν η'. καὶ τὴν θ'. καὶ ὁμοίως καθεξῆς. Τὰ ἀναστάσιμα τῆς Κυριακῶν, ζήτει εἰς τέλος ἁπάσης τῆς ἀκολουθίας.

## ΜΕΓΑΛΥΝΑΡΙΑ ΨΑΛΛΟΜΕΝΑ

Ἐν ταῖς θείαις καὶ ἱεραῖς λειτουργίαις.

Τῆς Θεοτόκου ἦχ. πλ. β'.

Τὴν ὑψηλοτέραν τῶν οὐρανῶν, καὶ καθαρωτέραν λαμπηδόνων ἡλιακῶν, τὴν λυτρωσαμένην ἡμᾶς ἐκ τῆς κατάρας, τὴν δέσποιναν τοῦ κόσμου πάντες ὑμνήσωμεν.

Ὑπὸ τῶν πολλῶν μου ἁμαρτιῶν, ἀσθενεῖ τὸ σῶμα, ἀσθενεῖ μου καὶ ἡ ψυχή, πρὸς σὲ καταφεύγω τὴν κεχαριτωμένην, ἵνα μοι βοηθήσῃς ἐν ὥρᾳ κρίσεως.

Τοῦ ἁγίου πατρὸς ἡμῶν μεγάλου Βασιλ. ζήτει φύλ. 239.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου.

Τῶν ἀρχιερέων τὴν καλλονὴν, τὸ πάγχρυσον στόμα τῆς σοφίας τὸν ποταμὸν, Κωνσταντίνου πόλεως μέγαν πατριάρχην, Χρυσόστομον τὸν θεῖον ὕμνοις τιμήσωμεν.

Τοῦ ἁγίου Νικολάου.

Ὀρφανῶν προστάτην σε καὶ χηρῶν, πεινώντων τροφέα, πενομένων τε πλουτιστὴν, αἰχμαλώτων ῥύστην, πλεόντων σωτηρίαν κεκτήμεθα παμμάκαρ σοφὲ Νικόλαε.

Τοῦ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Τοῦ ἁγίου Παντελεήμονος.

Ὦ Παντελεήμων θαυματουργὲ, ἰατρὲ παμμάκαρ ἀσθενούντων καὶ βοηθὲ, τῶν ψυχῶν, θεράπευον ψυχάς τε καὶ σωμάτων, τοὺς πόθῳ σε ὑμνοῦντας ἀεὶ περίσωζε.

Τῶν ὁσίων πατέρων ἡμῶν Νείλου καὶ Βαρθολ.

Τοὺς οἰκοδομήσαντας καὶ τέκτονας τῶν μοναστηρίων ἡμετέρου τοῦ σχήματος, καὶ τῆς σωφροσύνης κοσμήτορας ἐν κόσμῳ, Βαρθολομαῖον καὶ Νεῖλον ἀεὶ γεραίρομεν.

Τῶν Ἁγίων πάντων.

Πᾶσαι τῶν ἀγγέλων αἱ στρατιαὶ, πρόδρομε κυρίου, ἀποστόλων ἡ δωδεκὰς, οἱ ἅγιοι πάντες μετὰ τῆς θεοτόκου, ποιήσατε πρεσβείαν ὑπὲρ ἡμῶν πρὸς Θεόν.

Τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ θεριστοῦ.

Οὗτος ὁ Ἰωάννης ὁ θεριστὴς, υἱὸς Κυβερνήτου ἐκ τῆς κώμης τοῦ Κυρσιανοῦ, ἐκ τῆς βαρβαρίας διῆλθεν εἰς τὸ Στύλον, καὶ ἐπίσκοπος τοῦ Στύλου ἔδωκε βάπτισμα.

Εἰς τὴν Μεταμόρφωσιν τοῦ κυρίου.

Λάμψας ὥσπερ ἥλιος ἐν θαβὼρ, ἔκρυψας ἡλίου τὰς ἀκτῖνας λόγε Θεοῦ, ἀλλ᾽ ὡς Ἰωάννης, Ἰάκωβος, καὶ Πέτρος, ὁρῶντες σου τὴν θέαν ὕμνοις σε δοξάζομεν.

Τοῦ Σταυροῦ.

Ὑμνῶ σου τὴν σταύρωσιν ἀγαθὲ, ὑμνῶ σου τὰ πάθη, προσκυνῶ σου καὶ τὴν ταφὴν, τοὺς ἥλους τὴν λόγχην, τὸν κάλαμον τὸν σπόγγον, τὰ πάθη σου τὰ θεῖα καὶ μεγαλύνομεν.

Τοὺς τετειχισμένους τῷ σῷ σταυρῷ, καὶ ἐγκαυχωμένους



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

τοῖς παθήμασί σου σωτὴρ ςήλιξον ἐν πέτρᾳ τὴν ἐντολῶν σου λόγε, ἀξίως ἀναδείξας τῆς βασιλείας σου.

Τῆς Κυρ.

Ἁγίαν ἡμέραν Κυριακὴν τιμήσωμεν πάντες καὶ χρέος οἱ χριστιανοὶ, ὅτι Χριςὸς ἀνέστη τριήμερος ἐκ τάφου, καὶ λύσας τοὺς ἐν σκότει, δεινῶν ἐρρύσατο.

ΤΑ ΛΕΓΟΜΕΝΑ

Ἐν ποίαις ἑορταῖς, τοῦ ἐξαμήνου, ὅταν καταμένας, ἢ ἔξω πλήρους τοῦ χοροῦ ψάλλειν συμβαίνει τοὺς Μονάζοντας, κατὰ μὲν τὴν κάτω γεγραμμένην Διάταξιν, περὶ τὴν Κοινὸν.

Τῇ α'. τοῦ Φεβρουαρίου ἐν τῇ προεορτίῳ τῆς Ὑπαπαντῆς. Δόξα κ. εἰς τὸ ἑσπ. καὶ εἰς τοὺς αἶν. ἦχ. γ'.

Τὸν ἱερὸν ἡ ἱερὰ παρθένος προσεκόμισεν ἐν ἱερῷ τῷ ἱερεῖ. Ἁπλώσας δὲ ἀγκάλας ὁ Συμεὼν ἐδέξατο τοῦτον ἀγαλλόμενος, καὶ ἐβόησε, νῦν ἀπολύεις τὸν δοῦλόν σου δέσποτα, κατὰ τὸ ῥῆμα σου ἐν εἰρήνῃ.

Εἰς τὸν ὄρθ. Κάθ. καὶ Τελώδ. ἐκ τῆς παρακλήσεως τοῦ ἁγίου. Κοντ. Ὡς ἀγκάλας σήμερον πιςοὶ καρδίας ἐφαπλοῦντες, δέξασθε καθαρωτάτῳ λογισμῷ, ἐπιδημοῦντα τὸν κύριον, προεορτίους αἰνέσεις προσᾴδοντες. καὶ κοντ. τοῦ ἁγ.

Ἐξαποςειλ. τοῦ ἁγ. καὶ τῆς προεορτ. Τῶν μαθητ.

Ὁ πᾶσαν κτίσιν νεύματι περιέχων, ὑπὸ μητρὸς βαςάζεται ὥσπερ βρέφος, καὶ τῷ ναῷ προσάγεται κατὰ νόμον,

νόμον, καὶ ἱερεὺς εἰσδέχεται. Νῦν ἀπολύεις κραυγάζων, τὸν δοῦλον σου ἐν εἰρήνῃ.

---

Τῇ β΄. ἐν τῇ ἐντίμῳ Ὑπαπαντῇ τοῦ Κυρίου.

Τὰ Σύντομα ὡς κάτω. Δόξα καὶ νῦν. εἰς τὸ ἑσπ. καὶ εἰς τοὺς αἴν. φύλλ. 180. ἐν τῷ ὡρολ.

Εἰς τὸν ὄρθ. μετὰ τοὺς ψαλμοὺς Ὑπακ. τοῦ ὡρολ.

Εὐαγγέλ. ἐκ τοῦ κατὰ Λουκ.

Τῷ καιρῷ ἐκείνῳ, ἦν ἄνθρωπος ἐν Ἱερουσαλήμ, ᾧ ὄνομα Συμεών, καὶ ὁ ἄνθρωπος οὗτος δίκαιος καὶ εὐλαβής, προσδεχόμενος παράκλησιν τοῦ Ἰσραήλ, καὶ Πνεῦμα ἅγιον ἦν ἐπ᾽ αὐτόν. Καὶ ἦν αὐτῷ κεχρηματισμένον ὑπὸ τοῦ Πνεύματος τοῦ ἁγίου, μὴ ἰδεῖν θάνατον πρὶν ἢ ἴδῃ τὸν Χριστὸν Κυρίου. Καὶ ἦλθεν ἐν τῷ Πνεύματι εἰς τὸ Ἱερόν, καὶ ἐν τῷ εἰσαγαγεῖν τοὺς γονεῖς τὸ παιδίον Ἰησοῦν, τοῦ ποιῆσαι αὐτοὺς κατὰ τὸ εἰθισμένον τοῦ νόμου περὶ αὐτοῦ. Καὶ αὐτὸς ἐδέξατο αὐτὸ εἰς τὰς ἀγκάλας αὐτοῦ, καὶ εὐλόγησε τὸν Θεόν, καὶ εἶπε. νῦν ἀπολύεις τὸν δοῦλόν σου Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ. Ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν, φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Τετρῴδ. ἐκ τοῦ Ἀκαθίστου Ὕμνου, καὶ ὅλα τὰ τροπ. συνάπτοντες τὰ τετυπωμένα εἰς τὴν θ΄. ᾠδήν. Κοντ.

Ὁ μήτραν παρθενικὴν ἁγιάσας τῷ τόκῳ σου, καὶ χεῖρας τοῦ Συμεὼν εὐλογήσας, καὶ νῦν ἔσωσας ἡμᾶς

Χριστὲ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Χριστὲ ὁ Θεός. Ἀλλ' εἰρήνευσον ἐν πολέμοις τὸ πολίτευμα, καὶ κραταίωσον βασιλεῖς, οὓς ἠγάπησας, ὁ μόνος φιλάνθρωπος.

Ἐξαποστειλ. αὐτόμελον.

Ἐν πνεύματι τῷ ἱερῷ παραστὰς ὁ πρεσβύτης, ἀγκάλαις ὑπεδέξατο τὸν τοῦ νόμου Δεσπότην. Κράζων, νῦν τοῦ δεσμοῦ με τῆς σαρκὸς ἀπόλυσον, ὡς εἴρηκας ἐν εἰρήνῃ, εἶδον γὰρ τοῖς ὀφθαλμοῖς ἀποκάλυψιν ἐθνῶν, καὶ Ἰσραὴλ σωτήριον.

Τὰ Σύντομα, οἶκος τοῦ ἐφραθᾶ.

Δέχου ὦ Συμεὼν τὸν κύριον τῆς δόξης, καθὼς ἐχρηματίσθης ἐκ πνεύματος ἁγίου, ἰδοὺ γὰρ παραγέγονεν. Νῦν ἴδον ἀγαθὲ θεὲ οἱ ὀφθαλμοί μου, ἣν στὴν ἐπαγγελίαν ἀπόλυσόν με τάχει, τὸν δοῦλόν σου φιλάνθρωπε. Ὁ πάντα τῇ χειρὶ περιέχων ὡς κτίστης, δεσπόζων τῶν ἁπάντων, ὑπὸ χειρῶν πρεσβύτου ἐν τῷ ναῷ προσάγεται.

Ἀγάλλου Συμεὼν, καὶ σὺ Ἄννα εὐφραίνου, ἰδοὺ γὰρ ἐπεφάνη ὁ λυτρωτὴς τοῦ κόσμου, ὡς βρέφος προσαγόμενος. Δόξα καὶ νῦν. τοῦ ἑσπ.

---

Τῇ κδ'. φευρ. εἰς τὴν ἀκολουθίαν τοῦ Βαπτιστοῦ. περὶ τοῦ δόξα, καὶ τοῦ Τριῳδίου, ζήτει μετὰ τὰ κοινὰ, ἀκολουθ. δ'.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου -
Μουσείο Τυπάλδων Ιακωβάτων

Τῇ κδ΄. Μαρτίου ἐν τῇ προεορτ. τοῦ Εὐαγγελισμοῦ τῆς ὑπεραγ. Θεοτόκου.

Δοξαστικὸν εἰς τὸ ἑσπ. καὶ εἰς τοὺς αἴν. ἦχ. πλ. α΄.

Φοβερὸν καὶ παράδ. φύλλ. 172.

Καθ. τῆς προεορτ. ἐν τῇ παρακλ. τῆς Θεοτόκου, καὶ Τριῴδ. Κοντ. Προστασία τῶν Χριστιανῶν. ἐν τῇ γ΄. ὥρᾳ.

Ἐξαπος. τοῦ ἁγίου, καὶ εἰς Γυναῖκες ἀκοῦτ.

Ὡς δῶρα προεόρτια προσφέρομέν σοι πάναγνε, φιλοπτωχίαν, καὶ πλοῦτον, ἁγνείαν καὶ σωφροσύνην, ὕμνους εὐχὰς, καὶ δάκρυα, νηστείαν, καὶ ταπείνωσιν. ἐφ᾽ οἷς συμπράττει δέσποινα, σὺ δὲ ἡμᾶς ἐποπτεύεις εὐσπλάγχνως ὦ Θεομήτορ.

Τῇ κε΄. Μαρτίου μηνὸς.

Εἰς τὸν ἔνδοξον Εὐαγγελισμὸν τῆς Θεοτόκου.

Τὰ Σύντ. ὡς κάτω. Δοξαστικὸν. εἰς τὸ ἑσπ.

καὶ εἰς τοὺς αἴν. ἦχ. δ΄.

Τῷ ἕκτῳ μηνὶ ἀπεστάλη ὁ ἀρχάγγελος πρὸς τὴν παρθένον ἁγνὴν, καὶ χαίρειν αὐτὴν προσειπὼν, εὐηγγελίσατο ἐξ αὐτῆς τὸν λυτρωτὴν προελθεῖν. ὅθεν δεξαμένη τὸν ἀσπασμὸν, συνέλαβε τὸν προαιώνιον Θεὸν, τὸν ἀφράστως εὐδοκήσαντα ἐνανθρωπῆσαι, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸ ἀπόδ. ἐκ τῆς παρακλητικῆς τῆς Θεοτ. Εἰς τὸν ὄρθ. Κάθ. ἦχ. α΄. Ὁ μέγας στρατηγὸς τῶν ἁγίων ἀγγέλων εἰς πόλιν Ναζαρὲτ ἐπιστὰς βασιλέα μηνύει

ἀρχαν-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ἄρξαντι, τῶν αἰώνων, κύριον. Χαῖρε λέγων σοι εὐλογημένη Μαρία, ἀκατάληπτον, καὶ ἀνερμήνευτον θαῦμα βροτῶν ἡ ἀνάκλησις. Εὐαγγέλ. τῆς Θεοτόκου εἰς τέλος τῶν Κοινῶν τῶν ἁγ. φύλλ. ν'.

Τριῴδ. μόνον ἐκ τοῦ Ἀκαθίστου Ὕμνου, ἀλλ' ὅλα τὰ τροπ. Κοντ. Τῇ ὑπερμάχῳ. Ὁ οἶκος. Ἄγγελος πρωτοστάτης, ἐκεῖ.

Ἐξαποστειλ. Γυναῖκες ἀκουτίσθητε.

Τὸ ἀπ' αἰῶνος σήμερον, γνωρίζεται μυστήριον, ὁ τοῦ Θεοῦ πατρὸς λόγος Υἱὸς παρθένου Μαρίας δι' εὐσπλαγχνίαν γίνεται, καὶ χαρᾶς εὐαγγέλια ὁ Γαβριὴλ προσφθέγγεται. Μεθ' οὗ βοήσομεν ταύτῃ, χαῖρε ἡ μήτηρ Κυρίου.

Τὰ Σύντομα οἶκος τοῦ Ἐφρ.

Νοῦν ἐκ τῶν οὐρανῶν ὁ μέγας ταξιάρχης, εἰς Ναζαρὲτ κατῆλθε, νομίζων τῇ παρθένῳ, χαρᾶς τὰ εὐαγγέλια. Πῶς ἔσται μοι φησὶν ὁ τοκετὸς ὁ ξένος, ἄνδρα γὰρ οὐ γινώσκω ἡ πάναγνος παρθένος τῷ ἀρχαγγέλῳ ἔλεγε. Αὖθις ὁ Γαβριὴλ, τὸ θεῖον πνεῦμα ἔφη, ἐπελεύσεται νῦν σοὶ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει πάναγνε. Ὡς μόνη γυναικῶν τὴν χαρὰν δεξαμένη, καὶ τεκοῦσα τὸν κτίστην γεραίρει καὶ δοξάζει, φύσις βροτῶν σε πάναγνε.

---

Τῇ κ'. τοῦ Μαΐου μηνὸς, ζήτ. τὴν ἀκολουθίαν τοῦ ἀρχαγγ. μετὰ τὰ κοινὰ τῶν ἁγίων, ἀκολουθ. α'. φύλλ. νε'. τὴν δὲ τοῦ θεολόγου, ἰδίαν ἀκολουθίαν, ἐκεῖ, ἀλλὰ ἢ τὴν ε'.

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Τῇ κα΄. Μαΐου μηνὸς, εἰς τὴν μνήμην τῶν ἁγ. βασιλέων Κωνσταντίνου, καὶ Ἑλένης.

Δόξα εἰς τὸ ἑσπ. καὶ εἰς τοὺς αἶν. ἦχ. β΄.

Πλουσίων δωρεῶν τὰ κρείττονα εἰληφὼς παρὰ Θεοῦ, ἄναξ κράτιστε, Κωνσταντῖνε μέγιστε, καλῶς ἐν τούτοις διέπρεψας. Καταυγασθεὶς γὰρ ἀκτῖσι τοῦ παναγίου πνεύματος, ὑπὸ Σιλβέστρου ἀρχιερέως διὰ τοῦ βαπτίσματος, ἐν βασιλεῦσιν ὤφθης ἀήττητος. Τὴν οἰκουμένην ὡς προῖκα περιεκοδοτήσας τῷ κτίσῃ σου, καὶ πόλιν βασιλεύουσαν θεοσεβῆ. Διὸ ἱκετεύειν μὴ παύσῃ Χριστῷ τῷ Θεῷ, δωρηθῆναι ἅπασι τοῖς τελοῦσι τὴν μνήμην σου, ὡς παῤῥησίαν ἔχων ἁμαρτιῶν συγχώρησιν, καὶ τὸ μέγα ἔλεος. Καινοῦ τοῦ ἄνας.

Εἰς τὸν ὄρθρ. κάν. τοῦ ἄνας. καὶ Τριῴδ. ἦχ. πλ. δ΄.

Ὠδ. α΄. Ὑγρὰν διοδεύσας.

Μόνε ἐπουράνιε βασιλεῦ τῆς βασιλευούσης ἁμαρτίας νῦν ἐπ' ἐμοὶ, τῇ σῶν θεραπόντων ἱκεσίαις τὴν ταπεινήν μου ψυχὴν ἐλευθέρωσον.

Τῆς ἄνω γενόμενος ἐραστὴς, μάκαρ Κωνσταντῖνε βασιλείας, βασιλεῖ τῶν ἁπάντων, καὶ δεσπότῃ, διανοίᾳ καθαρωτάτῃ πιστεύσας ἐλάτρευσας. Θ.

Ἡ πύλη τῆς θείας ἀνατολῆς, ἄνοιξόν μοι πύλας μετανοίας, καὶ ἐκ πυλῶν τῆς θανατηφόρου ἁμαρτίας, τῇ μεσιτείᾳ σου ῥῦσαί με δέσποινα.

Καθ.

Καθ. ἦχ. πλ. δ'. Τὴν σοφίαν.

Τὰς αἰσθήσεις ἐκτείνας πρὸς οὐρανὸν, καὶ τῶν ἄστρων μανθάνων τὴν καλλονὴν, καὶ τούτων μυούμενος τὸν ἁπάντων κύριον, τοῦ σταυροῦ δὲ τὸ ὅπλον, ἐν μέσῳ ἀνέλαμψε, διαγράφων ἐν τούτῳ, νικᾷν καὶ κρατύνεσθαι. ὅθεν τῆς ψυχῆς σου ἐπανοίξας τὸ ὄμμα, τὸ γράμμα ἀνέγνωκας, καὶ τὸν τρόπον μεμάθηκας, Κωνσταντῖνε πανσέβαστε, πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου. Θ.

Κοντ. Κωνσταντῖνος σήμερον σὺν τῇ μητρὶ τῇ Ἑλένῃ τὸν σταυρὸν ἐμφαίνουσι, τὸ πανσεβάσμιον ξύλον, πάντων μὲν τῶν Ἰουδαίων αἰσχύνην ὄντα. ὅπλον δὲ κατεναντίον πιστῶν ἀνάκτων. Δι' ἡμᾶς γὰρ ἀνεδείχθη σημεῖον μέγα, καὶ ἐν πολέμοις φρικτόν.

Ὠδ. η'. Ἑπταπλασίως κάμινον.

Εὐφραινομένην βλέποντες σὺν υἱῷ σε θεόφρονι, ἔνδοξε Ἑλένη, εἰς Θεοῦ βασίλεια, Χριστὸν μεγαλυνόμενον τὸν τὴν ἡμῶν σεπτὴν ἑορτὴν, δείξαντα ἡμῖν ὑπὲρ ἀκτῖνας ἡλίου, ἡμᾶς φωταγωγοῦσαν, τοὺς πιστοὺς μελῳδοῦντας, λαὸς ὑπερυψοῦτε Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὡς θαυμαστὸς ὁ πόθος σου, καὶ ὁ τρόπος ὁ ἔνθεος, ἔνδοξε Ἑλένη, γυναικῶν τὸ καύχημα τοὺς τόπους γὰρ φθάσασα, τοὺς τὰ σεπτὰ παθήματα ὑποδεξαμένους τοῦ δεσπότου τῶν ὅλων, ναοῖς περικαλλέσι κατακοσμοῦσα βοῶσα, Χριστὸν ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας. Θ.

Τὰ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Τὰ τῆς ψυχῆς μου ὄμματα ταῖς πολλαῖς παραβάσεσιν, ἀποτυφλωθέντα θεοτόκε φώτισον, τὸν νοῦν μου εἰρήνευσον, καὶ τὴν καρδίαν δέομαι, ἐκταρατ-τομένην ἡδοναῖς πολυτρόποις, καὶ σῶσόν με βοῶντα, ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ἔξεστη ἐπὶ τοῦτο.

Ὁ τάφος ἔνθα κεῖται τὸ ἱερὸν Κωνσταντίνε, καὶ τίμιον σῶμά σου μορμυρυγὰς θείων ἰαμάτων εἰλικρινῶς, τοῖς προσιοῦσι πάντοτε βλύζει ἰαμάτων παντοδαπῶν, τὸ σκότος ἀπελαύνων, καὶ φέγγει ἀνεσπέρῳ, φωταγωγῶν τοὺς εὐφημοῦντάς σε.

Πρωτάναρχε ἀθάνατε βασιλεῦ, βασιλείας τῆς ἄνω ἠξίωσας, οὓς εὐσεβῶς πάλαι ἐδικαίωσας ἐπὶ γῆς, τοῦ βασιλεύειν κύριε, σὲ ἠγαπηκότας εἰλικρινῶς, Ἑλένην τὴν ἁγίαν, τὸν μέγαν Κωνσταντῖνον. ὧν ταῖς πρεσβείαις πάντας οἰκτειρον. Θ.

Τὸν πάντων βασιλέα καὶ ποιητὴν συλλαβοῦσα παρθένε ἐκύησας, καὶ νῦν ἰδοὺ οἷάπερ βασίλισσα δεξιᾷ τούτου ἁγνὴ παρίστασαι. ὅθεν δυσωπῶσε ἀριστερᾶς μερίδος λυτρώσασθαί με, ἐν ὥρᾳ καταδίκης, καὶ δεξιοῖς προβάτοις σύνταξον.

Ἐξαποστ. Ὁ οὐρανὸν τοῖς ἄστροις.

---

Τῇ ιδ'. Ἰουνίου εἰς τὴν μνήμην τοῦ ἐν ἁγ. πατρ. ἡμῶν Βασιλείου, ζήτει τὴν εἰς αὐτὸν ἀκολουθ. ς'.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Τῇ κθ΄. Ἰουνίου.

Εἰς τὴν ἑορτὴν τῶν ἁγίων ἀποστόλων Πέτρου, καὶ Παύλου.

Εἰς τὸ ἑσπ. τὰ Σύντ. ὡς κάτω. Δόξα ἦχ. α΄.

Τοὺς φωστῆρας μεγάλους τῆς ἐκκλησίας Πέτρον, καὶ Παῦλον εὐφημήσωμεν, ὑπὲρ ἥλιον γὰρ ἔλαμψαν ἐν τῷ τῆς πίστεως στερεώματι. Καὶ τὰ ἔθνη ταῖς ἀκτῖσι τοῦ κηρύγματος, ἐκ τῆς ἀγνοίας ἐπανήγαγον, ὁ μὲν τῷ σταυρῷ προσηλωθεὶς πρὸς οὐρανὸν τὴν πορείαν ἐποιήσατο, ἔνθα τῆς βασιλείας παρὰ Χριστοῦ τὰς κλεῖς ἐγκεχείριστο, ὁ δὲ τῷ ξίφει ἀποτμηθεὶς, πρὸς τὸν σωτῆρα ἐκδημήσας, ἐπαξίως μακαρίζεται. καὶ ἀμφότεροι τὸν Ἰσραὴλ κατακρίνουσιν, ὡς εἰς αὐτὸν τὸν κύριον χεῖρας ἀδίκως ἐκτείναντα. Διὸ εὐχαῖς αὐτῶν Χριστὲ ὁ Θεὸς τοὺς καθ᾽ ἡμῶν κατάβαλε, καὶ τὴν ὀρθόδοξον πίστιν, κράτυνον ὡς φιλάνθρωπος.

Εἰς τὸν ὄρθρ. Κάθ. τὸ Ὑπακοή. Ποία φυλακή. Τὸ Εὐαγγ. καὶ Τριῳδ. ὡς τοὺς ἀποσ. Κοντακ. ἐκ τῶν κοινῶν, Τοὺς ἀσφαλεῖς. ὁ οἶκος.

Τράνωσόν μου τὴν γλῶτταν Χριστὲ σωτήρ μου, πλάτυνόν μου τὸ στόμα, καὶ πληρώσας αὐτὸ, κατάνυξον τὴν καρδίαν μου, ἵνα οἷς λέγω ἀκολουθήσω, καὶ ἃ δῆθεν διδάξας ποιήσω πρῶτος. Πᾶς γὰρ ποιῶν, καὶ διδάσκων, φησὶν, οὗτος μέγας ἐστὶν, ἐὰν γὰρ λέγω, καὶ μὴ πράττω, ὡς χαλκὸς ἠχῶν λογισθήσομαι. Διὸ λαλεῖν μοι τὰ δέοντα, καὶ ποιεῖν τὰ συμφέροντα, δώρησαι, ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

Ἐξα

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἐξαπος. Γυναῖκες.

Τῶν ἀποσόλων ἅπαντες τὴν κορυφὴν ὑμνήσωμεν, Πέτρον, καὶ Παῦλον τοὺς θείους τῆς οἰκουμένης φωστῆρας. τοὺς κήρυκας τῆς πίστεως, τὰς θεολόγους σάλπιγγας. δογμάτων τοὺς ἐκφάντορας, τῆς ἐκκλησίας τοὺς σύλους, καὶ καθαιρέτας τῆς πλάνης.

Εἰς τοὺς αἴν. σύντομα. Ο ἶκος τοῦ Ἐφρ.

Ἑορτήσωμεν λαοὶ, σαλπίσωμεν ἐν ὕμνοις, ὅτι τῇ πανηγύρει τῶν ἱερῶν κηρύκων, Πέτρου, καὶ Παύλου σήμερον.

Ὢ θεία κορυφὴ τοῦ χοροῦ τῶν κηρύκων, τῆς πίστεως ἡ πέτρα, ἐκκλησίας ἡ βάσις, καὶ πίστεως θεμέλιος.

Τὸ σόμα τοῦ Χριστοῦ, τοῦ πνεύματος ἡ γλῶσσα, ἡ μάχαιρα τοῦ λόγου, καὶ τῶν ἐθνῶν ὁ μύστης ὑμνείσθω Παῦλος σήμερον.

Διὰς φωτοειδὴς τῶν νοητῶν ἀστέρων, σὺν τῇ μητρὶ τοῦ λόγου οὐρανόθεν τὴν χάριν ἡμῖν πᾶσι χαρίσατε.

Δόξα. ἦχ. β'.

Πέτρε κορυφαῖε τῶν ἐνδόξων ἀποσόλων ἡ πέτρα τῆς πίστεως, καὶ Παῦλε θεσπέσιε τῶν ἁγίων ἐκκλησιῶν ὁ ῥήτωρ καὶ φωστὴρ, τῷ θείῳ θρόνῳ παριστάμενοι, ὑπὲρ ἡμῶν Χριστῷ πρεσβεύσατε.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

# ΤΑ ΤΟΥ ΤΡΙΩΔΙΟΥ
## ΚΑΙ ΤΟΥ ΠΕΝΤΗΚΟΣΤΑΡΙΟΥ

ἔξω τοῦ χοροῦ.

Ἀπὸ τῆς κυριακῆς τοῦ τελώνου, καὶ φαρισαίου, ἕως τῆς κυριακῆς τῶν ἁγίων πάντων.

Τριῴδ. κατανυκτικὸν εἰς τὴν παναγίαν Τριάδα, λεγόμενον ἐν πάσαις ταῖς Κυριακαῖς, ἀπὸ τῆς κυριακῆς τοῦ τελώνου, ἕως τῶν βαΐων, ἐκτὸς δὲ τῆς Κυριακῆς γ'. τῆς μεγάλης Μ'. ἦχ. πλ. β'. Ὡς ἐν ἠπείρῳ.

Τρεῖς Ὑποστάσεις ὑμνοῦμεν θεαρχικὰς, ἑνιαίας φύσεως, ἀπαράλλακτον μορφὴν, ἀγαθὸν φιλάνθρωπον Θεὸν, τῶν πταισμάτων ἱλασμὸν ἡμῖν δωρούμενον. Ὁ ὑπερούσιος μόνος, ὁ τριλαμπὴς χαρακτῆρσι κύριος, ἐν θεότητι μιᾷ πεφυκὼς συνέτισον ἡμᾶς, καὶ ἀξίωσον τῆς σῆς θείας ἐλλάμψεως.

Νυμφοστολήσας ὁ Παῦλος, τὴν ἐξ ἐθνῶν ἐκκλησίαν ἕνα σε, τρισυπόστατον Θεὸν, προσκυνεῖν ἐδίδαξεν, ἐξ οὗ, καὶ οὗπερ ὁ ἐν ᾧ τὰ πάντα γέγονεν. Θ.

Ἐκ τῆς γαστρός σου προῆλθεν ὁ νοητὸς, θεοτόκε ἥλιος, καὶ κατηύγασεν ἡμᾶς τρισοφαοῦς θεότητος αὐγαῖς, ὃν ὑμνοῦντες εὐσεβῶς, σὲ μακαρίζομεν.

Ἔτι καὶ ἔτι. Ὅτι εὐλογ. ὁ κάθ. καὶ Κοντ. τῆς Κυρ.

Ὠδὴ η'. Ἐκ φλογὸς.

Ἱλασμὸν τῶν πταισμάτων δῶρον παράσχου μοι, καὶ παθῶν πολυτρόπων τὴν ἀπολύτρωσιν, σύμμορφε

Τριὰς,

Τριὰς, καὶ μονὰς τρισυπόστατε, ἵνα σε δοξάζω εἰς πάντας τοὺς αἰῶνας.

Θελητὴς τοῦ ἐλέους καταγγελλόμενος, ὡς Θεὸς ἐλεήμων πάντας ἐλέησον, τρίφωτε μονὰς, καὶ Τριὰς ὑπεράγαθε, τοὺς δοξολογοῦντας εἰς πάντας τοὺς αἰῶνας.

Ἐκ φωτὸς ἀϊδίου φῶς συναΐδιον, τοῦ πατρὸς γεννηθέντα λόγον σὺν πνεύματι, τῷ ἐκπορευτῷ φωτὶ, πίστει δοξάζομεν, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας. Εὐλογ.

Πατρὸν τοῖς ἀνθρώποις ἄχραντε τέτοκας, παντοδύναμον Λόγον Χριστὸν τὸν κύριον, τῆς προγονικῆς πληγῆς πάντας ἰώμενον, τοὺς ὑπερυψοῦντας αὐτὸν εἰς τοὺς αἰῶνας.

## Ὠδ. θ΄. Θεὸν ἀνθρώποις.

Ὡρᾶν αἱ τάξεις Χερουβὶμ, Δέσποτα, κάλλους τοῦ σοῦ, τὴν δόξαν οὐ δυνάμεναι πτέρυξι, κατακαλυπτόμεναι ἀπαύστως τριττὸν ὕμνον ἀναβοῶσι, τὸ τρισυπόστατον τῆς σῆς θεαρχίας ἑνικῆς κράτος δοξάζουσαι.

Τὰς σὰς ἐλλάμψεις, ἄδυτε ἥλιε, τῶν ἱκετῶν παράσχου ταῖς καρδίαις, καὶ φώτισον τὰς ψυχὰς, καὶ λύτρωσαι πταισμάτων πολλῶν, μόνε παντελεῆμον, καὶ τρισυπόστατε, καὶ τῆς ἀκηράτου ζωῆς ἡμᾶς ἀξίωσον.

Ἡ φῶς ὁμότιμον, καὶ τρισήλιον, καὶ φωτεινὸν, θεότης πέφυκυῖα καταύγασον τοὺς πιστῶς σε μέλποντας, καὶ τοῦ ζοφερᾶς ῥῦσαι κακοπραγίας, καὶ καταξίωσον, τῶν φωτεινοτάτων σου σκηνῶν, ὡς ὑπεράγαθος. Θ.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Σοφῶς τὸν ἄνθρωπον πρὶν διέπλασεν, ὁ σὸς Υἱὸς, παρθένε, καὶ φθαρέντα ἀνέπλασε, καὶ διὰ σοῦ πανύμνητε, καὶ Θείου φωτὸς, αἴγλης τῆς ἀνεσπέρου πάντας ἐπλήρωσε, τοὺς σὲ Θεοτόκον ἀληθῆ πίστει δοξάζοντας.

## ΚΥΡΙΑΚΗ ΤΟΥ ΤΕΛΩΝΟΥ

### Καὶ Φαρισαίου.

Δόξα εἰς τὸ ἑσπέρας, ἦχ. πλ. α΄.

ΠΑντοκράτορ κύριε οἶδα πόσα δύναιται τὰ δάκρυα, Ἐζεκίαν γὰρ ἐκ τῶν πυλῶν τοῦ θανάτου ἀνήγαγον, τὴν ἁμαρτωλὸν ἐκ τῶν χρονίων πταισμάτων ἐῤῥύσαντο, τὸν δὲ Τελώνην ὑπὲρ τὸν φαρισαῖον ἐδικαίωσαν. Καὶ δέομαι σὺν αὐτοῖς ἀριθμήσας, ἐλέησόν με. Καὶ νῦν τοῦ ἀνας.

Εἰς τὸ ἀπόδειπν. τοῦ ἁγίου.

Εἰς τὸν ὄρθ. Τριῴδ. ἐκ τοῦ ἀναστασίμου, καὶ ἄλλο εἰς τὴν ἁγ. Τριάδα ὡς ὄπισθεν. Μετὰ τὸ Τριῴδ. τοῦ ἀναστασίμου, καὶ πρώτην ᾠδὴν τοῦ τῆς Τετράδος, τὸ Ἔπ, καὶ ἔπ. Ὅτι ηὐλόγηται, καὶ κάθισμα ταύτης τῆς Κυριακῆς, ἦχ. δ΄.

Ταπείνωσις ὕψωσε κατῃχουμένον κακοῖς, τελώνην συγνάσαντα, καὶ τὸ ἱλάσθητι τῷ κτίστῃ βοήσαντα. Ἔπαρσις δὲ καθεῖλεν ἀπὸ δικαιοσύνης δείλαιον φαρισαῖον μεγαλοῤῥημονοῦντα. ζηλώσωμεν διὸ τὰ καλὰ, κακῶν ἀπεχόμενοι. καὶ καθίσματα καὶ στίχ. τοῦ ἀναστασίμου. Εἶτα, Ἔπ καὶ ἔπ. Σὺ γὰρ, καὶ Κοντ. τοῦ ἀνας. κατ' ἦχον. οἶκος δὲ οὗτος.

Ἐάν-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἐ' αὐτοὺς ἀδελφοὶ ἅπαντες ταπεινώσωμεν, στεναγμοῖς ὀδυρμοῖς τύψωμεν τὴν συνείδησιν, ἵνα ἐν τῇ κρίσει τότε τῇ αἰωνίᾳ ἐκεῖ ὀφθῶμεν πιστοὶ ἀνδ θιωνοι, τυχόντες ἀφέσεως. Ἐκεῖ γὰρ ἐστὶν ὄντως ἡ ἄνεσις, ἣν ἰδεῖν ἡμᾶς νῦν ἱκετεύσωμεν. Ἐκεῖ ὀδύνη ἀπέδρα, λύπη, καὶ οἱ ἐκ βάθους στεναγμοὶ ἐν τῇ Ἐδὲμ τῇ θαυμαστῇ. Ἧς ὁ Χριστὸς δημιουργὸς, Θεὸς ὑπάρχων πατρὶ συνάναρχος.

Ἐξαπος. τῆς ἀνας. καὶ τοῦτο, Τοῖς μαθ. Ὑ ψηγορίαν φύγωμεν Φαρισαίου κακίστην, ταπείνωσιν δὲ μάθωμεν τοῦ τελώνου ἀρίστην ἵν' ὑψωθῶμεν, βοῶντες. Ἱλάσθητι τοῖς δούλοις σου, ὁ τεχθεὶς ἐκ παρθένου Χριστὲ, σωτὴρ, ἑκουσίως καὶ σταυρὸν ὑπομείνας, συνήγειρας τὸν κόσμον σου, θεϊκῇ δυναστείᾳ. Θεοτ. τῆς ἀνας. Εἰς τοὺς αἴν. Δόξα ἑωθ.

## ΚΥΡΙΑΚΗ ΤΟΥ ΑΣΩΤΟΥ.

Τῷ σαββ. ὀψὲ ἑσπ. Δόξα ἦχ. β'.

Ὦ Πόσων ἀγαθῶν ὁ ἄθλιος ἐμαυτὸν ὑστέρησα; ὢ ποίας βασιλείας ἐξέπεσα ὁ ταλαίπωρος ἐγώ; Τὸν πλοῦτον ἠνάλωσα ὅνπερ ἔλαβον, τὴν ἐντολὴν παρέβην; Οἴμοι τάλαινα ψυχὴ τῷ πυρὶ τῷ αἰωνίῳ λοιπὸν καταδικάζεσαι. Διὸ πρὸ τέλους βόησον Χριστῷ, ὡς τὸν ἄσωτον δέξαι με Υἱὸν, ὁ Θεὸς, καὶ ἐλέησόν με. Καὶ νῦν τοῦ ἀναστασ. Εἰς τὸ ἀπόσ. τοῦ ἀγ.

Εἰς τὸν ὄρθρ. τὰ δύο Τριῴδια ὡς ἐν τῇ κυριακῇ τοῦ Τελώνου, Κάθ. τοῦ ἀσώτου ἦχ. α'.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἀγκάλας πατρικὰς διανοῖξαί μοι σπεῦσον, ἀσώτως τὸν ἐμὸν κατηνάλωσα βίον, εἰς πλοῦτον ἀδαπάνητον ἀφορῶν οἰκτιρμῶν σου σωτήρ. Νῦν πτωχεύουσαν μὴ ὑπερίδῃς καρδίαν, σοὶ γὰρ κύριε ἐν κατανύξει κραυγάζω, ἥμαρτόν σοι σῶσόν με. Στιχ. καὶ καθίσματα τοῦ ἀναστασίμου.

Κοντ. τοῦ ἀνας. ὁ οἶκος.

Τοῦ σωτῆρος ἡμῶν καθεκάστην διδάσκοντος δι' οἰκείας φωνῆς, τῶν γραφῶν ἀκουσώμεθα περὶ τοῦ ἀσώτου, καὶ σώφρονος πάλιν. Καὶ τούτου πίστει ἐκμιμησώμεθα τὴν καλὴν μετάνοιαν. Τῷ κατιδόντι πάντα τὰ κρύφια μετὰ ταπεινῆς καρδίας κράξωμεν, ἡμάρτομέν σοι, πάτερ οἰκτίρμον, καὶ οὐκ ἐσμὲν ἄξιοι ποτὲ κληθῆναι τέκνα ὡς πρίν. Ἀλλ' ὡς φύσει ὑπάρχων φιλάνθρωπος, σὺ προσδέχου, καὶ ποίησόν με ὡς ἕνα τῶν μισθίων σου.

Ἐξαπος. τοῦ ἀνας. καὶ τοῦτο. Γυναῖκες.

Τὸν πλοῦτον ὅν μοι δέδωκας τῆς χάριτος ὁ ἄθλιος, ἀποδημήσας ἀχρείως, κακῶς κατηνάλωσα σῶτερ. Ἀσώτως ζήσας δαίμοσι δολίως διεσκόρπισα, διό με ἐπιστρέφοντα, ὥσπερ τὸν ἄσωτον δέξαι, πάτερ οἰκτίρμον καὶ σῶσον.

## ΣΑΒΒΑΤΟΝ ΤΗΣ ΑΠΟΚΡΕΟΥ.

Δόξα καὶ νῦν. εἰς τὸ ἑσπ. ἦχ. πλ. β'.

Ἀρχή μοι καὶ ὑπόστασις τὸ πλαστουργόν σου γέγονε πρόσταγμα, βουληθεὶς γὰρ ἐξ ἀοράτου τε, καὶ ὁρατῆς με ζῶον

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ζῶον συμπῆξαι φύσεως. Γῆθεν μὲν τὸ σῶμα διέπλασας, δέδωκας δή μοι ψυχὴν τῇ θείᾳ καὶ ζωοποιῷ ἐμπνεύσει σου. Διὸ σῶτερ τοὺς δούλους σου ἐν χώρᾳ ζώντων, ἐν σκηναῖς δικαίων ἀνάπαυσον.

Εἰς τὸν ὄρθρ. τὸ ἐν Δόξα τοῦ Μ ακάριοι ἄμωμοι, καὶ εἰς τέλος ὅλα τὰ τροπάρια, κοντάκια, καὶ δεήσεις τῶν κεκοιμ. σὺν τῇ εὐχῇ. Μετὰ τὸ πεντηκος. τοῦ σαββάτου, Τριῴδ. τῆς ἑβδομάδος, καὶ τῶν κεκοιμημένων εἰς τὰ κοινά, ἀκολουθ. β΄. Ἐξαπος. φύλλ. 84.

Εἰς τοὺς αἴν. Δόξα τῶν ἀναπαυσίμων τῆς ἑβδομάδος. φύλλ. 104.

## ΚΥΡΙΑΚΗ ΤΗΣ ΑΠΟΚΡΕΟΥ.

Δόξα εἰς τὸ ἑσπ. ἦχ. πλ. δ΄.

Οἴμοι μέλαινα ψυχὴ ἕως πότε τῶν κακῶν οὐκ ἐκκόπτεις; ἕως πότε τῇ ῥαθυμίᾳ κατάκεισαι; τί οὐκ ἐνθυμῇς τὴν φοβερὰν ὥραν τοῦ θανάτου; τί οὐ τρέμεις ὅλη τὸ φρικτὸν βῆμα τοῦ σωτῆρος; Τὰ ἔργα σου παρίστανται πρὸς ἔλεγχόν σου, αἱ πράξεις σου ἐλέγχουσι κατηγοροῦσαι. Δράμε, πρόφθασον, πίστει βόησον, ἥμαρτον κύριε ἥμαρτόν σοι. Ἀλλ' οἶδα φιλάνθρωπε τὸ εὔσπλαγχνόν σου, ὁ ποιμὴν ὁ καλὸς μὴ χωρήσῃς με τῆς ἐκ δεξιῶν σου παραστάσεως, διὰ τὸ μέγα σου ἔλεος. Καὶ νῦν τοῦ ἀνασταστ.

Εἰς τὸν ὄρθρ. Τριῴδ. τῆς παναγ. Τριάδ. καὶ τῆς παρακλήσεως, καὶ ὅλα τὰ τροπ. Κάθ. ταύτης τῆς Κυρ. μόνως. ἦχ. πλ. α΄. Κ ριτοῦ καθεζομένου, καὶ ἀγγέλων ἑστώτων



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

σάλπιγγος ἠχούσης, καὶ φλογὸς καιομένης, τί ποιήσῃς ψυχήμου ἀπαγομένη εἰς κρίσιν; Τότε γὰρ τὰ δεινά σου παρίστανται, καὶ κρυπτά σου ἐλέγχονται ἐγκλήματα. Διὸ πρὸ τέλους βόησον Χριστῷ τῷ Θεῷ, καρδιογνῶστα ἥμαρτον ἐλέησόν με. Θεοτ.

Κοντάκ. Ὅταν ἔλθῃς ὁ Θεὸς ἐπὶ τῆς γῆς μετὰ δόξης, καὶ τρέμουσι τὰ σύμπαντα, ποταμὸς δὲ πυρὸς πρὸ τοῦ βήματος ἕλκει, καὶ βίβλοι διανοίγονται, καὶ τὰ κρυπτὰ δημοσιεύονται, τότε ῥῦσαίμε ἐκ τοῦ πυρὸς τοῦ ἀσβέστου, καὶ ἀξίωσον ἐκ δεξιῶν σου με στῆναι, κριτὰ δικαιότατε. Οἶκος.

Τὸ φοβερόν σου κριτήριον ἐνθυμούμενος ὑπεράγαθε κύριε, καὶ τὴν ἡμέραν τῆς κρίσεως, φρίττω, καὶ πτοοῦμαι ὑπὸ τῆς συνειδήσεως τῆς ἐμῆς ἐλεγχόμενος. Ὅταν μέλλῃς καθέζεσθαι ἐπὶ τοῦ θρόνου, καὶ ποιεῖν τὴν ἐξέτασιν, τότε ἀρνεῖσθαι τὰς ἁμαρτίας οὐδεὶς ἐξισχύσει, ἀληθείας ἐλεγχούσης, καὶ δειλίας κατεχούσης. Μέγα γὰρ ἠχήσει τότε πῦρ τῆς γεέννης, ἁμαρτωλοὶ δὲ βρύξουσι. Διό με ἐλέησον πρὸ τέλους, καὶ φεῖσαίμου κριτὰ δικαιότατε. Ἐξαπ. Γυναῖκες.

Ἰδοὺ ἡμέρα ἔρχεται κυρίου παντοκράτορος. καὶ τίς ὑποίσει τὸν φόβον τῆς παρουσίας ἐκείνου; Ἡμέρα γὰρ θυμοῦ ἐστὶ, καὶ κλίβανος καιόμενος, ἐν ᾗ κριτὴς καθέζεται, καὶ κατ' ἀξίαν ἑκάστῳ τῶν πράξεων ἀπονέμων. Θεοτ. Ἄχραντε δέσποινα ἁγνή. φ. 88. Εἰς τοὺς αἰν. Δόξα τὸ ἑωθ.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

## ΣΑΒΒΑΤΟΝ ΤΗΣ ΤΥΡΙΝΗΣ,

Εἰς τὸ ἑσπ. Δόξα εἰς ὁσίους. Εἰς τὸ ἀπόδειπν. τὸ Τριῴδ. ἐκ τοῦ ἁγ. τῆς ἡμέρας.

Εἰς τὸν ὄρθ. μετὰ τὸ ἓν Δόξα τοῦ Μακάριοι ἄμωμοι, καθίσματα μαρτυρικὰ τῆς ἑβδομάδος. Εἰς τὸν Ν΄. Πεντηκ. τῶν ὁσίων. Τριῴδια δύο, τῆς ἑβδομάδος καὶ τῶν ὁσίων, οὕτως, ἐκ τῶν κοινῶν. Τὴν α΄. ᾠδὴν σὺν τῷ καθίσματι λέγομεν ἐκ τῶν ἱεραρχῶν, τὴν β΄. ἤγουν τὴν η΄, ἐκ τῶν ὁσίων, τὴν θ΄. ἐκ τῶν γυναικῶν.

Κοντ. ἐκ τοῦ ὡρολογ. ὁ οἶκος.

Ὢ εὐσεβείας κήρυκας, καὶ ἀσεβείας φήμωσα τῶν θεοφόρων δῆμον ἐφαίδρυνας, τὴν ὑφήλιον λάμποντας, ἐν εἰρήνῃ τελείᾳ ταῖς αὐτῶν ἱκεσίαις τοὺς σε δοξάζοντας, καὶ μεγαλύνοντας, διαφύλαξον, ψάλλοντάς σοι, τὸ ἀλληλούϊα.

Ἐξαπ. Γυναῖκες ἀκουτίσθ.

Οἱ κόσμον ἀρνησάμενοι, καὶ τὸν σταυρὸν ἀράμενοι, πληθὺς ὁσίων πατέρων, σὺν τοῖς χοροῖς τῶν μαρτύρων. ἱεραρχῶν ὁμήγυρις, καὶ γυναικῶν τὸ σύνταγμα, ἡμᾶς καταφαιδρύνατε, τοῦ ἀνυμνῆσαι ἀξίως ἡμῶν τὴν πάμφωτον μνήμην. Θεοτ.

## ΚΥΡΙΑΚΗ ΤΗΣ ΤΥΡΟΦΑΓΟΥ.

Δόξα εἰς τὸ ἑσπέρ. ἦχ. πλ. β΄.

Ἥλιος ἀκτῖνας ἔκρυψεν, ἡ σελήνη σὺν τοῖς ἄστροις εἰς αἷμα μετετράπη, ὄρη ἔφριξαν, βουνοὶ ἐτρόμαξαν, ὅτε παράδεισος ἐκλείσθη. ἐκβαίνων ὁ Ἀδὰμ

χερσὶ

χερσὶ τύπτων τὰς ὄψεις, ἔλεγεν, ἐλεῆμον ἐλέησον τὸν παραπεσόντα. Καὶ νῦν τοῦ ἀναστάσ.

Εἰς τὸ ἀπόδειπ. τοῦ ἁγίου.

Εἰς τὸν ὄρθρ. μετὰ τὰ συνήθη τῆς Κυριακῆς, ἐξωδ. τοῦ ἀναστασίμου, καὶ τῆς ἁγ. Τριάδ. εἰς γ'. τροπάρ. καὶ κάθισμα ταύτης τῆς κυρ. καὶ τοῦ ἀναστασίμου.

Κάθ. τῆς Κυριακ. ἦχ. δ'. Κατεπλ.

Ἐξεβλήθη ὁ Ἀδὰμ τοῦ παραδείσου τῆς τρυφῆς, διὰ βρώσεως πικρᾶς, καὶ ἀκρασίᾳ, ἐντολὴν μὴ φυλάξας τὴν τοῦ Δεσπότου, καὶ κατεκρίθη, ἐργάζεσθαι τὴν γῆν, ἐξ ἧς ἐλήφθη. Ἱδρῶτι δὲ πολλῷ ἐσθίειν ἄρτον αὐτοῦ, διὸ ἡμεῖς ποθήσωμεν ἐγκράτειαν, ἵνα μὴ ἔξω θρηνήσωμεν τοῦ παραδείσου, ὥσπερ ἐκεῖνος, ἀλλ' εἰς αὐτὸν ἐλευσώμεθα. στίχ. καὶ καθίσματα τοῦ ἀνας.

Μετὰ τὰ καθίσματα, Ἔπι καὶ ἔπι, καὶ Κοντάκ. τοῦ ἀνας. ὁ οἶκος, οὗτος.

Ἰδὼν Ἀδὰμ τὸν ἄγγελον ὠθήσαντα, καὶ κλείσαντα τὴν τοῦ κήπου θύραν, ἀνεστέναξε μέγα, καὶ ἔλεγεν: Ἐλεῆμον ἐλέησον τὸν παραπεσόντα.

Συναλγησον παράδεισε τῷ κτήτορι πτωχεύσαντι, καὶ τῷ ἤχῳ τῶν φυτῶν σου ἱκέτευσον τὸν κτίστην μὴ κλεῖσαί σε: Ἐλεῆμον ἐλέησον τὸν παραπεσόντα.

Μονὰς Τριὰς ἀχώριστε, ἀμέριστε, δεήσεσι τῆς ἀχράντου Θεοτόκου, οἰκτείρησον, καὶ πάριδε ἁμαρτίας τῶν κραζόντων σοι: Ἐλεῆμον ἐλέησον τὸν παραπεσόντα.

Μετὰ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Μετὰ τὴν θ'. ᾠδὴν ἐλέγετ. τὸ Ἅγιος κύρ.

Ἐξαπος. Τοῖς μαθηταῖς.

Ἀπῳκισθέντες, Κύριε, παραδείσου τὸ πρότερον, διὰ τῆς ξύλου βρώσεως, ἀντεισήγαγες πάλιν διὰ σταυροῦ, καὶ τοῦ πάθους σου, Σωτὴρ, καὶ Θεέ μου, δι' οὗ ἡμᾶς ὀχύρωσον, τὴν νηστείαν πληρῶσαι ἀγνοπρεπῶς, καὶ τὴν θείαν ἔγερσιν προσκυνῆσαι, τὸ πάσχα τὸ σωτήριον, σῆς τεκούσης πρεσβείαις. Εἰς τοὺς αἴν. Δόξα ἐαθ.

Τῇ αὐτῇ Κυριακῇ ἑσπ. τὸ α'. Δόξα τῆς ἑβδομάδος. Εἰς τοὺς στίχ. μετὰ τὸ, Πρὸς σὲ ἦρα, καὶ στίχ. Ἐλέησον ἡμᾶς, Δόξακὴν. τοῦ ἁγίου πολίτου, ἦχ. πλ. β'. Ἔφθασε καιρὸς, ἡ τῶν πνευματικῶν ἀγώνων ἀρχὴ, ἡ τῶν δαιμόνων νίκη, ἡ πάνοπλος ἐγκράτεια, ἡ τῶν ἀγγέλων εὐπρέπεια, ἡ πρὸς Θεὸν παῤῥησία. Δι' αὐτῆς γὰρ Μωϋσῆς γέγονε τῷ κτίστῃ συνόμιλος, καὶ φωνὴν ἀοράτως ἐν ταῖς ἀκοαῖς ὑπεδέξατο. Κύριε δι' αὐτῆς ἀξίωσον καὶ ἡμᾶς προσκυνῆσαι σου τὰ πάθη, καὶ τὴν ἁγίαν ἀνάστασιν, ὡς φιλάνθρωπος. Τροπ. καὶ τὸ ἀπόδειπ. ὡς ἐν τῷ τυπικῷ.

Εἰς τὸν ὄρθ. μετὰ τὰ διατεταγμένα ὑπὸ τοῦ Τυπικοῦ, στιχολογία τοῦ ἑνὸς Δόξα τοῦ ψαλτηρίου, καὶ οὕτω καθεξῆς εἰς ἑβδομάδα, καὶ ἡμέραν. Μήδε λεγομένων ἐν ἐκείνῳ τῷ ὄρθρῳ σὺν τοῦ ψαλτηρίου ψαλμοὺς, ἤδη λεγομένους ἐν τῇ προερχομένῃ ἡμέρᾳ, καὶ ἑβδομάδι. Μετὰ τὴν στιχολογίαν κάθισμα τῆς ἄνω κυριακῆς, καὶ θεοτοκ. Εἶτα τριῴδ. τῆς ἑβδομάδος, καὶ ἄλλο τῆς Πα-

ρα-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ρακλήσεως. (εἰς γ΄. τροπάρια κατ᾽ ᾠδὴν) ἔπεσι. Τῇ δευτέρᾳ μετὰ τὸ Τριῴδ. τῆς ἑβδομάδ. λέγομεν τὴν α΄. τὴν η΄. καὶ τὴν ἐννάτην ᾠδὴν τῆς παρακλήσεως. Τῇ γ΄. τὴν τρίτην, τὴν η΄. καὶ τὴν ἐννάτην. Τῇ δ΄. τὴν τετάρτην ᾠδὴν, καὶ η΄. καὶ θ΄. Τῇ ε΄. τὴν ε΄. καὶ τὰς ῥηθείσας η΄. καὶ θ΄. Τῇ ϛ΄. τὴν ἕκτην ᾠδὴν, καὶ τὰς ῥηθεῖσας. Τῷ σαββάτῳ, τὴν ζ΄. καὶ η΄. καὶ θ΄. ᾠδὴν, καὶ οὕτως ποιοῦμεν εἰς ὅλην τὴν μεγ. μ΄. ἕως ἄλλο οὐ τυποῦται. Μετὰ δὲ τὴν τρίτην ᾠδὴν τῆς Παρακλήσεως, λέγομεν τὴν ᾠδὴν τοῦ ψαλτηρίου, ἀπὸ Ἄσωμεν, καὶ καθεξῆς, κατὰ τὴν ἡμέραν. Μετὰ τὴν η΄. ᾠδὴν τῆς παρακλήσεως λέγομεν τὸ Μεγαλυνάρ. καὶ μετὰ τὴν θ΄. τὰ φωταγωγικά.

Εἰς τοὺς στίχ. ἤγουν μετὰ τὸ Δόξα ἐν Ὑψίστοις, λέγομεν μόνως τοὺς στίχους, Ἐνεπλήσθημεν. Καὶ ἔσω ἡ λαμπρότης. καὶ Δόξα ἰδιόμ. τοῦ ἁγίου πολίτου, ἐκ τῆς ἑσπ. τοῦ σαββάτου. Καὶ αὕτη ἡ τάξις τελεῖται εἰς ὅλην τὴν ἑβδομάδα τῆς μεγάλης Τεσσαρακοστῆς, ἕως οὗ ἄλλο οὐ διατάξηται.

Καθ᾽ ἑκάστην Ὥραν τρίτην, τὴν στιχολογίαν λέγομεν τοῦ ψαλτηρίου, καὶ μίαν κατ᾽ ἦχον.

Εἰς τὴν ἑσπέρ. τῆς β΄. τὰ τῆς ἑσπ. τῆς Κυριακῆς. τὸ α΄. δὲ Δόξα, κατὰ τὴν ἡμέραν τῆς ἑβδομάδος. καὶ εἰς τὸν ὄρθ. τῆς γ΄. ὡς εἰς τὸν ὄρθρ. τῆς β΄. Τὸ Δόξα ἐν τοῦ ψαλτ. καὶ Τριῴδ. τῆς ἑβδομ. καὶ τῆς παρακλήσεως, κατὰ τὴν ἡμέραν.

Ἔξω

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου -
Μουσείο Τυπάλδων Ιακωβάτων

Ἔξω τοῦ χοροῦ, τὴν Ἀκολουθίαν τῶν Κεκοιμημένων ψαλλόμεθα, ἐκτὸς τοῦ ὄρθρου, καὶ ὡς γραφθήσεται ἐν τῷ συνήθει σαββάτῳ.

Τῷ α'. Σαββάτῳ τῶν νηστειῶν.

Εἰς τὸ ἑσπ. Δόξα τοῦ ἁγίου Θεοδώρου εἰς τὰ κοινά. καὶ εἰς τοὺς στίχ. Δόξα τῆς ἑβδομάδος. Εἰς τὸ ἀπόδειπν. Τριῴδιον τῆς παρακλήσεως, καὶ ὅλα τὰ ζοπάρια. Εἰς τὸν ὄρθ. Στιχολογία μία τὸ, Εἶπεν ὁ κύριος, καὶ Καθίσματα μαρτυρικὰ τῆς ἑβδομ. Τριῴδ. τῆς ἑβδομάδος καὶ τοῦ ἁγ. Εἰς τοὺς αἶν. μόνον, τὸ Δόξα τοῦ ἁγίου.

## ΤΗ ΚΥΡΙΑΚΗ Α'. ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Εἰς τὸ ἑσπ. Δόξα καὶ νῦν. ἦχ. α'.

Ὁ Τῇ ἀνάρχῳ καὶ θείᾳ φύσει ἀόρατος, βροτὸς ὁράθη κόρη ἐξ ἁγνῶν σου αἱμάτων δι' ἄκραν εὐσπλαγχνίαν, οὗ τῆς σαρκὸς γεγραφότες τὴν μίμησιν, τιμητικῶς προσκυνοῦμεν πάντες πιστοὶ, εὐσεβῶς καὶ μεγαλύνομεν.

Μετὰ τὸ Καταξίωσον. στίχ. Ὁ κύριος ἐβασ. καὶ Δόξα καὶ νῦν τοῦ ἀναστασίμου.

Εἰς τὸν ὄρθ. Τριῴδ. τοῦ ἀναστασ. καὶ ἄλλο ἐκ τῆς παναγ. Τριάδ. ὡς ἐν τῇ κυριακ. τοῦ Τελώνου. Καθ. τῆς τοιαύτης Κυριακ. ἦχ. πλ. δ'. Τὸ φῶς τῆς τοῦ Χριστοῦ Ἐκκλησίας ἐκλάμψαν ἐφώτισε πιστοὺς, προσκυνεῖν ὀρθοδόξως τὸν πατέρα καὶ λόγον, καὶ Θεῖον Πνεῦμα. μίαν θεότητα, καὶ τὴν σάρκωσιν πίστει, καὶ τὴν εἰκόνα Χριστοῦ τοῦ πάντων Θεοῦ, ἀφανισμῷ ἐχθρῶν, καὶ στηριγμῷ τῆς θείας ἐκκλησίας Χριστοῦ. στίχ. καὶ καθίσμ. τοῦ ἀναστασίμου. Κοντ.

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Κοντ. τῆς ἀνας. ὁ οἶκος.

Τοῦτο τὸ τῆς οἰκονομίας μυστήριον πάλαι προφῆται θεοειδῶς ἐμπνευσθέντες, δι' ἡμᾶς τοὺς εἰς τὰ τέλη τῶν αἰώνων καταντήσαντας προκατήγγειλαν. Τῆς τούτου τυχόντες ἐλλάμψεως, γνῶσιν δὲ θείαν δι' αὐτοῦ λαβόντες, ἕνα κύριον τὸν Θεὸν γινώσκωμεν ἐν τρισὶν ὑποστάσεσιν δοξαζόμενον. Καὶ αὐτῷ μόνῳ λατρεύοντες, μίαν πίστιν, ἓν βάπτισμα ἔχοντες Χριστὸν ἐνδεδύμεθα: ἀλλ' ὁμολογοῦντες τὴν σωτηρίαν, ἔργῳ καὶ λόγῳ ταύτην ἀνιστοροῦμεν.

Ἐξαποστειλάρ. Γυναῖκες.

Σκιρτήσατε, κροτήσατε, μετ' εὐφροσύνης ᾄσατε, ὡς θαυμαστοῦ καὶ ξένα Χριστὲ βοῶντες τὰ ἔργα. Καὶ τίς ἰσχύσει ἐξειπεῖν σωτὴρ τὰς δυναστείας σου, τοῦ τὴν ἡμῶν ὁμόνοιαν, καὶ συμφωνίαν εἰς μίαν ἑνώσαντος ἐκκλησίαν. Εἰς τοὺς αἶν. Δόξα τὸ ἑωθ.

Τῇ αὐτῇ κυριακῇ ἑσπ. τὸ α'. Δόξα τῆς ἑβδομάδ. Μετὰ τὸ Καταξίωσ. στίχ. Πρὸς σὲ ἦρα, Ἐλέησον ἡμᾶς, καὶ Δόξα ἰδιόμ. τοῦ ἁγ. Πολίτου ἦχ. πλ. β'.

Μωσῆς τῷ καιρῷ τῆς ἐγκρατείας νόμον ἐδέξατο, καὶ λαὸν ἐπεσπάσατο, Ἠλίας νηστεύσας οὐρανοὺς ἀπέκλεισε, τρεῖς δὲ παῖδες ἀβραμιαῖοι τύραννον παρανομοῦντα διὰ νηστείας ἐνίκησαν. Δι' αὐτῆς καὶ ἡμᾶς σωτὴρ ἀξίωσον τῆς ἀναστάσεως τυχεῖν. οὕτω βοῶντας, ἅγιος ὁ Θεὸς, ἅγιος ἰσχυρὸς, ἅγιος ἀθάνατος ἐλέησον ἡμᾶς. Καινιῶ. Θεοτ.

Τῇ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Τῇ παρασκευῇ τῆς β'. ἑβδομ. Δόξα εἰς τὸ ἑσπέρ. Ἀπόστολοι, ὡς ἔθος τῆς μ'. Εἰς τοὺς στίχ. Δόξα τοῦ ἀγ. πολ. μετὰ τῶν στίχ. Εἰς τὸ ἀπόδ. παράκλησις, καὶ εἰς Τριῴδιον, ὡς ἄνω.

Σαββ. β'. τῶν νηστειῶν εἰς τὸν ὄρθ.

Τροπ. ὡς ἔθος. Τὸ α'. Δόξα ἐν τοῦ, Μακάριοι ἄμωμοι, ὥς τε τῷ γ'. σαββ. τὸ β'. Δόξα. Ἔξω τοῦ χοροῦ εἰς τὸν ὄρθρ. μόνον, λέγομεν τὴν συναπτὴν τῶν δεήσεων τῶν ἀναπαυσίμων σὺν τῇ εὐχῇ. Μετὰ τὸν Ν'. καὶ Πεντηκοσ. Τριῴδ. τῆς ἑβδομ. καὶ τοῦ ἀγ. καὶ καθίσματα μαρτυρικά. Κοντ. Ὡς ἀπαρχάς.

Φωταγωγ. πρὸς Ἐπεσκέψατο.

Ταῖς πρεσβείαις ὁ Θεὸς τῶν ἀθλοφόρων κύριε, ἱεραρχῶν, καὶ ὁσίων, καὶ πάντων σου τῶν ἐκλεκτῶν, τοὺς κοιμηθέντας δούλους σου ἐν τρυφῇ παραδείσου, κατάταξον κύριε. Θεότ. Ἄχραντε δέσπ. φύλλ. 88. Εἰς τοὺς αἶν. δόξα τῆς ἀναπαυσ. καὶ οὕτως ποιοῦμεν ἐν πᾶσι τοῖς σάββασι τῆς μ'.

ΚΥΡΙΑΚΗ Β'. ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Τὰ πάντα ὡς ἐν τῇ κυριακῇ τοῦ ἀσώτου. Τὸ δὲ α'. Δόξα τοῦ ἀσώτου, τὸ β'. εἰς τοὺς στίχ. τοῦ ἀναστασ. τὰ λοιπὰ ὡς ἔθος. Τῇ αὐτῇ ἡμέρ. τῆς Κυρ. εἰς τοὺς στίχ. Δόξα ἦχ. πλ. β'. Τοῖς ἐν σκότει ἁμαρτημάτων πορευομένοις, φῶς ἀνέτειλας Χριστὲ τῷ καιρῷ τῆς ἐγκρατείας, καὶ τὴν εὔσημον ἡμέραν τοῦ πάθους σου δεῖξον ἡμῖν, ἵνα βοῶμέν σοι, ἀνάστα ὁ Θεὸς, ἐλέησον ἡμᾶς. τὰ λοιπὰ ὡς ἐν τῇ παρελθούσῃ ἑβδομάδι. ΚΥ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

## ΚΥΡΙΑΚΗ Γ'. ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Τὸ πρῶτον Δόξα ἦχ. δ'. Ὁ συμμαχήσας κύριε. φύλλ. 174. τὸ β'. τοῦ ἀναστασ.

Εἰς τὸν ὄρθ. κανὼν τοῦ σταυροῦ τῆς δ'. τῆς ἑβδομ. ἄνευ τῶν μαρτυρικ. καὶ Καταβασίαι τοῦ Πάσχα. μόνως.

Κάθ. ἐκ τῆς αὐτῆς δ'. τῆς ἑβδομ. Κοντακ. Οὐκ ἔτι φλογίνη ῥομφαία φυλάττει τὴν πύλην τῆς Ἐδέμ. αὐτῇ γὰρ ἐπέστη παράδοξος δέσις, τὸ ξύλον τοῦ σταυροῦ, θανάτου τὸ κέντρον, καὶ ᾅδου τὸ νῖκος ἐλήλαται. Ἐπέστης δὲ σωτήρ μου τοῖς ἐν ᾅδῃ εἰσάγεσθαι πάλιν εἰς τὸν παράδεισον. ἄλλο ἐκ τῆς δ'. ἐξαποστειλ. τὰ τοῦ σταυροῦ. τὰ λοιπὰ ὡς ἔθος.

Τῇ αὐτῇ κυριακῇ ἑσπ. τὸ β'. Δόξα. Χριστὲ ὁ Θεὸς ἡμῶν. φύλλ. 173.

Τῇ δ'. τῆς ἑβδομ. εἰς τὸν ὄρθ. καν. συνήθης τοῦ Σταυροῦ. κοντ. τῆς κυριακ. καὶ Ἐξαποστειλ. τὸ Δόξαν τοῦ ἑσπερ. τῆς κυριακ.

Τῇ δ'. ἑσπέρ. τὸ πρῶτον Δόξα, τοῦ σταυροῦ. τὸ Δόξα εἰς τοὺς στίχ. ἦχ. δ'.

Ἡ τῶν ἀγαθῶν πρόξενος νηστεία τὴν ἑαυτῆς μεσότητα νῦν ἐπήγαγε, ταῖς προλαβούσαις ἡμέραις εὐαρεστήσασα, καὶ ταῖς ἐφεξῆς τὴν ὠφέλειαν προτεθεῖσα, καὶ γὰρ τῶν χρηστῶν ἡ ἐπίτασις πλείω τὴν εὐεργεσίαν ποιεῖται. Διὸ τῷ πάντων καλῶν δοτῆρι Χριστῷ εὐαρεστοῦντες βοῶμεν, ὁ νηστεύσας ὑπὲρ ἡμῶν, καὶ σταυρὸν ὑπομείνας, ἀκατακρίτους ἡμᾶς ἀξίωσον μετασχεῖν καὶ τοῦ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

τοῦ Θείου Πάσχα σου. ἐν εἰρήνῃ βιοτεύοντας καὶ ἀπαύστως σὺν Πατρί σε, καὶ Πνεύματι δοξάζοντες.

## ΚΥΡΙΑΚΗ Δ'. ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Τὸ α'. Δόξα καὶ νῦν. ἦχ. πλ. β'.

Λῃσταῖς λογισμοῖς περιπεσὼν ὁ Ἀδὰμ ἐκλάπη τὸν νοῦν, τραυματισθεὶς τὴν ψυχὴν, καὶ ἔκειτο γυμνὸς ἀντιλήψεως, οὔτε ἱερεὺς ὁ πρὸ τοῦ νόμου προσέσχεν αὐτῷ, οὔτε λευίτης μετὰ νόμον ἐπεῖδεν αὐτόν. εἰ μὴ σὺ ὁ παραγενόμενος Θεὸς οὐκ ἐκ σαμαρείας, ἀλλ' ἐκ τῆς θεοτόκου, κύριε δόξα σοι. Καθ. ἦχ. πλ. α'.

Τὸν ἄχραντον σταυρόν σου σωτὴρ ἡμῶν, ὡς ὅπλον σωτηρίας κατέχοντες, ἐν αὐτῷ σοὶ βοῶμεν, σῶσον ἡμᾶς ὁ παθὼν ἑκουσίως ὑπὲρ ἡμῶν, ὁ πάντων Θεὸς, ὡς πολυέλεος.

Κοντ. Τῷ κλίναντι τῇ καταβάσει τοὺς οὐρανοὺς, καὶ σαρκωθέντι ἐκ τῆς παρθένου δίχα φθορᾶς, πάντες ἁμαρτωλοὶ προσδράμωμεν, δάκρυα προσφέροντες μύρου τιμιώτερα, καὶ πιστῶς βοήσωμεν, κύριε ἄνες τοῖς δούλοις σου, χεῖρα ἡμῖν ἔκτεινον ἐξ ὕψους τὴν ἄχραντον, μόνος γὰρ ὑπάρχεις, ὁ γινώσκων τὰ ἐγκάρδια πάντων.

Ἐξαποστειλ. ἐκ τοῦ κυριακῆς τοῦ Ἀσώτου φ. 646.

Τῇ δ'. τῆς ε'. ἑβδ. εἰς τὸ ἀπόδ. τοῦ ἁγ. καὶ λέγομεν τὰ τροπάρια τοῦ μεσονυκτίου.

Εἰς τὸν ὄρθρον μετὰ τὰ Τριαδ. καὶ στιχολ. τοῦ ψαλτηρίου καὶ τὰ ἄλλα, λέγωμεν τὰς ε'. ᾠδὰς τοῦ ψαλ-



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

πεῖν ἃς ἐκ ἐψάλαμεν ἐν τῇ μ΄. σὺν τῷ Μεγαλυνάριον παρὰ τὴν ᾠδῶν τοῦ κανόνος, καὶ ε΄. ᾠδὰς τοῦ κανόνος ᾄδομεν τῆς παρακλήσεως, ἤγουν τὴν α΄. καὶ τὴν γ΄. τὴν ζ΄. η΄. θ΄. Μετὰ τὴν γ΄. ᾠδὴν, τὸ κάθισμα τῆς παρακλήσ. καὶ Κοντάκιον, Ψυχήμου, καὶ ὁ οἶκος, Τὸ τοῦ Χριστοῦ ἰατρεῖον. Μετὰ τὸ Δόξα ἐν Ὑψίστοις, Δόξα τοῦ ἁγ. Ἀνδρέου Κρήτης. ἦχ. πλ. α΄. Ὅσιε πάτερ.

## ΚΥΡΙΑΚΗ Ε΄. ΤΩΝ ΝΗΣΤΕΙΩΝ

Δόξα ἦχ. δ΄. εἰς τὴν ὁσ. Μαρίαν τὴν Αἰγυπτίαν.

Ἐθαυματούργησε Χριστὲ τοῦ σταυροῦ σου ἡ δύναμις, ὅπως καὶ ἡ πρώην πόρνη ἀσκητικὸν ἀγῶνα ἠγωνίσατο. ὅθεν καὶ τὸ ἀσθενὲς ἀπορρίψαμένη, γενναίως ἀντέστη κατὰ τοῦ διαβόλου, διὸ καὶ τὸ βραβεῖον τῆς νίκης κομισαμένη, πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Θεοτ.

Τὸ β΄. Δόξα, ὡς ἔθος τοῦ ἀναστασ.

Εἰς τὸν ὄρθρ. κάθ. ἦχ. πλ. β΄. Ἁμαρτιῶν τῇ νόσῳ κατατηκόμενος, τῆς ἀπογνώσεως κλίνῃ κατάκειμαι, διὸ με ἰατρὲ τῶν ἀσθενούντων ἐπίσκεψαι τῇ σῇ φιλανθρωπείᾳ. Καὶ μὴ παραχωρήσῃς ἐναφυπνῶσαι δεινῶς εἰς θάνατον, πανοικτίρμον, ἵνα βοῶ σοι θερμῶς, ὁ τοῦ ἐλέους χορηγὸς, κύριε δόξα σοι.

Κόντ. τοῦ ἦχ. ὁ οἶκ. Ὁ κτίσης καὶ ποιητὴς, ὁ πλάστης καὶ λυτρωτὴς, ἄνες, ἄφες μοι Χριστὲ ὁ Θεὸς, τὴν ψυχήν μου ἐλέησον, ὅταν μέλλῃς ἐξετάζειν με. Τότε φεῖσαί μου ὡς εὔσπλαγχνος, δέξαι τὴν δέησιν τοῦ ἱκέτου σου, ὁ ἐν θρόνῳ φρικτῷ ἐποχούμενος.

Ἐξα-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἐξαποστειλ. Ὁ οὐρανὸν τοῖς ἄστρ.

Ὑπόδειγμα μετανοίας σοὶ ἔχοντες πανοσία, Μαρία Χριστὸν δυσώπει, τοῦτο ἡμῖν δωρηθῆναι. ὅπως ἐν πίστει καὶ πόθῳ σὲ ᾄσμασιν εὐφημῶμεν. Θεοτ. Ὁ γλυκασμὸς τῶν ἀγγ.

Τῷ σαββάτῳ τοῦ δικαίου Λαζάρου.

Τῇ παρασκ. ἑσπ. τὸ α'. Δόξα καὶ νῦν. ἦχ. πλ. β'.

Κύριε πιστῶσαι θέλοντες μαθητάς σου τὴν ἐκ νεκρῶν σου ἔγερσιν, ἐν τῷ μνήματι τοῦ Λαζάρου παραγέγονας. καὶ φωνήσαντός σου τοῦτον ὁ ᾅδης ἐσκυλεύθη, καὶ ἀπέλυσε τὸν τετραήμερον, βοῶντά σοι, εὐλογημένε κύριε δόξα σοι.

Τὸ β'. Δόξα καὶ. ἦχ. πλ. δ'. Τὴν ψυχοφελῆ πληρώσαντες τεσσαρακοστὴν, καὶ τὴν ἁγίαν ἑβδομάδα τοῦ πάθους σου αἰτοῦμεν κατιδεῖν φιλάνθρωπε, τοῦ δοξάσαι ἐν αὐτῇ τὰ μεγαλεῖά σου, καὶ τὴν ἄφατον δι' ἡμᾶς οἰκονομίαν σου, ὁμοφρόνως μελῳδοῦντας, κύριε δόξα σοι.

Εἰς τὸ ἀπόδ. Τριῳδ. τοῦ Λαζάρου ἦχ. α'. ᾠδὴ α'. ᾠδὴν ἐπινίκιον.

Νεκρὸν τετραήμερον ἐξαναστήσας σωτήρ μου τὸν Λάζαρον, τῆς φθορᾶς ἀπήλλαξας βραχίονι ὑψηλῷ, καὶ ἔδειξας ὡς δυνατὸς τὴν ἐξουσίαν σου.

Φωνήσας τὸν λάζαρον ἐκ τοῦ μνημείου, εὐθὺς ἐξανέστησας. ἀλλ' ὁ ᾅδης κάτωθεν πικρῶς ὀδύρεται, καὶ στένων ἔτρεμε σωτὴρ τὴν ἐξουσίαν σου.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Εδάκρυσας κύριε ἐπὶ Λαζάρῳ, δεικνύων τὴν σάρκωσιν τῆς οἰκονομίας σου. καὶ ὅτι φύσει Θεὸς ὑπάρχων, φύσει καθ' ἡμᾶς γέγονας ἄνθρωπος. Δόξα.

Πατέρα δοξάσωμεν, Υἱὸν, καὶ Πνεῦμα, Τριάδα ἀχώριστον ἐν μονάδι φύσεως, καὶ σὺν ἀγγέλοις αὐτὴν ὡς ἕνα ἄκτιστον Θεὸν δοξολογήσωμεν. Καὶ νῦν.

Ατρέπτως κυήσασα παρθενομῆτορ τὸν Κτίστην τῆς κτίσεως, ἐξ ἁγίου πνεύματος, κατ' εὐδοκίαν πατρὸς ἐγέννησας δίχα φθορᾶς, παρθένος μείνασα.

Καθ. ἦχ. δ'. Κατεπλάγη Ἰωσήφ.

Συμπαρέστησαν Χριστῷ αἱ τοῦ Λαζάρου ἀδελφαὶ, καὶ δακρύουσαι πικρῶς, καὶ ὀλολύζουσαι αὐτῷ ἔφησαν, κύριε τέθνηκε Λάζαρος. αὐτὸς δὲ ὡς Θεὸς οὐκ ἀγνοῶν τὴν ταφὴν, ἤρετο πρὸς αὐτὰς ποῦ τεθήκατε; καὶ προσελθὼν τῷ τάφῳ προσεφώνει τὸν τετραήμερον Λάζαρον. εὐθὺς δὲ ἀνέστη, καὶ προσεκύνει τὸν αὐτὸν ἀναστήσαντα. Ὠδ. η'. Οἱ οὐρανοί.

Ο Ποιητὴς, καὶ συνοχεὺς τῶν ἁπάντων δι' εὐσπλαγχνίαν ἐν Βηθανίᾳ ἐπέστη ἐγεῖραι τὸν Λάζαρον. ὁ τεταρταῖος ὁδωδὼς καὶ κειρίαις συμπλημμένος ἦλλατο ἔμπνους ὁ ἄπνους φωνοῦντός σου κύριε.

Ἅδης ἀκούσας Ἰησοῦ τῆς φωνῆς σου, Λάζαρε δεῦρο, πικρῶς ἐστέναξεν, οἴμοι, καὶ σύντρομος γέγονεν.

Εὐλογοῦμεν.

Σὺν τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τὸ Πνεῦμα δοξολογοῦσι, καὶ ὑμνοῦσιν ἀσιγήτως βοῶσι, τρισάγιε δόξα σοι.

Καὶ-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου -
Μουσείο Τυπάλδων Ιακωβάτων

Καινῶ.

Σὲ εὐλογῶ, καὶ προσκυνῶ τὸν τεχθέντα ἐκ τῆς παρθένου, μὴ χωρισθέντα τοῦ θρόνου τῆς ἁγίας δόξης σου.

Ὠδ. θ'. Εποίησε κράτος.

Υ Μνείσθω τὸ θαῦμα Βηθανία σὺν ἡμῖν, ἐν ταύτῃ γὰρ ἐδάκρυσεν ὁ Κτίστης, τὸν Λάζαρον ἀνιστῶν, νόμῳ φύσεως σαρκὸς, καὶ Μάρθας τὰ δάκρυα λοιπὸν, καὶ τὸν κλαυθμὸν Μαρίας εἰς χαρὰν μεταβαλὼν, τὸν νεκρὸν ἐγείρεις.

Πιστούμενος λόγε τὴν ἀνάστασιν τὴν σὴν, ἐκάλεσας τὸν Λάζαρον ἐκ τάφου, καὶ ἤγειρας ὡς Θεὸς, ἵνα δείξῃς τοῖς λαοῖς Θεόν τε, καὶ ἄνθρωπον ὁμοῦ ἐν ἀληθείᾳ ὄντα, καὶ ἐγείραντα ναὸν τοῦ σώματός σου.

Συνέσεισας πύλας, καὶ μοχλοὺς τοὺς σιδηροὺς ἐφόβησας τὸν ᾅδην τῇ φωνῇ σου, καὶ ἔπληξε σὺν αὐτῷ καὶ ὁ θάνατος εὐθύς. ὡς εἶδον τὸν Λάζαρον Σωτὴρ, τὸν παρ' αὐτοῖς δεσμώτην, ψυχωθέντα τῇ φωνῇ, καὶ ἐξαναστάντα.

Δόξα.

Τριὰς παναγία, Πάτερ ἄναρχε Θεὲ, συνάναρχε Υἱὲ, καὶ θεῖε λόγε, Παράκλητε ἀγαθὲ Πνεῦμα ἅγιον Θεοῦ, τὸ ἐντρισήλιον φάος, ἡ συμφυὴς οὐσία, εἷς Θεὸς καὶ κύριος οἰκτείρον τὸν κόσμον.

Καινῶ.

Ὁ πάντα ποιήσας ἐν σοφίᾳ Ἰησοῦ, καὶ ὅλον με φορέσας ἐκ παρθένου, καὶ ὅλος μένων ἀεὶ ἐν τοῖς κόλποις τοῦ πατρὸς. Τὸ ἅγιόν σου πνεῦμα Χριστὲ ἐπὶ τὸ ποίμνιόν σου καταπέμψας ὡς Θεὸς, ἐπισκίασον ἡμᾶς.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Εἰς τὸν ὄρθρ. στιχολ. Εἶπεν ὁ κύριος. Τριῴδ. τοῦ σαββ. τῆς ἑβδομάδ. ἄνευ τοῦ νεκρωσίμου, ἀλλὰ εἰς γ΄. τροπάρια, καὶ Τριῴδ. Λαζάρου ὡς ἄνω, Καθ. ὡς ἄνω, καὶ μόνως. Κοντ. Ἡ πάντων χαρὰ Χριστὸς ἡ ἀλήθεια, τὸ φῶς ἡ ζωὴ, τοῦ κόσμου ἡ ἀνάστασις τοῖς ἐν γῇ πεφανέρωται, τῇ αὐτοῦ ἀγαθότητι γεγονὼς τύπος τῆς ἀναστάσεως, τοῖς πᾶσι παρέχων θείαν ἄφεσιν.

Ἐξαποστειλ. Ἐπεσκέψατο.

Λόγῳ σου λόγε τοῦ Θεοῦ, Λάζαρος νῦν ἐξάλλεται· πρὸς βίον παλινδρομήσας, καὶ μετὰ κλάδων οἱ λαοί σε κραταιὲ γεραίρουσιν, ὅτι εἰς τέλος ὀλέσεις τὸν ᾅδην θανάτῳ σου. Θεοτοκ. Ἄχραντε δέσποινα. Εἰς τοὺς αἶν. δοξαστικὸν νῦν. Τὴν ψυχωφελῆ, ὡς ἄνω εἰς τὸ ἑσπ.

## ΚΥΡΙΑΚΗ ΤΗΣ ΒΑΙΟΦΟΡΟΥ.

Τῷ σαββ. ὀψὲ ἑσπ. κ᾽ στιχολογουμένου. Τὸ α΄. Δόξα ἦχ. β΄.

Εἰσερχομένου σου κύριε εἰς τὴν ἁγίαν πόλιν, ἐπὶ πώλου καθήμενος ἔσπευδες ἐλθεῖν ἐπὶ τὸ πάθος, ἵνα πληρώσῃς νόμον, καὶ προφήτας. οἱ δὲ παῖδες τῶν ἑβραίων τῆς ἀναστάσεως τὴν νίκην προμηνύοντες, ὑπήντων σοι μετὰ κλάδων, καὶ βαΐων λέγοντες, εὐλογημένος εἶ σωτὴρ, ἐλέησον ἡμᾶς. Τὸ β΄. Δόξα. ἦχ. α΄.

Πρὸ ἓξ ἡμερῶν τοῦ Πάσχα, ἡ φωνή σου ἠκούσθη κύριε εἰς τὰ βάθη τοῦ ᾅδου, ὅθεν καὶ τὸν Λάζαρον τετραήμερον ἤγειρας. οἱ δὲ παῖδες τῶν ἑβραίων ἔκραζον, ὡσαννὰ ὁ Θεὸς ἡμῶν δόξα σοι.

Εἰς

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Εἰς τὸ ἀπόδ. Τριῴδ. τοῦ Λαζάρου ὡς χθές.
Εἰς τὸν ὄρθρ. μετὰ τοὺς τρεῖς ψαλ. Ὑπακοή. Μετὰ κλάδων.

Τὸ Εὐαγγέλιον κατὰ Ματθαῖον.

Τῷ καιρῷ ἐκείνῳ, ὅτε ἤγγισεν ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα, καὶ ἦλθον εἰς Βηθφαγὴ πρὸς τὸ ὄρος τῶν Ἐλαιῶν, τότε ἀπέστειλε δύο μαθητάς, λέγων αὐτοῖς, πορεύθητε εἰς τὴν κώμην, τὴν ἀπέναντι ὑμῶν, καὶ εὐθέως εὑρήσετε ὄνον δεδεμένην, καὶ πῶλον μετ' αὐτῆς, λύσαντες, ἀγάγετέ μοι. Καὶ ἐάν τις ὑμῖν εἴπῃ τι, ἐρεῖτε, ὅτι ὁ Κύριος αὐτῶν χρείαν ἔχει, εὐθέως δὲ ἀποστελεῖ αὐτούς. Τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προφήτου, λέγοντος, εἴπατε τῇ θυγατρὶ Σιών, ἰδού, ὁ Βασιλεύς σου ἔρχεταί σοι πραΰς, ἐπιβεβηκὼς ἐπὶ ὄνον, καὶ πῶλον υἱὸν ὑποζυγίου. Πορευθέντες δὲ οἱ μαθηταί, καὶ ποιήσαντες καθὼς προσέταξεν αὐτοῖς ὁ Ἰησοῦς, ἤγαγον τὴν ὄνον καὶ τὸν πῶλον, καὶ ἐπέθηκαν ἐπάνω αὐτῶν τὰ ἱμάτια αὐτῶν, καὶ ἐπεκάθισεν ἐπάνω αὐτῶν. Ὁ δὲ πλεῖστος ὄχλος ἔστρωσαν ἑαυτῶν τὰ ἱμάτια ἐν τῇ ὁδῷ, ἄλλοι δὲ ἔκοπτον κλάδους ἀπὸ τῶν δένδρων, καὶ ἐστρώννυον ἐν τῇ ὁδῷ. Οἱ δὲ ὄχλοι οἱ προάγοντες καὶ οἱ ἀκολουθοῦντες, ἔκραζον λέγοντες, ὡσαννὰ τῷ Υἱῷ Δαβίδ, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, ὡσαννὰ ἐν τοῖς ὑψίστοις. Καὶ εἰσελθόντος αὐτοῦ εἰς Ἱεροσόλυμα, ἐσείσθη πᾶσα ἡ πόλις, λέγουσα, τίς ἐστιν οὗτος; Οἱ δὲ ὄχλοι ἔλεγον. Οὗτός ἐστιν Ἰησοῦς ὁ προ-



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

φήτης, ὁ ἀπὸ Ναζαρὲτ τῆς Γαλιλαίας. Ἰδόντες δὲ οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς τὰ θαυμάσια ἃ ἐποίησε, καὶ τοὺς παῖδας κράζοντας ἐν τῷ Ἱερῷ, καὶ λέγοντας, ὡσαννὰ τῷ Υἱῷ Δαβίδ, ἠγανάκτησαν. Καὶ εἶπον αὐτῷ, ἀκούεις τί οὗτοι λέγουσιν; Ὁ δὲ Ἰησοῦς λέγει αὐτοῖς ναὶ, οὐδέποτε ἀνέγνωτε, ὅτι ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον; Καὶ καταλιπὼν αὐτοὺς, ἐξῆλθεν ἔξω τῆς πόλεως εἰς Βηθανίαν, καὶ ηὐλίσθη ἐκεῖ.

Τριώδ. ἦχ. δ'. Ὠδὴ α'.

Ὤφθησαν αἱ πηγαὶ τῆς ἀβύσσου νοτίδος ἄμοιροι, καὶ ἀνεκαλύφθη, θαλάσσης κυμαινούσης τὰ θεμέλια τῇ καταιγίδι, νεύματι ταύτης γὰρ ἐπιτιμήσας, περιούσιον λαὸν δὲ ἔσωσας, ᾄδοντα ἐπινίκιον ὕμνον σοι κύριε.

Στόματος ἐκ νηπίων ἀκάκων, καὶ θηλαζόντων αἶνον τῶν σῶν ἱκετῶν κατηρτίσω, καταλῦσαι τὸν ἀντίπαλον, καὶ ἐκδικῆσαι πάθει σταυροῦ τὴν πτῶσιν τοῦ πάλαι Ἀδὰμ, διὰ ξύλου ἀναστῆσαι, τοῦτον δὲ ᾄδοντα ἐπινίκιον ὕμνον σοι κύριε.

Αἴνεσιν ἐκκλησία ὁσίων τῷ ἐνοικοῦντι Σιὼν, σοὶ Χριστὲ προσφέρει, ἐν σοὶ δὲ Ἰσραὴλ τῷ ποιητῇ αὐτοῦ χαίρει, καὶ ὄρη ἔθνη, ἀντίτυπα λιθοκάρδια ἐκ προσώπου σου ἠγαλλιάσαντο, ᾄδοντα ἐπινίκιον ὕμνον σοι κύριε. Καθ. Μετὰ κλάδων.

Ἔτι καὶ ἔτι. Σὺ γὰρ εἶ Χριστέ. Κοντάκιον.

Τῷ θρόνῳ ἐν οὐρανῷ, τῷ πώλῳ ἐπὶ τῆς γῆς ἐπο-

χού-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

χόμενος Χριστὲ ὁ Θεὸς, τῶν ἀγγέλων τὴν αἴνεσιν, καὶ τῶν παίδων ἀνύμνησιν προσεδέξω, βοώντων σοι: εὐλογημένος εἶ ὁ ἐρχόμενος, τὸν Ἀδὰμ ἀνακαλέσασθαι.

ὁ οἶκος.

Ἐπειδὴ ᾅδην ἔδησας, καὶ θάνατον ἐνέκρωσας, καὶ κόσμον ἀνέστησας, βαΐοις τὰ νήπια ἀνευφήμουν σε Χριστὲ ὡς νικητὴν, κραυγάζοντά σοι σήμερον: ὡσαννὰ τῷ Υἱῷ Δαβίδ. Οὐκ ἔτι γὰρ φησὶ σφαγίσονται βρέφη, διὰ τὸ βρέφος Μαριὰμ, ἀλλ' ὑπὲρ πάντων νηπίων, καὶ πρεσβύτων μόνος σταυροῦσαι. Οὐκ ἔτι καθ' ἡμῶν χωρήσει τὸ ξίφος, ἡ σὴ γὰρ πλευρὰ νυγήσεται λόγχῃ, ὅθεν ἀγαλλόμενοι φαμέν: εὐλογημένος εἶ ὁ ἐρχόμενος, τὸν Ἀδὰμ ἀνακαλέσασθαι.

Ὠδὴ η'.

Εὐφράνθητι Ἱερουσαλὶμ, πανηγυρίσατε οἱ ἀγαπῶντες Σιὼν, ὁ βασιλεύων γὰρ εἰς τοὺς αἰῶνας κύριος τῶν δυνάμεων ἦλθεν. εὐλαβείσθω πᾶσα ἡ γῆ ἐκ προσώπου αὐτοῦ, καὶ βοάτω, πάντα τὰ ἔργα ὑμνεῖτε τὸν κύριον.

Νέον πάλαι ἐπιβεβηκὼς ὁ βασιλεύς σου Σιὼν ἐπέστη Χριστὸς, τὴν γὰρ ἄλογιστον εἰδώλων πλάνην λῦσαι, καὶ τὴν ἀκάθεκτον ὁρμὴν ἀναστεῖλαι πάντων ἐθνῶν παραγέγονεν, εἰς τὸ μέλπειν, πάντα τὰ ἔργα ὑμνεῖτε τὸν κύριον.

Ὁ Θεός σου χαῖρε Σιὼν σφόδρα ἐβασίλευσεν, εἰς τοὺς αἰῶνας Χριστὸς. Οὗτος ὡς γέγραπται πραῢς καὶ σώζων, δί-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

δίκαιος λυτρωτὴς ἡμῶν ἦλθεν, ἐπὶ πῶλυ, ἵππειον θράσος ὀλέσαι ἐχθρῶν, μὴ βοώντων, πάντα τὰ ἔργα ὑμνεῖτε τὸν κύριον. Θεοτ.

Σπανίζεται θείων περιβόλων τὸ παράνομον συνέδριον ἀπειθῶν, τὸν προσευχῆς Θεοῦ ἐπείπερ οἶκον, σπήλεον ἀπειργάσατο λῃστῶν, ἐκ καρδίας τὸν λυτρωτὴν ἀποταξάμενοι, ᾧ βοῶμεν, πάντα τὰ ἔργα ὑμνεῖτε τὸν κύριον. Ὠδὴ θ΄.

Θεὸς κύριος, καὶ ἐπέφανεν ἡμῖν, συστήσατε ἑορτὴν καὶ ἀγαλλόμενοι δεῦτε μεγαλύνωμεν Χριστὸν, μετὰ βαΐων καὶ κλάδων, ὕμνοις κραυγάζοντες, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου, Σωτῆρος ἡμῶν.

Ἔθνη ἵνα τί ἐφρυάξατε, γραφεῖς, καὶ ἱερεῖς τί κενὰ ἐμελετήσατε, τίς οὗτος εἰπόντες, ᾧ παῖδες μετὰ βαΐων, καὶ κλάδων ὕμνουν κραυγάζοντες, εὐλογημένος ὁ ἐρχόμενος, ἐν ὀνόματι κυρίου, Σωτῆρος ἡμῶν.

Οὗτος ὁ Θεὸς ᾧ παρόμοιος οὐδεὶς, δικαίαν πᾶσαν ὁδὸν ἐξεῦρεν δέδωκε τῷ ἠγαπημένῳ Ἰσραὴλ, μετὰ δὲ ταῦτα ἀνθρώποις συνανεστράφη, ὀφθεὶς, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου, Σωτῆρος ἡμῶν.

Σκάνδαλα τρίβῳ τί ἐχόμενα ἡμῖν τεθέαται ἀπειθεῖς, πόδες ὀξεῖς ἡμῶν αἷμα ἐκχέαι τοῦ Δεσπότου. ἀλλ᾽ ἀναστήσεται πάντως, σῶσαι τοὺς κραυγάζοντας, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου, Σωτῆρος ἡμῶν.

Ἐξαποστειλ. φύλλ. 58. Εἰς τοὺς αἶν. Δοξαστικὸν ἰδιόμελον. Πρὸ ἓξ ἡμέρ. ὡς ἐν τῷ ἑσπερ.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Εἰς τὸ ἑσπ. τῆς αὐτῆς Κυριακ. τὸ α΄. Δόξα καὶ νῦν. ἦχ. β΄. Εἰσερχομένου, ὡς χθὲς τῇ ἑσπ. τὸ β΄. Δόξα. καὶ νῦν. ἦχ. β΄. Ἐκ βαΐων καὶ κλάδων, ὡς ἐκ θείας ἑορτῆς εἰς θείαν μεταβάντες ἑορτὴν, πρὸς σεβασμίαν τῶν Χριστοῦ παθημάτων πιστοὶ συνδράμωμεν, τελετὴν σωτήριον, καὶ τοῦτον ὑπὲρ ἡμῶν πάθος ὑφιστάμενον, κατοπτεύσωμεν ἑκούσιον, καὶ τὴν ψυχὴν αὐτοῦ λύτρον παρεχόμενον παγκόσμιον. αὐτῷ δὲ τὸν ὕμνον εὐχαριστοῦντες ἀναμέλψωμεν ἁρμόδιον, ἀνακράζοντες, ἡ τῆς εὐσπλαγχνίας πηγὴ, καὶ τῆς σωτηρίας λιμὴν, Κύριε δόξα σοι.

Εἰς τὸ ἀπόδ. Τριῴδ. ἐκ τῆς παρακλήσεως, καὶ ὅλα τὰ Τροπάρια.

Εἰς τὸν ὄρθρ. μετὰ τὸ ἀλλ. Τροπ. Ἰδοὺ ὁ νυμφίος. στιχολ. τοῦ ψαλτηρ. Κάθ. ἦχ. α΄. Τὰ πάθη τὰ σεπτὰ ἡ παροῦσα ἡμέρα, ὡς φῶτα σωστικὰ ἀνατέλλει τῷ κόσμῳ. Χριστὸς γὰρ ἐπείγεται τοῦ παθεῖν ἀγαθότητι. Ὁ τὰ σύμπαντα ἐν τῇ δρακὶ περιέχων, καταδέχεται ἀναρτηθῆναι ἐν ξύλῳ, τοῦ σῶσαι τὸν ἄνθρωπον. Θεοτ. Οἱ τὴν σὴν προστασίαν. Τριῴδ. μόν. τοῦ σταυροῦ, τῆς ἑβδομ. Κοντ. Ὁ ὑψωθεὶς. ὁ οἶκος. Τὰ πάθη τὰ μυστικὰ τοὺς ὑμνοῦντας σου δέσποτα, φώτισον τῷ ὑπὲρ νοῦν ἁγίασον ὡς εὔσπλαγχνος. λύτρωσαι ἡμᾶς Χριστὲ ὁ Θεὸς, καὶ τῇ θείᾳ σου δυναστείᾳ σκέπων ἄνωθεν, τῆς ἀχράντου σου βασιλείας καταξίωσον, ὡς μόνος φιλάνθρωπος.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου – Μουσείο Τυπάλδων Ιακωβάτων

Φωταγωγ. ἦχ. πλ. β'. Ἐμὲ τὸν ἐν πελάγει. φ. 58.

Εἰς τοὺς αἶν. Δόξα καὶ νῦν. ἦχ. α'.

Ἐρχόμενος ὁ κύριος πρὸς τὸ ἑκούσιον πάθος, τοῖς ἀποστόλοις ἔλεγεν, ἐν τῇ ὁδῷ. ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ παραδοθήσεται ὁ υἱὸς τοῦ ἀνθρώπου, καθὼς γέγραπται περὶ αὐτοῦ. Δεῦτε οὖν καὶ ἡμεῖς κεκαθαρμέναις διανοίαις συμπορευθῶμεν αὐτῷ, καὶ συσταυρωθῶμεν, καὶ νεκρωθῶμεν δι' αὐτὸν ταῖς τοῦ βίου ἡδοναῖς, ἵνα καὶ συζήσωμεν αὐτῷ, καὶ ἀκούσωμεν βοῶντος αὐτοῦ, οὐκ ἔτι εἰς τὴν ἐπίγειον Ἱερουσαλὴμ διὰ τὸ παθεῖν, ἀλλὰ ἀναβαίνω πρὸς τὸν πατέρα μου, καὶ πατέρα ἡμῶν, καὶ Θεόν μου, καὶ Θεὸν ἡμῶν. καὶ συνανυψῶ ἡμᾶς εἰς τὴν ἄνω Ἱερουσαλὴμ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. Ταύτην τὴν τάξιν εἰς τὸ ἑσπ. εἰς τὸ ἀπόδειπν. καὶ εἰς τὸν ὄρθρον τηροῦμεν, καὶ λέγομεν ἕως τῆς ἑσπ. τῆς μεγάλ. δ'.

Τῇ δὲ μεγ. γ'. Φωταγωγάρ. ἦχ. πλ. β'. Τὸν νυμφῶνα. φύλλ. 58.

Τῇ ἑσπ. τῆς μεγ. δ'. τὸ α'. Δόξα καὶ νῦν. ἦχ. πλ. β'.

Σήμερον ὁ Χριστὸς παραγίνεται ἐν τῇ οἰκίᾳ τοῦ φαρισαίου, καὶ γυνὴ ἁμαρτωλὸς προσελθοῦσα τοῖς ποσὶν, ἐκυλινδεῖτο βοῶσα. ἴδε τὴν βεβυθισμένην τῇ ἁμαρτίᾳ, τὴν ἀπηλπισμένην διὰ τὰς πράξεις, τὴν μὴ βδελυχθεῖσαν παρὰ τῆς ἀγαθότητός σου. καὶ δός μοι, κύριε, τὴν ἄφεσιν τῶν κακῶν, καὶ σῶσόν με.

Εἰς τοὺς στίχ. Πρὸς σὲ ἦρα. Ἐλέησον ἡμᾶς.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Τὸ β'. Δοξαστικὸν. ἦχ. πλ. β'.

Ἥπλωσεν ἡ πόρνη τὰς τρίχας σοὶ τῷ δεσπότῃ, ἥπλωσεν Ἰούδας τὰς χεῖρας τοῖς παρανόμοις, ἡ μὲν λαβεῖν τὴν ἄφεσιν, ὁ δὲ λαβεῖν ἀργύρια. διό σοι βοῶμεν τῷ πραθέντι, καὶ ἐλευθερώσαντι ἡμᾶς, κύριε δόξα σοι.

Εἰς τὸν ὄρθρ. τῆς μεγ. ε'.

Μετὰ τὸ ἀλλ. Τροπ. Ὅτε οἱ ἔνδοξοι, καὶ εὐθὺς Τριῴδ. ἐκ τῆς ἑορτῆς τοῦ παναχράντου Σώματος. Βλέπε ψυχή. κάθ. Κονταχ. καὶ Ἐξαποστειλάριον ἐκεῖ. εἰς τοὺς αἶν. σύντ. Δοξαστικὸν. ἦχ. β'.

Ἰούδας ὁ παράνομος κύριε, ὁ βάψας ἐν τῷ δείπνῳ τὴν χεῖρα ἐν τῷ τρυβλίῳ μετὰ σοῦ, ἐξέτεινε ἀνόμοις τὰς χεῖρας τοῦ λαβεῖν ἀργύρια. Καὶ ὁ τοῦ μύρου λογισάμενος τιμὴν, σὲ τὸν ἀτίμητον οὐκ ἔφριξε πωλῆσαι. ὁ τοὺς πόδας ἐφαπλώσας ἐπὶ τὸ νίψαι τὸν δεσπότην, κατεφίλησε δολίως εἰς τὸ προδοῦναι τοῖς ἀνόμοις. Χοροῦ δὲ τῶν ἀποστόλων ῥιφεὶς, καὶ τὰ τριάκοντα ῥίψας ἀργύρια, σοῦ τὴν τριήμερον ἀνάστασιν οὐκ ἶδε, δι' ἧς ἐλέησον ἡμᾶς.

Τῇ μεγ. ε'. ἑσπ. Δόξα α'. καὶ β'. ὡς χθὲς τῇ ἑσπ. καὶ Τροπ. Ἀπόδειπν. τὸ μικρὸν.

Εἰς τὸν ὄρθρ. λέγονται ἅπαντα τὰ ἀντίφωνα. Τριῴδ. δὲ τοῦ σταυροῦ, ἄνευ μαρτ. ἐν τῇ δ'. τῇ ἑβδομ. Μετὰ τὸ Κοντάκ. εἰς τὴν γ'. ᾠδὴν οἱ μακαρισμοί.

Εἰς τοὺς αἶν. Δοξαστικὸν. ἦχ. β'.

Ἐπὶ ξύλου βλέπουσα κρεμάμενον Χριστὲ, σὲ τῶν

πάν-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

πάντων Κτίςην, καὶ Θεὸν, ἡ σὲ ἀπορρήτως τεκοῦσα ἐβόα πικρῶς, Υἱέ μου, ποῦ τὸ κάλλος ἔδυ τῆς μορφῆς σου; οὐ φέρω καθορᾷν σε ἀδίκως σταυρούμενον. σπεῦσον οὖν ἀνάστηθι, ὅπως ἴδω κἀγὼ σοῦ τὴν ἐκ νεκρῶν τριήμερον ἐξανάστασιν.

Μετὰ τὸ Δόξα ἐν Ὑψίστ. καὶ τὰ ἄλλα, ὡς ἐν τῷ Ὡρολογ.

Τὸ Εὐαγγέλιον κατὰ Ἰωάννην.

Τῷ καιρῷ ἐκείνῳ. Εἱστήκεισαν παρὰ τῷ σταυρῷ τοῦ Ἰησοῦ ἡ μήτηρ αὐτοῦ, καὶ ἡ ἀδελφὴ τῆς μητρὸς αὐτοῦ Μαρία ἡ τοῦ Κλωπᾶ, καὶ Μαρία ἡ Μαγδαληνή. Ἰησοῦς οὖν ἰδὼν τὴν μητέρα, καὶ τὸν μαθητὴν παρεστῶτα ὃν ἠγάπα, λέγει τῇ μητρὶ αὐτοῦ. Γύναι ἰδοὺ ὁ υἱός σου. Εἶτα λέγει τῷ μαθητῇ, ἰδοὺ ἡ μήτηρ σου. Καὶ ἀπ᾽ ἐκείνης τῆς ὥρας ἔλαβεν ὁ μαθητὴς αὐτὴν εἰς τὰ ἴδια. Μετὰ τοῦτο εἰδὼς ὁ Ἰησοῦς, ὅτι πάντα ἤδη τετέλεσται, ἵνα τελειωθῇ ἡ γραφὴ, λέγει, διψῶ. Σκεῦος οὖν ἔκειτο ὄξους μεστόν. Οἱ δὲ πλήσαντες σπόγγον ὄξους, καὶ ὑσσώπῳ περιθέντες, προσήνεγκαν αὐτοῦ τῷ στόματι. Ὅτε οὖν ἔλαβε τὸ ὄξος ὁ Ἰησοῦς, εἶπε, τετέλεσται καὶ κλίνας τὴν κεφαλὴν παρέδωκε τὸ πνεῦμα. ✠ Οἱ οὖν Ἰουδαῖοι, ἵνα μὴ μείνῃ ἐπὶ τοῦ ξύλου τὰ σώματα ἐν τῷ σαββάτῳ, ἐπεὶ, παρασκευὴ ἦν, ἦν γὰρ μεγάλη ἡ ἡμέρα ἐκείνη τοῦ σαββάτου, ἠρώτησαν τὸν Πιλάτον, ἵνα κατεαγῶσιν αὐτῶν τὰ σκέλη, καὶ ἀρθῶσιν. Ἦλθον οὖν οἱ στρατιῶται, καὶ τοῦ μὲν πρώτου κατέαξαν τὰ σκέλη, καὶ τοῦ ἄλλου τοῦ

συσταυ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

σταυρωθέντος αὐτοῦ. Ἐπὶ δὲ τὸν Ἰησοῦν ἐλθόντες, ὡς εἶδον αὐτὸν ἤδη τεθνηκότα, οὐ κατέαξαν αὐτοῦ τὰ σκέλη. ἀλλ' εἷς τῶν στρατιωτῶν λόγχῃ τὴν πλευρὰν αὐτοῦ ἔνυξε, καὶ εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ. Καὶ ἑωρακὼς μεμαρτύρηκε, καὶ ἀληθὴς ἐστὶν ἡ μαρτυρία αὐτοῦ. κἀκεῖνος οἶδεν ὅτι ἀληθῆ λέγει, ἵνα ὑμεῖς πιστεύσητε. Ἐγένετο γὰρ ταῦτα, ἵνα ἡ γραφὴ πληρωθῇ. ὀστοῦν οὐ συντριβήσεται ἀπ' αὐτοῦ. Καὶ πάλιν ἑτέρα γραφὴ λέγει. ὄψονται εἰς ὃν ἐξεκέντησαν.

Τῇ μεγ. παρασκευῇ ἑσπέρας.

Τὸ α΄. Δοξαστικόν. ἦχ. πλ. β΄. Λαὸς δυσσεβὴς, καὶ παράνομος ἵνα τί μελετᾷ κενά; ἵνα τί τὴν ζωὴν τῶν ἁπάντων θανάτῳ κατεδίκασε. Μέγα θαῦμα, ὅτι ὁ κτίστης τοῦ κόσμου εἰς χεῖρας ἀνόμων παραδίδοται, καὶ ἐπὶ ξύλου ἀνυψοῦται ὁ φιλάνθρωπος, ἵνα τοὺς ἐν ᾅδῃ δεσμώτας ἐλευθερώσῃ, κράζοντας. μακρόθυμε κύριε δόξα σοι. Εἶτα, Φῶς ἱλαρὸν, καὶ στιχ. τοῦ Ὡρολογ. καὶ Δοξαστικὸν ὡς ἐκεῖ. Ὁ ῥῶσασε καὶ τὸ Ν΄. καὶ Τροπάριον. Ὡς ἡ πόρνη. μετὰ τὸ Τροπάρ. Δόξα σοι, καὶ ἀπόλυσις.

Τῷ μεγάλῳ σαββ. εἰς τὸν ὄρθρον.

Μετὰ τὸ Θεὸς κύρ. καὶ Τροπάρια, Τριῴδ. ἦχ. πλ. β΄.

Ὠδὴ α΄. Ὁ εἱρμός.

ΚΥ'ματι θαλάσσης τὸν κρύψαντα πάλαι διώκτην τύραννον, ὑπὸ γῆν ἔκρυψαν τῶν σεσωσμένων οἱ

παῖ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

παῖδες. ἀλλ' ἡμεῖς ὡς αἱ νεάνιδες τῷ κυρίῳ ᾄσωμεν, ἐνδόξως γὰρ δεδόξασται.

Κύριε Θεέ μου ἐξόδιον ὕμνον, καὶ ἐπιτάφιον ᾠδήν σοι ᾄσομαι, τῷ τῇ ταφῇ σου ζωῆς μοι τὰς εἰσόδους διανοίξαντι, καὶ θανάτῳ θάνατον, καὶ ᾅδην θανατώσαντι.

Ἄνω σε ἐν θρόνῳ, καὶ κάτω ἐν τάφῳ τὰ ὑπερκόσμια, καὶ ὑποχθόνια κατανοοῦντα σωτήρ μου, ἐδονεῖτο τῇ νεκρώσει σου. ὑπὲρ νοῦν ὡράθης γὰρ νεκρὸς ζωαρχικώτατος.

Ἵνα σου τῆς δόξης τὰ πάντα πληρώσῃς, καταπεφοίτηκας ἐν κατωτάτοις τῆς γῆς, ἀπὸ γὰρ σοῦ οὐκ ἀπεκρύβη ἡ ὑπόστασίς μου ἡ ἐν Ἀδάμ, καὶ ταφεὶς φθαρέντα με καινοποιεῖς φιλάνθρωπε.

Κάθ. Τὸν τάφον σου σωτὴρ. φύλλ. γ'. Κοντάκ.

Τὴν ἄβυσσον ὁ κλείσας, νεκρὸς ὁρᾶται, καὶ σμύρνῃ καὶ σινδόνι ἐνειλημμένος ἐν μνημείῳ κατατίθεται, ὡς θνητὸς ὁ ἀθάνατος. Γυναῖκες δὲ αὐτὸν ἦλθον μυρίσαι, κλαίουσαι πικρῶς, καὶ ἐκβοῶσαι: τοῦτο σάββατόν ἐστι τὸ ὑπερευλογημένον, ἐν ᾧ Χριστὸς ἀφυπνώσας, ἀναστήσεται τριήμερος. Ὁ οἶκος.

Ὁ συνέχων τὰ πάντα ἐπὶ σταυροῦ ἀνυψώθη, καὶ θρηνεῖ πᾶσα ἡ κτίσις τοῦτον βλέπουσα, κρεμάμενον γυμνὸν ἐπὶ τοῦ ξύλου. Ὁ ἥλιος τὰς ἀκτῖνας ἀπέκρυψε, καὶ τὸ φέγγος οἱ ἀστέρες ἀπεβάλλοντο, ἡ γῆ δὲ σὺν πολλῷ τῷ φόβῳ συνεκλονεῖτο. Ἡ θάλασσα ἔφυγε, καὶ αἱ πέτραι διερρήγνυντο, μνημεῖα δὲ πολλὰ ἠνεῴχθησαν, καὶ σώματα ἠγέρθησαν ἁγίων ἀνδρῶν,

ᾅδης

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ᾅδης κάτω στενάζει, καὶ Ἰουδαῖοι σκέπτονται συκοφαντῆσαι Χριστοῦ τὴν ἀνάστασιν. Τὰ δὲ γύναια κράζουσι: τοῦτο σάββατόν ἐστι, τὸ ὑπερευλογημένον, ἐν ᾧ Χριστὸς ἀφυπνώσας ἀναστήσεται τριήμερος.

Ὁ Ν'. ἄνευ τοῦ Πεντηκος.

'Ωδὴ η'. Ὁ εἱρμός.

Ἔκστηθι, φρίττων οὐρανὲ, καὶ σαλευθήτωσαν τὰ θεμέλια τῆς γῆς, ἰδοὺ γὰρ ἐν νεκροῖς λογίζεται ὁ ἐν Ὑψίστοις οἰκῶν, καὶ τάφῳ σμικρῷ ξενοδοχεῖται, ὃν παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Λέλυται ἄχραντος ναὸς, τὴν πεπτωκυῖαν δὲ συνανίστησι σκηνήν. Ἀδὰμ γὰρ τῷ προτέρῳ δεύτερος ὁ ἐν ὑψίστοις οἰκῶν κατῆλθε μέχρις ᾅδου ταμιείων. ὃν παῖδες. ὡς ἄνω.

Πέπαυται τόλμα μαθητῶν, Ἀριμαθαῖος δὲ ἀριστεύει Ἰωσὴφ, νεκρὸν γὰρ καὶ γυμνὸν θεώμενος τὸν ἐπὶ πάντων Θεὸν αἰτεῖται, καὶ κηδεύει κραυγάζων, οἱ παῖδες. Εὐλογοῦμεν.

Ὢ τῶν θαυμάτων τῶν καινῶν, ὢ ἀγαθότητος, ὢ ἀφράστου ἀνοχῆς. ἑκὼν γὰρ ὑπὸ γῆν σφραγίζεται, ὁ ἐν ὑψίστοις οἰκῶν, καὶ πλάνος Θεὸς συκοφαντεῖται. ὃν παῖδες.

'Ωδὴ θ'. Ὁ εἱρμός.

Μὴ ἐποδύρου μου Μῆτερ καθορῶσα ἐν τάφῳ, ὃν ἐν γαστρὶ ἄνευ σπορᾶς συνέλαβες Υἱόν. ἀναστή-



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

σομαι γὰρ, καὶ δοξασθήσομαι, καὶ ὑψώσω ἐν δόξῃ ἀπαύστως, ὡς Θεὸς, τοὺς ἐν πίστει καὶ πόθῳ σὲ μεγαλύνοντας.

Ἐπὶ τῷ ξένῳ σου τόκῳ τὰς ὀδύνας φυγοῦσα ὑπερφυῶς ἐμακαρίσθην, ἄναρχε υἱὲ, νῦν δὲ σὲ θεέ μου ἄπνουν ὁρῶσα νεκρὸν, τῇ ῥομφαίᾳ τῆς λύπης σπαράττομαι δεινῶς, ἀλλ᾽ ἀνάστηθι, ὅπως μεγαλυνθήσομαι.

Γῆ μὲν καλύπτει ἑκόντα, ἀλλὰ φρίττουσιν οἱ ᾅδου πυλωροὶ, ἠμφιεσμένον βλέποντες στολὴν ἡμαγμένην μῆτερ, τῆς ἐκδικήσεως, τοὺς ἐχθροὺς ἐν σταυρῷ γὰρ πατάξας ὡς Θεὸς, ἀναστήσομαι αὖθις, καὶ μεγαλυνῶ σε.

Ἀγαλλιάσθω ἡ κτίσις, εὐφραινέσθωσαν πάντες οἱ γηγενεῖς, ὁ γὰρ ἐχθρὸς ἐσκύλευται ᾅδης, μετὰ μύρων γυναῖκες προσυπαντάτωσαν, τὸν Ἀδὰμ σὺν τῇ Εὔᾳ λυτροῦμαι παγγενῆ, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐξαναστήσομαι.

Ἐξαποστειλάρ. Τῶν σαββ. φύλλ. 58.

Εἰς τοὺς αἴν. Δόξα καὶ νῦν. ἦχ. πλ. α΄.

ΣΕ τὸν ἀναβαλλόμενον τὸ φῶς ὥσπερ ἱμάτιον, καθελὼν Ἰωσὴφ ἀπὸ τοῦ ξύλου σὺν Νικοδήμῳ, καὶ θεασάμενος νεκρὸν γυμνὸν ἄταφον, εὐσυμπάθητον θρῆνον ἀναλαβὼν, ὀδυρόμενος ἔλεγεν. Οἴμοι γλυκύτατε Ἰησοῦ, ὃν πρὸ μικροῦ ὁ ἥλιος ἐν σταυρῷ κρεμάμενον θεασάμενος, ζόφον περιεβάλλετο, καὶ ἡ γῆ τῷ φόβῳ ἐκυμαίνετο, καὶ διεῤῥήγνυτο ναοῦ τὸ καταπέτασμα. Ἀλλὰ ἰδοὺ νῦν βλέπω σε, δι᾽ ἐμὲ ἑκουσίως ὑπελθόντα θάνατον. πῶς σὲ κηδεύσω Θεέ μου;

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου -
Μουσείο Τυπάλδων Ιακωβάτων

με; ἢ πῶς συνδόσιν εἰλύσω; ποίαις χερσὶ δὲ προσψαύσω τὸ σὸν ἀκήρατον σῶμα; ποῖα δὲ ᾄσματα μέλψω τῇ σῇ ἐξόδῳ οἰκτίρμον; Μεγαλύνω τὰ πάθη σου, ὑμνολογῶ καὶ τὴν ταφήν σου σὺν τῇ ἀναστάσει, κραυγάζων, κύριε δόξα σοι.

Μετὰ τό, Δόξα ἐν Ὑψίστοις, οἱ στίχοι, ὡς ἐν τῷ Τριῳδίῳ τοῦ Ὡρολογίου, ἔπειτα τὸ

Εὐαγγέλιον κατὰ Ματθαῖον.

Τῇ ἐπαύριον, ἥτις ἐστὶ μετὰ τὴν παρασκευήν, συνήχθησαν οἱ ἀρχιερεῖς, καὶ οἱ φαρισαῖοι πρὸς Πιλάτον, λέγοντες. Κύριε ἐμνήσθημεν, ὅτι ἐκεῖνος ὁ πλάνος εἶπεν ἔτι ζῶν, μετὰ τρεῖς ἡμέρας ἐγείρομαι. Κέλευσον οὖν ἀσφαλισθῆναι τὸν τάφον ἕως τῆς τρίτης ἡμέρας, μήποτε ἐλθόντες οἱ μαθηταὶ αὐτοῦ νυκτός, κλέψωσιν αὐτόν, καὶ εἴπωσι τῷ λαῷ, ὅτι ἠγέρθη ἀπὸ τῶν νεκρῶν, καὶ ἔσται ἡ ἐσχάτη πλάνη χείρων τῆς πρώτης. Ἔφη δὲ αὐτοῖς ὁ Πιλάτος, ἔχετε κουστωδίαν, ὑπάγετε ἀσφαλίσασθε ὡς οἴδατε. Οἱ δὲ πορευθέντες ἠσφαλίσαντο τὸν τάφον, σφραγίσαντες τὸν λίθον μετὰ τῆς κουστωδίας.

Εἶτα, συναπτὴ τῶν αἰτήσεων, εὐχή, καὶ ἀπόλυσις.

## ΤΩ ΜΕΓ. ΣΑΒΒΑΤΩ.

Εἰς τὸ κύριε ἐκέκρ. τὸ α΄. Δόξα καὶ νῦν. ἦχ. πλ. δ΄.

Πορευθέντος σου ἐν πύλαις ᾅδου κύριε, καὶ ταύτας συντρίψαντος, ὁ αἰχμάλωτος, οὕτως ἐβόα, τίς



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ἐστὶν οὗτος; ὅτι οὐ καταδικάζεται ἐν τοῖς κατωτάτοις τῆς γῆς, ἀλλὰ καὶ ὡς σκύλον κατέλυσε τοῦ θανάτου τὸ δεσμωτήριον. Ἐδεξάμην αὐτὸν ὡς θνητὸν, καὶ τρέμω ὡς Θεὸν, παντοδύναμε ἐλέησον ἡμᾶς.

Μετὰ τὰ προκ. καὶ Καταξ. λέγομεν ὅλον τὸ, Ἄσωμεν, σιώπω, Ὅτι δεδόξασται. φύλλ. 479.

Δόξα καὶ νῦν. ἦχ. πλ. β΄.

Τὴν σήμερον μυστικῶς ὁ μέγας Μωϋσῆς προδιετυποῦτο λέγων, καὶ εὐλόγησεν ὁ Θεὸς τὴν ἡμέραν τὴν ἑβδόμην. Τοῦτο γάρ ἐστι τὸ εὐλογημένον σάββατον. αὕτη ἐστὶν ἡ τῆς καταπαύσεως ἡμέρα, ἐν ᾗ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ, διὰ τῆς κατὰ τὸν θάνατον οἰκονομίας. Τῇ σαρκὶ σαββατίσας, καὶ εἰς ὃ ἦν πάλιν ἐπανελθὼν, διὰ τῆς ἀναστάσεως ἐδωρήσατο ἡμῖν ζωὴν τὴν αἰώνιον, ὡς μόνος ἀγαθὸς, καὶ φιλάνθρωπος.

Εἰς ὅλην τὴν ἑβδομάδα τοῦ Πάσχα, λέγομεν πάντα ὡς ἐν τῷ Ὡρολογίῳ. Ἀλλάττωμεν δὲ τὸ Ὑπακοὴ, καὶ τὸ Κοντάκιον, καὶ τὰ Τροπάρια καθ' ἑκάστην ἡμέραν.

## ΤΗ ΚΥΡΙΑΚΗ ΤΟΥ ΘΩΜΑ.

Τὸ ἐν Δόξα τοῦ ἑσπ. ἦχ. πλ. α΄. Ὡς ἐπ' ἐσχάτων τῶν χρόνων. ζήτ. ἑωθ. θ΄. φύλλ. 96. τὸ καὶ νῦν τοῦ ἀνας.

Εἰς τὸ ἀπόδειπν. μέχρι τῆς θείας Ἀναλήψεως, ἢ ἄλλο οὐ ταξεται. Τριῴδ. ἦχ. γ΄.

Ὠδὴ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὠδὴ α'. Τ ετμηθεῖσαν θάλασσαν.

ΝΕκρωθέντα πάλαι σε, καὶ τεθέντα ἐν τῷ καινῷ μνημείῳ, ἰδὼν ὁ ᾅδης ὅλος νεκρὸς ἔμεινε σωτὴρ ἀνενέργητος. οἱ νεκροὶ δὲ πάντες τῇ σῇ ἐγέρσει τῇ ζωηφόρῳ χαίροντες, δεσμῶν ἐλύθησαν.

Ἐν νεκροῖς τὸν ζῶντα, τί ἐκζητεῖτε; ταῖς μυροφόροις ἔφησε, πρὸς τὸ μνῆμα φωτοειδὴς ἄγγελος, ποτὲ ἐπιφαινόμενος. ἀπελθοῦσαι τάχος τοῖς ἀποστόλοις καταμηνύουσαι σπεύσατε τὴν τούτου ἔγερσιν.

Θεοτοκίον.

Σαρκωθέντα κύριον ἀποῤῥήτως ἐκ τῶν ἁγνῶν αἱμάτων σου, θεοτόκε, δι' ἡμᾶς θάνατον σαρκὶ καταδεξάμενον, ἀναστάντα βλέψασα ἐκ τοῦ τάφου, περιχαρῶς ἐδόξαζες, καὶ ἐμεγάλυνες.

Ὠδὴ η'. Βαβυλωνία κάμινος.

ΤΟν σταυρωθέντα κύριον πάλαι θεασάμενος ἥλιος ἀπέκρυψε τὸ φῶς, καὶ αἱ πέτραι ἐσχίσθησαν, τὰ ὄρη ἐκλονήθη, καὶ ἡ γῆ ἐτρόμαξε, καὶ οἱ πάλαι δεσμῶται θᾶττον ἀπελύοντο.

Ὁ κύριος ἐγείρεται, πάντες ἀλαλάξωμεν, χεῖράς τε κροτήσωμεν πιστῶς, χοροὺς συστησώμεθα τὴν τούτου δυναστείαν ἀνακηρύττοντες, καὶ βοῶντες, τὰ ἔργα ὑμνεῖτε τὸν κύριον, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Θεοτ.

Συνέλαβες πανάμωμε τὸν πάντα συνέχοντα, τοῦτον καὶ ἐκύησας σαρκὶ, σκυλεύσαντα τὸν θάνατον, θα-



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

νάτῳ τριημέρῳ, ὃν ἐκδυσώπησον τῆς ψυχῆς μου τὰ πάθη νεκρῶσαι καὶ σῶσαί με.

'Ωδὴ θ'. Τὴν ἐν βάτῳ.

Τριημέρῳ σου ταφῇ ἐσκυλεύθη ὁ ἐχθρὸς, ἐκ τῶν τοῦ ᾅδου δεσμῶν ἀπελύθησαν νεκροί. Νενέκρωται ὁ θάνατος, ἐκενώθη βασιλεία τοῦ ᾅδου. διόσε ζωοδότα ἐν ὕμνοις τιμῶντες μεγαλύνομεν.

Ἡ αἰώνιος ζωὴ πῶς ἐγεύσω δι' ἡμᾶς θανάτου, θέλων Χριστέ; πῶς κατῆλθες ἐν νεκροῖς ἡ πάντων ἐξανάστασις, καὶ ἐκένωσας τοῦ ᾅδου τὰ βασίλεια; διόσε εὐχαρίστως ἐν ὕμνοις τιμῶντες μεγαλύνομεν. Θεοτ. Ῥῦσαι πόλιν καὶ λαὸν καταφεύγοντα εἰς σὲ, θεογεννήτορ ἁγνὴ, ἡ κυήσασα Χριστὸν, ἐκ πάσης ἐναντίας ὀργῆς, καὶ ἁλώσεως ἐθνῶν, ἐπιδρομῆς τε, ὅπως σὲ καταχρέως ἐν ὕμνοις τιμῶντες μεγαλύνομεν.

Εἰς τὸν ὄρθ. Τριῳδ. ἐκ τοῦ κανόνος τοῦ Πάσχα, καὶ ἄλλο ἐκ τοῦ ἀναστασίμου, εἰς πάσας τὰς τοῦ Πεντηκοσταρίου Κυριακάς. Μετὰ τὴν α'. ᾠδ. τοῦ ἀνασ.

Κάθ. μόνον τοῦ Θωμᾶ ἦχ. α'.

Τῷ φόβῳ τῶν ἑβραίων κεκρυμμένων τῶν μαθητῶν, καὶ ἐν τῇ Σιὼν συνηγμένων, εἰσῆλθες πρὸς αὐτοὺς ἀγαθὲ, καὶ ἔστης κεκλεισμένων τῶν θυρῶν ἐν μέσῳ αὐτῶν χαροποιός. Καὶ ὑπέδειξας αὐτοῖς τὰς χεῖρας, καὶ τῆς ἀχράντου σου πλευρᾶς τοὺς μώλωπας, λέγων τῷ ἀπιστοῦντι μαθητῇ, φέρε σου τὴν χεῖρα, καὶ ἐρεύνα, ὅτι αὐτὸς ἐγώ εἰμι, ὁ διὰ σὲ παθητός. Ἔτι καὶ ἔτι. Κοντ. ὡς ἐν τῷ Ὡρολ.

'Εξα-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Ἑξαπος. φύλλ. 82. Ἐμῶν μελῶν, μόν.
Εἰς τοὺς αἴν. Δόξα τοῦ ἑσπ.

Τῇ αὐτῇ κυριακῇ ἑσπ. Δόξα τοῦ σαββ. Καὶ Θεοτ.

Εἰς τὸν ὄρθ. Τριῴδ. ἐκ τοῦ κανόνος τοῦ Πάσχα, διανέμοντες τὰς ᾠδὰς ὡς λέλεκται φύλλ. 652. καὶ Τριῴδ. τοῦ ἁγίου. Μετὰ τὴν α'. ᾠδὴν τοῦ ἁγ. Ὑπ, καὶ ἐπ. καὶ Κάθισμα τοῦ αὐτοῦ ἁγίου, καὶ στίχ. Αὕτη ἡ ἡμέρα. καὶ Κάθισμα ἐν τοῦ ἀνάς. Καὶ ἄλλος στίχ. καὶ Καθίσματα δύο τῆς ἑβδομάδος, ἤγουν ἓν καθ' ἡμέραν, καὶ τὸ ἄλλο μαρτυρικόν. Δόξα καὶ νῦν. Καθ. τοῦ Θωμᾶ. Μετὰ τὰ καθίσμ. Ὑπ. Καὶ ἐπ. Συ γδ. Κοντ. τῆς κυρ. καὶ τοῦ ἁγ. Ἀνάστασιν Χριστοῦ, Ἐλεησόν με ὁ Θεὸς, Καὶ Πεντηκος. Μετὰ τὴν ἄλλην ᾠδὴν Μεγαλύνει, καὶ τὰ ἑξῆς.

Εἰς τοὺς αἴν. Δόξα καὶ νῦν. τοῦ Θωμᾶ ἦχ. πλ. α'.

Φιλάνθρωπε μέγα καὶ ἀνείκαστον τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, ὅτι ἐμακροθύμησας ὑπὸ Ἰουδαίων ῥαπιζόμενος, ὑπὸ τῆς ἀθετούντων σὲ πολυπραγμονούμενος, ὑπὸ ἀποστόλου ψηλαφώμενος. πῶς ἐσαρκώθης; πῶς ἐσταυρώθης ὦ ἀναμάρτητε; ἀλλὰ συνέτισον ἡμᾶς, ὡς τὸν Θωμᾶν βοᾶν σοι, ὁ Κύριός μου, καὶ ὁ Θεός μου, δόξα σοι.

Ταύτην τὴν τάξιν τηρουμένην εἰς ὅλην τὸ Πεντηκος. εἰ ἄλλως οὐ τάξεται. Τῇ δὲ δ. καὶ τῇ παρασκευῇ εἰς τὸν ὄρθρον, μετὰ τὸ Κάθισμα τοῦ ἁγίου λέγομεν τὸ σταυρώσιμον, εἶτα τὸ ἀναστάσιμον, τρίτον τὸ μαρτυρικόν,



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

εἰκὸν, καὶ τὸ τέλος, Δόξα καὶ νῦν. Κάθ. τῆς Κυριακῆς τοῦ Θωμᾶ, ἢ ἄλλης ἐρχομένης.

Τῷ σαββάτῳ, εἰς ἀπόδοσιν τῆς ἑορτ. τὰ καθίσματα, μετὰ τὸ τοῦ ἁγίου, λέγονται τοῦ ἀναστασίμου. Τὰ λοιπὰ ὡς ἔθος.

## ΚΥΡΙΑΚΗ Β΄. ΤΩΝ ΜΥΡΟΦΟΡΩΝ.

Εἰς τὸ ἑσπ. τοῦ σαββ. Δόξα ἑωθ. β΄. Μετὰ μύρων προσελθ. Καὶ νῦν τοῦ ἀναστασ.

Εἰς τὸ ἀπόδ. Τριῴδ. ὡς ἄνω.

Εἰς τὸν ὄρθρ. τὰ Τριῴδ. ὡς ἐν τῇ παρελθούσῃ κυριακῇ. Κάθ. τῶν μυροφ. ἦχ. β΄. Τῶν μαθητῶν ὁ χορὸς σὺν μυροφόροις γυναιξὶν ἀγάλλεται, συμφώνως, κοινὴν γὰρ ἑορτὴν σὺν αὐταῖς ἑορτάζουσιν εἰς δόξαν, καὶ τιμὴν τῆς σῆς ἀναστάσεως, καὶ δι' αὐτῶν βοῶμεν σοι φιλάνθρωπε, τῷ λαῷ σου παράσχου τὸ μέγα ἔλεος. στίχ. καὶ Καθίσμ. τοῦ ἀναστασ. Κοντ. ὡς ἐν τῷ Ὡρολογ. Ἐξαπος. Γυναῖκες ἀκουτίσθ. φ82. Εἰς τοὺς αἶν. Δόξα τὸ ἑωθ. δ΄.

## ΚΥΡΙΑΚΗ Γ΄. ΤΟΥ ΠΑΡΑΛΥΤΟΥ.

Δόξα εἰς τὸ ἑσπ. καὶ εἰς τοὺς αἶν. ἦχ. πλ. α΄.

Ἀνέβη ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα ἐπὶ τῇ προβατικῇ κολυμβήθρᾳ, τῇ λεγομένῃ κατὰ Ἰουδαίους Βηθεσδά, πέντε στοὰς ἐχούσῃ. ἐν ταύταις γὰρ κατέκειτο πλῆθος τῶν ἀσθενούντων. Ἄγγελος γὰρ τοῦ Θεοῦ κατὰ καιρὸν ἐπιφοιτῶν διεταράττεν αὐτὴν, καὶ σῶσιν ἐχαρίζετο τοῖς προσιοῦσιν ἐν πίστει. Καὶ ἰδὼν ὁ Κύριος

χρό-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

χρονίζοντα ἄνθρωπον, λέγει πρὸς αὐτόν. θέλεις ὑγιὴς γενέσθαι. Ὁ ἀσθενῶν ἀπεκρίνατο, κύριε ἄνθρωπον οὐκ ἔχω, ἵνα ὅταν ταραχθῇ τὸ ὕδωρ, βάλῃ με εἰς τὴν κολυμβήθραν, ἐν ὅσῳ δὲ πορεύομαι ἄλλος προλαμβάνει με, καὶ λαμβάνει τὴν ἴασιν. Ἰατροῖς κατηνάλωσα τὸν ἅπαντά μου βίον, καὶ ἐλέους τυχεῖν οὐκ ἠξιώθην. Ἀλλ' ὁ ἰατρὸς τῶν ψυχῶν, καὶ τῶν σωμάτων λέγει πρὸς αὐτόν. ἆρον σου τὸν κράββατον, καὶ περιπάτει, κηρύττων μου τὴν δύναμιν, καὶ τὸ μέγα ἔλεος τοῖς πέρασι.

Εἰς τὸ ἀπόδ. καὶ εἰς τὸν ὄρθρ. ὡς ἄνω.

Καθ. ἦχ. γ'. Τὴν ὡραιότητα.

Ρῆμα παράλυτον μόνον συνέσφιγξεν, ὡς ὁ παγκόσμιος λόγος ἐφθέγγετο, τοῦ δι' ἡμᾶς ἐπὶ τῆς γῆς ὀφθέντος δι' εὐσπλαγχνίαν. ὅθεν καὶ τὸν κράββατον ἐπιφέρων διήρχετο. κἂν οἱ γραμματεῖς ὁρᾶν τὸ πραχθὲν οὐχ' ὑπέφερον, κακίας κατεχόμενοι φθόνῳ τὰς ψυχὰς παραλύοντι.

Τὸ Κοντ. τοῦ Ὡρολογ. Τὸ Ἐξαποσ. φύλλ. 83.

Τῇ δ'. τῆς μεσοπεντηκοστῆς.

Τῇ γ'. ἑσπ. Δόξα καὶ νῦν ἦχ. πλ. δ'.

Μεσούσης τῆς ἑορτῆς τοῦ Πάσχα, ἐν τῷ ναῷ ἀνῆλθες τοῦ ἱεροῦ ὁ σωτὴρ ἡμῶν, καὶ στὰς ἐν μέσῳ τοῦ ὄχλου ἐδίδασκες αὐτοὺς παῤῥησίᾳ. καὶ ἔλεγες ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου, ὁ ἐμοὶ ἀκολουθῶν οὐ μὴ περιπατήσῃ ἐν τῇ σκοτείᾳ, ἀλλ' ἕξῃ τὸ φῶς τῆς ἀθανάτου ζωῆς.

Εἰς τὸ ἀπόδ. Τριῴδ. τοῦ ἁγ. διὰ τὸ μεσονύκτ.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Εἰς τὸν ὄρθ. Κάθ. μετὰ τὸν ψαλμ. ἦχ. δ'.

Ὁ πάντων ἐπιστάμενος τῶν καρδιῶν λογισμοὺς, ἐν μέσῳ ἀνέκραγε τοῦ ἱεροῦ ἑστηκὼς, τοῖς ψεύσταις λέγων ἀλήθειαν. τί ζητεῖτε πιάσαι με τὸν ζωοδότην; ἑορτῆς μεσαζούσης, ἐκβοῶν παῤῥησίᾳ, μὴ τὴν κατ' ὄψιν κρίσιν κρίνητε παράνομοι.

Τριῴδ. μόν. ἦχ. δ'. Θαλάσσης.

Μεγάλαι τῆς ὑπὲρ νοῦν σου δέσποτα, θείας σαρκώσεως εὐεργεσίαι λάμπουσιν ἡμῖν: δωρεαί τε καὶ χάριτες, καὶ θεϊκαὶ λαμπρότητες ἀγαθοδότως ἀναβρύουσαι.

Ἐπέστης μαρμαρυγὰς θεότητος ἐξαποστέλλων Χριστὲ τῆς ἑορτῆς ἐν μέσῳ προφανῶς. ἑορτὴ γὰρ χαρμόσυνος τῶν σωζομένων πέφυκας, καὶ σωτηρίας ἡμῖν πρόξενος. Σοφία, δικαιοσύνη, κύριε, καὶ ἀπολύτρωσις, παρὰ Θεοῦ σὺ γέγονας ἡμῖν, ἀπὸ γῆς πρὸς οὐράνιον διαβιβάζων ὕψωμα, καὶ πνεῦμα θεῖον χαριζόμενος.

Κάθ. ὡς ἄνω.

Κοντ. Τῆς ἑορτῆς τῆς νομικῆς μεσαζούσης, ὁ τῶν ἁπάντων ποιητὴς, καὶ Δεσπότης πρὸς τοὺς παρόντας ἔλεγες Χριστὲ ὁ Θεὸς, δεῦτε καὶ ἀρύσασθε ὕδωρ ἀθανασίας. Ὅθεν σοι προσπίπτομεν, καὶ πιστῶς ἐκβοῶμεν, τοὺς οἰκτιρμούς σου δώρησαι ἡμῖν. Σὺ γὰρ ὑπάρχεις πηγὴ τῆς ζωῆς ἡμῶν. Ὁ οἶκος.

Τὴν χερσωθεῖσάν μου ψυχὴν πταισμάτων ἀνομίαις, ῥοαῖς τῶν σῶν αἱμάτων κατάρδευσον, καὶ δεῖξον καρπο-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

καρποφόρον ἀρεταῖς. Σὺ γὰρ ἔφης πᾶσι τοῦ προσέρχεσθαι πρός σε λόγε Θεοῦ πανάγιε, καὶ ὕδωρ ἀφθαρσίας ἀρύεσθαι, ζῶντι, καὶ καθαῖρον ἁμαρτίας τῶν ὑμνούντων τὴν ἔνδοξον, καὶ θείαν σου ἔγερσιν. Παρέχων ἀγαθὲ τὴν ἀπὸ τοῦ ὕψους ἐνεχθεῖσαν ἀληθῶς τοῖς μαθηταῖς σου πνεύματος ἰσχὺν, τοῖς σε Θεὸν γινώσκουσι. Σὺ γὰρ ὑπάρχεις πηγὴ τῆς ζωῆς ἡμῶν.

Ὠδὴ η'. Χεῖρας ἐκπετάσας.

Ὡραῖος ἐκ τάφου ἀναστὰς τῇ τῆς θεότητος δόξῃ κοσμούμενος, τοῖς ἀποστόλοις σου κύριε ἐπεφάνης, τὴν τοῦ πνεύματος ἐπαγγελλόμενος αὐτοῖς πέμπειν ἐνέργειαν, τοῖς βοῶσι, πάντα τὰ ἔργα κυρίου εὐλογεῖτε τὸν κύριον.

Ἀκτῖνας ὡς ἥλιος Χριστὲ δικαιοσύνης φανεὶς κόσμῳ, ἀπέστειλας τοὺς ἀποστόλους σου φέροντας σε τὸ φῶς τὸ ἀκατάληπτον, καὶ τῆς ἀγνοίας τὴν ἀχλὺν ἀποκαθαίροντας, καὶ βοῶντας πάντα τὰ ἔργα εὐλογ. Θ.

Ἰδοὺ νῦν ἐξέλιπε σαφῶς ἐκ τῆς Ἰούδα φυλῆς ἄρχων ἡγούμενος, καὶ γὰρ πανάμωμε τέτοκας τὰ αὐτῷ πρὶν ἀποκείμενα, τὴν προσδοκίαν τῶν ἐθνῶν Χριστὸν, ᾧ ψάλλομεν, εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον.

Ὠδὴ θ'. Λίθος ἀχειρότμητος.

Νέαν, καὶ καινὴν πολιτείαν παρὰ Χριστοῦ μεμαθηκότες, ταύτην μέχρι τέλους φυλάττειν διαφερόντως πάντες σπουδάσωμεν, ὅπως ἁγίου πνεύματος τὴν παρουσίαν ἀπολαύσωμεν.

Σώμου

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Σύμμε τὸ θνητὸν ζωοδότα περιβολὴν ἀθανασίας, καὶ τῆς ἀφθαρσίας τὴν χάριν ἐνδύσας σῶτερ, συνεξανέστησας, καὶ τῷ πατρὶ προσήγαγες, τὸν χρόνιόν μου λύσας πόλεμον. Θεοτ.

Ὡς ῥίζαν, πηγὴν, καὶ αἰτίαν τῆς ἀφθαρσίας σὲ παρθένε, πάντες οἱ πιστοὶ πεπεισμένοι, ταῖς εὐφημίαις καταγεραίρομεν, σὺ γὰρ τὴν ἐνυπόστατον ἀθανασίαν ἡμῖν ἔβλυσας.

Ἐξαποστειλ. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Ὁ τὸν κρατῆρα ἔχων τῶν ἀκενώτων δωρεῶν, δός μοι ἀρρύσασθαι ὕδωρ εἰς ἄφεσιν ἁμαρτιῶν, ὅτι συνέχομαι δίψει εὔσπλαγχνε μόνε οἰκτίρμον.

Τῷ σαββάτῳ ἀποδίδομεν ταύτην τὴν ἑορτὴν, ἄνευ δὲ τοῦ ψαλμοῦ.

## ΚΥΡΙΑΚΗ Δ΄. ΤΗΣ ΣΑΜΑΡΙΤΙΔΟΣ.

Δόξα εἰς τὸ ἑσπ. καὶ εἰς τοὺς αἶν. ἦχ. πλ. β΄.

Ἡ Πηγὴ τῆς ζωαρχίας Ἰησοῦς ὁ σωτὴρ ἡμῶν, ἐπὶ τὴν πηγὴν ἐπιστὰς τοῦ πατριάρχου Ἰακὼβ, πιεῖν ἐζήτει ὕδωρ παρὰ γυναικὸς σαμαρείτιδος. τῆς δὲ τὸ ἀκοινώνητον τῶν Ἰουδαίων προειπούσης, ὁ σοφὸς δημιουργὸς μετοχετεύει αὐτὴν ταῖς γλυκέσι προσρήσεσι. μᾶλλον πρὸς αἴτησιν τοῦ ἀϊδίου ὕδατος. Ὁ καὶ λαβοῦσα τοῖς πᾶσιν ἐκήρυξεν εἰποῦσα, δεῦτε ἴδετε τῶν κρυπτῶν γνώστην, καὶ Θεὸν παραγενόμενον σαρκὶ, διὰ τὸ σῶσαι τὸν ἄνθρωπον.

Εἰς

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου -
Μουσείο Τυπάλδων Ιακωβάτων

Εἰς τὸν ὄρθ. Κάθ. ἦχ. δ'.

Ἀγαλλιάσθω οὐρανὸς, χορευέτω τὰ ἐπὶ τῆς γῆς, ὅτι Χριστὸς ἐκ παρθένου ἐπιφανεὶς ὡς ἄνθρωπος, ἐῤῥύσατο φθορᾶς ἅπαν τὸ ἀνθρώπινον τῷ ἰδίῳ θανάτῳ, θαύμασιν ἐκλάμψας δὲ γυναικὶ Σαμαρείτιδι, ὕδωρ αὐτῇ παρέχει τὴν πηγὴν τῶν ἰαμάτων, ὡς μόνος ἀθάνατος. στίχ. καὶ καθίσματα τοῦ ἀναστασ.

Κοντάκ. ὡς ἐν τῷ ὡρολογ. ὥσπερ, καὶ τὸ ἐξαποστειλάριον φύλλ. 83.

## ΚΥΡΙΑΚΗ Ε'. ΤΟΥ ΤΥΦΛΟΥ.

Δόξα εἰς τὸ ἑσπ. καὶ εἰς τοὺς αἶν. ἦχ. πλ. δ'.

Τίς λαλήσει τὰς δυναστείας σου Χριστὲ, ἢ τίς ἐξαριθμήσει τῶν θαυμασίων σου τὰ πλήθη; Διπλοῦς γὰρ ὡς ὡράθης ἐπὶ τῆς γῆς δι' ἀγαθότητα, διπλᾶς καὶ τὰς ἰάσεις τοῖς νοσοῦσιν ἐχορήγεις. Οὐ μόνον γὰρ τοὺς ὀφθαλμοὺς τοῦ σώματος διήνοιξας τοῦ ἀπὸ μήτρας πηρωθέντος, ἀλλὰ καὶ τοὺς τῆς ψυχῆς. Ὅθεν Θεόν σε ὁμολόγει τὸν κρυπτόμενον, καὶ πᾶσι παρέχοντα τὸ μέγα ἔλεος.

Εἰς τὸν ὄρθρ. κάθ. ἦχ. πλ. δ'. Τὴν σοφίαν.

Ὁ τῶν ὅλων δεσπότης καὶ ποιητὴς παρερχόμενος εὗρεν ἐν τῇ ὁδῷ, τυφλὸν καθεζόμενον, θρηνοδοῦντα, καὶ λέγοντα, οὐ κατεῖδον ἐν βίῳ τὸν ἥλιον λάμποντα, οὐδὲ τὴν σελήνην τὸ φέγγος αὐγάζουσαν, ὅθεν ἐκβοῶ σοι, ὁ τεχθεὶς ἐκ παρθένου, φωτίσαι τὰ σύμπαντα, φώτισόν με εὔσπλαγχνε, ἵνα κράζω προσπίπτων

σοι,

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

σοι, δέσποτα Χριστὲ τῶν πταισμάτων ἄφεσιν δώρησαι, διὰ πλῆθος ἐλέους ἡμῖν φιλάνθρωπε. Κοντάκ. ὡς ἐν τῷ ὀρθρ. Ἐξαποστειλ. φύλλ. 83.

Τῇ δ΄. ἀποδίδοται ἡ ἀκολ. τοῦ Τυφλοῦ. εἰς τὸ ἀπόδ. τῆς γ΄. Τριῴδ. τοῦ ἁγ.

Τῇ ε΄. τῆς ε΄. ἑβδομ. ἀπὸ τοῦ Πάσχα.

## ΕΙΣ ΤΗΝ ΑΝΑΛΗΨΙΝ ΤΟΥ ΚΥΡΙΟΥ.

Εἰς τὸ ἑσπ. τα στιχ. εἰς τοὺς αἴν. Δόξα καὶ νῦν. ἦχ. πλ. β΄.

Ο Κύριος ἀνελήφθη εἰς οὐρανοὺς ἵνα πέμψῃ τὸν Παράκλητον τῷ κόσμῳ, οὐρανοὶ ἡτοίμασαν τὸν θρόνον αὐτοῦ, νεφέλαι τὴν ἐπίβασιν αὐτοῦ. Ἄγγελοι θαυμάζουσιν ἄνθρωπον ὁρῶντες ὑπεράνω αὐτῶν, ὁ πατὴρ ἐκδέχεται, ὃν ἐν κόλποις ἔχει συναΐδιον, τὸ πνεῦμα τὸ ἅγιον κελεύει πᾶσι τοῖς ἀγγέλοις αὐτοῦ. ἄρατε πύλας οἱ ἄρχοντες ἡμῶν. πάντα τὰ ἔθνη κροτήσατε χεῖρας, ὅτι ἀνέβη Χριστὸς, ὅπου ἦν τὸ πρότερον.

Εἰς τὸ ἀπόδ. καὶ εἰς ὅλην τὴν ἐνναήμερον

Τριῴδ. ἦχ. πλ. α΄. Ὠδ. ζ΄. Ο ἐν καμίνῳ πυρὸς.

Ο Ἐν νεφέλῃ φωτὸς ἀναληφθεὶς καὶ σώσας κόσμον, εὐλογητὸς εἶ ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ἐπὶ τῶν ὤμων Χριστὲ τὴν πλανηθεῖσαν ἄρας φύσιν, ἀναληφθεὶς, τῷ Θεῷ καὶ Πατρὶ προσήγαγες.

Τὴν νεκρωθεῖσαν ἡμῶν φύσιν ἄρας, τῷ σῷ ἰδίῳ Πατρὶ σῶτερ προσήγαγες. Θ.

Ο ἐκ παρθένου τεχθεὶς, τὴν θεοτόκον ἀπειργάσω. εὐλογητὸς εἶ ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Καθ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Κάθ. εἰς τ̃ ὄρθ. Ὠδ. η'. Τὸν ἐκ πατρὸς.

ΤΟν ἐν δυσὶ ταῖς οὐσίαις ἀναπτάντα ζωοδότην Χριστὸν, εἰς οὐρανοὺς μετὰ δόξης, καὶ πατρὶ συγκαθεζόμενον ἱερεῖς ὑμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τὸν ἐκ δουλείας τῶν εἰδώλων τὴν κτίσιν λυτρωσάμενον, καὶ παραστήσαντα ταύτην ἐλευθέραν τῷ ἰδίῳ πατρὶ, σὲ σωτὴρ ὑμνοῦμεν, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας. Θ.

Τῶν χερουβὶμ ὑπερτέρα ἀνεδείχθης, θεοτόκε ἁγνὴ, ἐν τῇ γαστρί σου τὸν τούτοις ἐποχούμενον βαστάσασα. ὃν σὺν ἀσωμάτοις βροτοὶ δοξολογοῦμεν εἰς πάντας τοὺς αἰῶνας. Ὠδὴ θ'. Σὲ τὴν ὑπὲρ νοῦν.

ΣΕ' τὸν λυτρωτὴν τοῦ κόσμου, Χριστὸν τὸν Θεὸν οἱ ἀπόστολοι βλέποντες ἐνθέως ὑψούμενον, μετὰ δέους σκιρτῶντες ἐμεγάλυνον.

Σὲ τὴν θεωθεῖσαν σάρκα ὁρῶντες, Χριστὲ, ἐν τῷ ὕψει οἱ ἄγγελοι, ἀλλήλοις διένευον, ἀληθῶς οὗτος ἐστὶν ὁ Θεὸς ἡμῶν. Θ.

Χαῖρε θεοτόκε μήτηρ Χριστοῦ τοῦ Θεοῦ, ὃν ἐκύησας μήτηρ ἐκ γῆς ἀνιπτάμενον, σὺν ἀγγέλοις ὁρῶσα, ἐμεγάλυνες.

Εἰς τὸν ὄρθρ. Κάθ. μετὰ τοὺς ψαλμοὺς. ἦχ. πλ. δ'.

Τὴν σοφίαν καὶ λόγον.

Ἐπιβὰς ἐν νεφέλαις τῶν οὐρανῶν, καταλείψας εἰρήνην τοῖς ἐπὶ γῆς, ἀνῆλθες καὶ ἐκάθισας τοῦ πατρὸς δεξιό-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

δεξιόθεν, ὡς ὁμοούσιος τούτῳ ὑπάρχων, καὶ πνεύματι, καὶ ἐν σαρκὶ γὰρ ὤφθης, ἀλλ᾽ ἄτρεπτος ἔμεινας, ὅθεν ἀναμένεις συντελείας τὸ πέρας, τοῦ κρῖναι ἐρχόμενον ἐπὶ γῆς κόσμον ἅπαντα, δικαιοκρῖτα κύριε φεῖσαι τῶν ψυχῶν ἡμῶν, τῶν πταισμάτων ἄφεσιν δωρούμενος, ὡς Θεὸς ἐλεήμων τοῖς δούλοις σου.

Τὰ προκ. καὶ τὸ Εὐαγγ. Τριῳδ. δὲ ὡς ἄνω, μόνως.

Κοντάκ. Τὴν ὑπὲρ ἡμῶν πληρώσας οἰκονομίαν, καὶ τὰ ἐπὶ γῆς ἑνώσας τοῖς οὐρανίοις, ἀνελήφθης ἐν δόξῃ Χριστὲ ὁ Θεὸς ἡμῶν. Οὐδαμόθεν χωριζόμενος, ἀλλὰ μένων ἀδιάστατος, καὶ βοᾷς τοῖς ἀγαπῶσί σε. Ἐγώ εἰμι μεθ᾽ ἡμῶν, καὶ οὐδεὶς καθ᾽ ἡμῶν. ὁ οἶκος.

Τὰ τῆς γῆς ἐπὶ τῆς γῆς καταλιπόντες, τὰ τῆς τέφρας τῷ χοῒ παραχωροῦντες, δεῦτε ἀναινήψωμεν, καὶ εἰς ὕψος ἐπάρωμεν ὄμματα, καὶ νοήματα πετάσωμεν τὰς ὄψεις ὁμοῦ, καὶ τὰς αἰσθήσεις ἐπὶ τὰς οὐρανίους πύλας οἱ θνητοί. Νομίσωμεν εἶναι τοῦ Ἐλαιῶνος εἰς ὄρος, καὶ ἀτενίζειν τῷ λυτρουμένῳ, ἐπὶ νεφέλης ἐποχουμένῳ. Ἐκεῖθεν γὰρ ὁ κύριος εἰς οὐρανοὺς ἀνέδραμε. Ἐκεῖ καὶ ὁ φιλόδωρος τὰς δωρεὰς διένειμε τοῖς ἀποστόλοις αὐτοῦ. Καλακεύσας ὡς πατὴρ, καὶ στηρίξας αὐτοὺς, ὁδηγήσας ὡς υἱοὺς, καὶ λέξας πρὸς αὐτούς. Ἐγώ εἰμι μεθ᾽ ἡμῶν, καὶ οὐδεὶς καθ᾽ ἡμῶν.

Ἐξαπος. φύλλ. 83.

Εἰς τοὺς αἴν. συνότ. οἶκος τοῦ Ἐφρ.

Πληρώσας ἀγαθὲ πατρὸς τὴν εὐδοκίαν, ἑνώσας



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

τε τὰ ἄνω τοῖς κάτω, ἀνελήφθης ἐν δόξῃ πρὸς τὸ πρότερον.

Οὐ λείπω ὀρφανοὺς ὥσπερ ἐγὼ συνήξα, ὁ κύριος τοῖς φίλοις ἐλάλει ἀλλὰ πέμψω, ἡμῖν πνεῦμα τὸ ἅγιον.

Ὥσπερ τοῖς μαθηταῖς ἀπέστειλας ἐξ ὕψους, τὸ συμφυές σου πνεῦμα, καὶ τῷ λαῷ σου πέμψον Χριστὲ σωτὴρ τὴν χάριν σου.

Δέσποινα ἀγαθὴ, καὶ μήτηρ τοῦ Ὑψίστου, μὴ παύσῃ δυσωποῦσα μετὰ τῶν ἀποστόλων, ὑπὲρ ἡμῶν τῶν δούλων σου. Δόξα καὶ νῦν. ἦχ. πλ. β΄.

Κύριε οἱ ἀπόστολοι ὡς εἶδόν σε ἐν νεφέλαις ἐπαιρόμενον, ὀδυρμοῖς δακρύων ζωοδότα, Χριστὲ κατηφείας πληρούμενοι, θρηνοῦντες ἔλεγον, δέσποτα μὴ ἐάσῃς ἡμᾶς ὀρφανοὺς, οὓς δι' οἶκτον ἠγάπησας δούλους σου, ὡς εὔσπλαγχνος. ἀλλ' ἀπόστειλον ὡς ὑπέσχου ἡμῖν τὸ πανάγιόν σου πνεῦμα, φωταγωγοῦν τὰς ψυχὰς ἡμῶν.

Τῇ αὐτῇ ἡμέρᾳ εἰς τὸ ἑσπ. Δόξα καὶ. τοῦ ἑσπερινοῦ τῆς ἑορτ. Τροπ. τῆς ἑορτ. Εἰς τὸ ἀπόδ. τοῦ ἁγίου. Εἰς τὸν ὄρθρ. ὡς ἐν τῷ ὡρολογίῳ, καὶ συνέτ. εἰς τοὺς αἶν. εἰς ὅλην τὴν ὀκταήμ.

## ΚΥΡΙΑΚΗ ϛ΄. ΤΩΝ ΑΓΙΩΝ ΠΑΤΕΡΩΝ.

Εἰς τὸ ἑσπ. Δόξα τῶν πατέρ. ἦχ. πλ. β΄. Τὰς μυστικὰς. φύλ. 187. Καὶ νῦν. τῆς ἑορτ.

Εἰς τὸν ὄρθ. Κάθ. τῶν ἁγ. πατέρων εἰς ἱεράρχας.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Πεντηκοσ. τοῦ ἀνασ. τῆς Ἀναλήψ. καὶ τῶν πατέρ. Τριῴδ. τῆς αὐτῆς Ἀναλήψ. καὶ τῶν πατέρων. Κοντ. τῶν πατέρων. Τῶν ἀποστόλων τὸ κήρυγμα, καὶ τῶν πατέρων τὰ δόγματα τῇ ἐκκλησίᾳ μίαν τὴν πίστιν ἐσφράγισαν. ἥ καὶ χιτῶνα φοροῦσα τῆς ἀληθείας, τὸν ὑφαντὸν ἐκ τῆς ἄνω θεολογίας, ὀρθοτομεῖ, καὶ δοξάζει τῆς εὐσεβείας τὸ μέγα μυστήριον. Καὶ τῆς Ἀναλήψεως.

Ἐξαποστειλ. τῶν ἁγίων Πατέρ. φύλλ. 84. καὶ τῆς Ἀναλήψεως. Εἰς τοὺς αἴν. Δόξα τῶν Πατέρων, Ἀποστολικῶν παραδόσεων. φύλλ. 187. καὶ νῦν, Ὑπερευλογημένη.

Τῷ σαββ. τῆς Ν΄. ζήτ. πᾶσαν τὴν Ἀκολουθίαν, ὡς ἔστι γεγραμμένη ἐν τῷ σαββάτῳ τῆς Ἀποκρέω, ἔξω τοῦ χοροῦ. φύλλ. 646.

Εἰς τὸ μεθέορτ. εἰς τὸ ἑσπ. Δόξα καὶ νῦν τῆς ἑορτ. Εἰς τὸ ἀπόδ. Τριῴδ. τοῦ ἁγ. καὶ εἰς τὸν ὄρθ. ὡς ἐν τῷ ὡρολογίῳ.

## ΤΗ ΑΓΙΑ ΠΕΝΤΗΚΟΣΤΗ.

Δόξα καὶ νῦν. ἦχ. πλ. β΄. Βασιλεῦ οὐράνιε, ὡς ἐν τῇ γ΄. ὥρᾳ. προκ. Ὁ κύριος ἐβασίλ.

Εἰς τὸ ἀπόδ. Τριῴδ. τοῦ ἁγ. Πνεύματος ἦχ. α΄.

Ὠδὴ α΄. Χριστὸς γεννᾶται.

Τὸ Θεῖον πνεῦμα τὸ ἅγιον, τὸ πᾶσι διανέμον τὰ χαρίσματα, καὶ πάντα ποιοῦν βουλήματι, πνεῦσόν μοι τὴν φωσφόρον σου δωρεὰν, ὅπως σε δοξάζω, τῷ Πατρὶ καὶ τῷ Υἱῷ τὸ συνσεβόμενον. Οὐρα-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Οὐρανίαις δυνάμεσι τῆς ἁγιστικῆς ἐπιπνοίας σου, τὴν χάριν διδοὺς Παράκλητε, τῆς ἐμῆς διανοίας ὡς ἀγαθὸς, ῥύπον ἐκκαθαίρας, ἁγιότητος τῆς σῆς δεῖξον ἀνάπλεον. Θεοτ.

Ναὸς παρθένε γεγένησαι Θεοῦ, τῇ ἐπελεύσει τοῦ πνεύματος, δημιουργικῇ δυνάμει σου δύναμιν δωρουμένη γεννητικὴν, κεχαριτωμένη, δι' ἧς ἔτεκες σαρκὶ λόγον τὸν ἄναρχον. Κάθ. ὡς εἰς τὸ ὀρθ.

Ὠδὴ η'. Θαύματος ὑπερφυοῦς.

Ἅγιον τὸ προϊὸν ἐκ Θεοῦ πνεῦμα, ἁγιότητα πᾶσι παράσχου τοῖς εἰς σὲ πιστεύουσιν. Ἅγιον γὰρ, καὶ χορηγὸν τοῖς ἀνθρώποις ἁγιότητος σὺ πέφυκας. Διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν. Εὐλογείτω ἡ κτίσις πᾶσα τὸν κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Νέμεις μεταδοτικῶς ὡς εὐεργέτης, ἀγαθότητος τοῖς σὲ ὑμνοῦσι δωρεὰς παράκλητε, ἀγαθῶν γὰρ παρεκτικῶς χρηματίζεις, καὶ χρηστότητος πέλαγος. διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν, εὐλογ. Θ.

Τίς σου τὴν ὑπερβολὴν τῆς εὐσπλαγχνίας οὐκ ἐκπλήττεται, ἄναρχε λόγε, δι' ἡμᾶς ἐπτώχευσας, πλούσιος ὤν, καὶ ἐν γαστρὶ τῆς παρθένου τῆς ἁγίας κατεσκήνωσας. διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν, εὐλογ.

Ὠδ. θ'. Χαίροις τὸ τῆς παρθενίας.

Ἴδε πρὸς ἡμᾶς παράκλητον ἄλλον ἐξαπέστειλας, ὁμοούσιον λόγε σοι, καὶ τῷ πατρί σου τὸν συνθρονον.

Σῶσον πειρασμῶν Παράκλητε, τοὺς Θεὸν φρονοῦντάς



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

σε, καὶ τοὺς δοξολογοῦντάς σου τὴν προαιώνιον ὕπαρξιν. Ἰδὼν πρὸς ἡμᾶς Παράκλητε, τῆς σῆς παρακλήσεως ἐμπίπλα τοὺς τὴν δόξαν σου θεολογοῦντας τὴν ἄφραστον. Θεοτ.

Νύμφη τοῦ Θεοῦ πανάμωμε, τοὺς δοξολογοῦντάς σε, καὶ τιμῶντας ἀξίως ῥῦσαι πειρασμῶν ταῖς πρεσβείαις σου. Εἰς τὸν ὄρθ. Κάθ. ἦχ. δ'. Κατεπλάγη.

Ἡ τοῦ πνεύματος πηγὴ, ἐπιδημοῦσα τοῖς ἐν γῇ, εἰς πυρφόρους ποταμοὺς, μεριζομένη νοητῶς, τοὺς ἀποστόλους ἐδρόσιζε φωταγωγοῦσα, καὶ γέγονεν αὐτοῖς νέφος δροσῶδες τὸ πῦρ, φωτίζουσα αὐτοὺς, καὶ ὑετίζουσα φλόξ. Δι' ὧν ἡμεῖς ἐλάβομεν τὴν χάριν διὰ πυρός τε, καὶ ὕδατος. Τὸ φῶς ἐπέστη τοῦ Παρακλήτου, καὶ τὸν κόσμον ἐφώτισεν. Τριῴδ. ἦχ. δ'.

Θείῳ καλυφθεὶς ὁ βραδύγλωσσος γνόφῳ. Ἐρητόρευσε τὸν θεόγραφον νόμον. Ἰλὺν γὰρ ἐκτινάξας, ὄμματος νόου. Ὁρᾷ τὸν ὄντα, καὶ μυεῖται πνεύματος. Γνῶσιν γεραίρων ἐν θέοις τοῖς ᾄσμασι.

Ἔφη τὸ σεπτὸν, καὶ σεβάσμιον στόμα. Νοσφισμὸς ὑμῖν οὐ γενήσεται φίλοις. Ἐγὼ γὰρ εἰς πατρῷον ὕψιστον θρόνον. Συνεδριάζων ἐκχεῶ τοῦ Πνεύματος. Λάμψαι ποθοῦσι τὴν χάριν τὴν ἄφθονον.

Ὁρος βεβηκὼς ἀτρεκέστατος λόγος. Γαληνόμορφον ἐκτελεῖ τὴν καρδίαν. Ἔργον γὰρ ἐκπεράνας εὐφραίνει φίλους. Πνοῇ βιαίᾳ, καὶ πυρὸς γλωττήμασι. Νείμας τὸ πνεῦμα Χριστὸς ὡς ὑπέσχετο.

Κάθ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Καθ. ὡς ἄνω. Κοντ.

Ὅτε καταβὰς τὰς γλώσσας συνέχεε, διεμέριζεν ἔθνη ὁ Ὕψιστος, ὅτε τοῦ πυρὸς τὰς γλώσσας διένειμεν, εἰς ἑνότητα πάντας ἐκάλεσε, καὶ συμφώνως δοξάζομεν τὸ πανάγιον πνεῦμα. Ὁ οἶκος.

Ταχεῖαν, καὶ σταθηρὰν δίδου παραμυθίαν τοῖς δούλοις σου, Ἰησοῦ, ἐν τῷ ἀκηδιάσαι τὰ πνεύματα ἡμῶν. Μὴ χωρίζου τῶν ψυχῶν ἡμῶν ἐν θλίψεσι, μὴ μακρύνου τῶν φρενῶν ἡμῶν ἐν περιστάσεσιν, ἀλλ' ἀεὶ ἡμᾶς πρόφθασον. Ἔγγισον ἡμῖν ἔγγισον ὁ πανταχοῦ ὥσπερ καὶ τοῖς ἀποστόλοις σου πάντοτε συνῆς, οὕτω καὶ τοῖς σὲ ποθοῦσιν ἕνωσον σαυτὸν οἰκτίρμων. ἵνα συνημμένοι ὑμνῶμεν, καὶ δοξολογῶμεν τὸ πανάγιον Πνεῦμα.

Ὠδὴ η'.

Λύει τὰ δεσμὰ, καὶ δροσίζει τὴν φλόγα. Ὁ τρισοφεγγὴς τῆς θεαρχίας τύπος. Ὑμνοῦσι παῖδες εὐλογεῖ δὲ τὸν μόνον. Σωτῆρα καὶ παντουργὸν ὡς εὐεργέτην, Ἡ δημιουργηθεῖσα σύμπασα κτίσις.

Μνήμην ὁ Χριστὸς τῶν βροτοσσόων ἐπῶν. Ἀπαξακουσθεὶς τοῖς ἀποστόλοις ἔφη. Τὸ πνεῦμα τεύχει γλωσσοπυρσεύτῳ θέᾳ. Ἐφίζον εὐλογητὸν οἰκειουμένην. Ἠλλοξιωμένη δὲ μέλπει σὲ κτίσις.

Σωτηριωδῶς αὐτοδεσπότως υἱόν. Φῶς αὐτολαμπὲς, καὶ πορευτικὸν φάους. Ὑπάρχων ἧκες ἐμφόρουν ἀποστόλοις. Τιμῆσιν ὡς ἄπημα τοῖς σοῖς οἰκέταις. Λεληπαρημένον δὲ πνεῦμα προσνέμοις.

Ἥσε

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἥ σε προφῆται τὸ πνευματέμφορον στόμα. Σὴν σωματοποιὸν ὦ μέδων ἐνδημίαν. Καὶ πνεῦμα κόλπων πατρικῶν προηγμένον. Ἄκτιστον, συμπλαστουργὸν, σύνθρονον σέθεν. Ἰεὶς ἐν ἀνθρωπήσεως πιστοῖς σέβας.

Ὠδὴ θ'.

Χαίρεις ἄνασσα μητροπάρθενον κλέος. Ἅπαν γὰρ εὐδίνητον εὔλαλον στόμα. Ῥήτρευον οὐ σθένει σε μέλπειν ἀξίως. Ἰλιγγιᾷ δὲ νοῦς ἅπας σου τὸν τόκον. Νοεῖν, ὅθεν σε συμφώνως δοξάζομεν.

Ὕδειν ἔοικε τὴν φυσίζωον κόρην. Μόνη γὰρ ἐν δίνησι κεκρύφει λόγον. Νοσοῦσαν ἀλθαίνοντα τὴν βροτῶν φύσιν. Ὃς δεξιοῖς κλισμοῖσι νῦν ἱδρυμένος. Πατρὸς πέπομφε τὴν χάριν τοῦ πνεύματος.

Ὅσοις ἐμπνεύσεν ἡ θεόρρυτος χάρις. Λάμποντες ἀστράπτοντες ἠλλοιωμένοι. Ὀθνείαν ἀλλοίωσιν εὐπρεπεστάτην, Ἰσοσθενοῦσαν τὴν ἄτμητον εἰδότες, Σοφὴν τρίφεγγον οὐσίαν δοξάζομεν.

Ἐξαπος. φύλλ. 85.

Εἰς τοὺς αἴν. τὰ σύντομα. Οἶκος τοῦ Ἐφρ.

Ἔργῳ τοῖς μαθηταῖς, ὡς ἐπηγγείλω λόγε, ἀπέστειλας τὸ θεῖον, καὶ ἅγιόν σου πνεῦμα, καὶ τούτους κατεφώτισας. Ἄνωθεν πρὸς ἡμᾶς Παράκλητε φοιτήσας, ὡς πρὶν τοῖς ἀποστόλοις, ἁγίασον, καὶ σῶσον τοὺς σε Θεὸν κηρύττοντας. δίς.

Δέσποινα ἀγαθὴ καὶ μήτηρ τοῦ Ὑψίστου, μὴ παύσῃ δυσωποῦσα μετὰ τῶν ἀποστόλων, ὑπὲρ ἡμῶν τῶν δούλων σου.

Δό-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Δόξα καὶ νῦν. πλ. β'.

Ὁ Παράκλητος ὥσπερ νέφος τοῖς σοῖς ἀποστόλοις ἐπιφοιτήσας, ποταμοὺς ναμάτων ζωῤῥήτων τῆς αὐτῶν κοιλίας ἐξέβλυσεν. Ἐξ ὧν ποτισθεῖσα ἡ οἰκουμένη, θεογνωσίαν ἐβλάστησεν. ὅθεν σύμπασα γλῶσσα ἐξομολογουμένη γόνυ κάμπτει, σοὶ σὺν πατρὶ, καὶ ἁγίῳ πνεύματι.

Τῇ αὐτῇ ἡμέρᾳ εἰς τὸ ἑσπ.

Δόξα καὶ νῦν. ὡς χθές. ὡς καὶ εἰς τὸ Ἀπόδ. Εἰς τὸν ὄρθ. ψαλμοὶ καὶ τὸ ὡρολόγ. κάθ. ὡς χθές. Τριῴδιον α'. τῆς ἑορτῆς, καὶ ἄλλο τοῦ ἁγίου πνεύματος ἐκ τοῦ ἀποδείπνου. Κοντ. Ἐξαπος. καὶ Δόξα καὶ νῦν ὡς χθές. Ἑορτὴ ὀκταήμερος.

ΚΥΡΙΑΚΗ ΤΩΝ ΑΓΙΩΝ ΠΑΝΤΩΝ.

Εἰς τὸ τοῦ σαββ. ἑσπ. ἀρχόμεθα τὴν στιχολογ. τοῦ ἑνὸς Δόξα τοῦ α'. Καθίσματος τοῦ ψαλτ. Δόξα τῶν ἁγ. Πάντων, φύλλ. 178. καὶ νῦν τοῦ ἀνας. Τὰ Τροπάρ. καὶ τὸ ὡρολ. Εἰς τὸν ὄρθ. Τριῴδ. τοῦ ἀναστασ. καὶ τῶν ἁγίων πάντων. Τοῦτο δὲ τὸ Τριῴδ. ζήτει ἐν τῇ ἀκολουθίᾳ β'. μετὰ τὰ κοινὰ τῶν ἀνωνύμων. Εἰς τοὺς αἶν. Δόξα τῶν ἁγ. πάντων, Ἀπόστολοι προφ. φύλλ. 175. καὶ νῦν. Ὑπερευλογημένη.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Τῇ ε΄. ταύτης τῆς ἑβδομάδος

## ΕΙΣ ΤΗΝ ΕΟΡΤΙΟΝ ΑΝΑΜΝΗΣΙΝ

Τοῦ παναχράντου Σώματος, καὶ Αἵματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Εἰς τὸ ἑσπ. τὰ στιχ. ὡς ἐν τῷ ὄρθρ. φύλλ. 627. Δόξα καὶ νῦν, Τὸ Πάσχα Χριστὸς, καὶ τὰ λοιπὰ ἐκεῖ. φύλλ. 615.

Εἰς τὸν ὄρθ. τὸ εὐαγγ. Ἐκ τοῦ κατὰ Ἰωάννην.

Εἶπεν ὁ κύριος πρὸς τοὺς πεπιστευκότας αὐτῷ Ἰουδαίους. Ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ. Καθὼς ἀπέστειλέ με ὁ ζῶν πατὴρ, κἀγὼ ζῶ διὰ τὸν πατέρα, καὶ ὁ τρώγων με, κἀκεῖνος ζήσεται δι᾽ ἐμέ. Οὗτός ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, οὐ καθὼς ἔφαγον οἱ πατέρες ἡμῶν τὸ μάννα, καὶ ἀπέθανον. Ὁ τρώγων τοῦτον τὸν ἄρτον ζήσεται εἰς τὸν αἰῶνα.

Τριῴδ. μόνον ἐκ τοῦ κανόνος, Βλέπε ψυχὴ, καὶ τὰ λοιπὰ ὡς ἔθος.

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

# ΔΙΑΤΑΞΙΣ

Περὶ τῆς ἔξω τοῦ χοροῦ, ἢ πλήρους τοῦ χοροῦ ἀκολουθίας, εἰς ὅλον τὸν ἐνιαυτόν.

Κατὰ τὴν νέαν Συγχώρησιν τῆς ἀποστολικῆς Ἐκκλησίας.

Ὅταν ἔξω τοῦ χοροῦ, ἢ πλήρους τοῦ χοροῦ (ἤτοι ἥρωων τῶν τεσσάρων ψαλλόντων) λέγειν συμβαίνει τὴν ἐφημερινὴν ἀκολουθίαν, πάντα γίνεται ὡς ἐν τῷ χορῷ, καὶ ἐν τούτῳ τῷ Ὡρολογίῳ εὑρίσκεται. Πλὴν τῶν στιχηρῶν τῶν ἰδιομέλων, καὶ τῶν προσομοίων, ἃ τεθειμμένα οὐκ εἰσίν. Ἐν ταῖς δὲ τῶν μεγάλων ἑορτῶν ἀκολουθίαις, τῇ ὀγδοάδι σεσημειωμέναις, λέγομεν εἰς τὸ ἑσπέρας, καὶ εἰς τοὺς αἴνους τὰ ἤδη τεθειμμένα, Συντομα, καὶ τὸ Δόξα, ἢ Δόξα καὶ νῦν κατὰ τὴν ἑορτήν, ἄνευ δὲ τῶν ἀναγνωσμάτων. Ἐν ἄλλαις ταῖς ἀκολουθίαις, ἢ τῶν λιτῶν, ἢ τῶν ἁγίων, ἢ τῆς κυριακῆς, εἰς τὸ ἑσπέρας μετὰ τοὺς ψαλμοὺς, ὡς καὶ εἰς τοὺς αἴνους, μόνον λέγομεν τὸ Δόξα, ἴδιον, ἢ ἐκ τῶν κοινῶν τοῦ ὡρολογίου, κατὰ τὴν τάξιν.

Τὸ αὐτὸ Δόξα, ἐν τῷ σαββάτῳ ὀψὲ ἑσπέρας, ὡς καὶ εἰς τοὺς αἴνους, ἔσται τὸ ἑωθινὸν, ὡς τύχει. τὸ δὲ Καὶ νῦν, εἰς τὸ ἑσπ. λέγεται τὸ Δόξα τοῦ ἀναστασίμου, φύλ. α'. καὶ εἰς τοὺς αἴν. τὸ Ὑπερευλογημένη, φύλ. 92.

Ἐν τῇ μεγάλῃ μ'. διὰ τὸ, Εἰς τοὺς στίχους, δὶς λέγομεν τὸ Δόξα. Τὸ α'. Δόξα ἀεὶ ἔστω τῆς ἐπιλαχούσης Κυριακῆς. Μετὰ τὸ Καταξίωσον μόνον λέγο-

 μεν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

μεν καὶ πάλιν τοὺς στίχ. Ὁ κύριος ἐβασίλ. Ἐνεδύσ. καὶ Δόξα καὶ νῦν, τοῦ ἀναστασίμου. Ἐν ἄλλαις ταῖς ἡμέραις ἔξω τοῦ σαββάτου, ἐὰν ἄλλο, οὐ τυπῶται, τὸ α΄. Δόξα ἔστω τῆς ἑβδομάδος, καὶ μετὰ τὸ Καταξίωσον, λέγομεν τοὺς στίχους, Πρὸς σὲ ἦρα, Ἐλέησον ἡμᾶς. φύλλ. 169. καὶ τὸ Δόξα, ἰδιόμελον τῆς μ΄. ὡς ἐν τῇ τῆς Κυριακῆς ἑσπέρᾳ, καὶ τὸ αὐτὸ ἰδιόμελον ψαλλομεν εἰς ὅλην τὴν ἑσπέραν τῆς αὐτῆς ἑβδομάδος.

Ἐκ τῶν Καθισμάτων τοῦ ψαλτηρίου, ὅταν εἰς τὸ ἑσπέρας, καὶ εἰς τὸν ὄρθρον διατυπῶνται, μόνον λέγομεν τὸ ἓν Δόξα, ὥσπερ μίαν τὴν στιχολογίαν μικρὰν ἐν ταῖς λιταῖς εἰς τὴν ὥραν τρίτην. Ἀλλάττωμεν δὲ, τὸ Δόξα, καὶ τὴν στιχολογίαν κατὰ τὴν ἡμέραν, καὶ τὴν ἑβδομάδα, ὡς ἤδη ἐτάχθη ἐν τῷ ψαλτηρίῳ, ἵνα ὅλους στιχολογήσωμεν τοὺς ρν΄. ψαλμούς.

Εἰς τὸ ἀπόδειπνον, καὶ εἰς τὸν ὄρθρον συνεχῶς εἰς ζητώδιον λέγομεν τὸν κανόνα, ἢ τοὺς κανόνας ἐν παντὶ τῷ χρόνῳ, καὶ δὴ ἐν τῇ παρακλήσει τῆς μεγάλης τεσσαρακοστῆς. Εἰς τὸ μέγα ἀπόδειπνον καταλιμπάνωμεν τοὺς τρεῖς ψαλμοὺς, ἤδη ἐν τῇ γ΄. καὶ ἐν τῇ ς΄. ὥρα στιχολογηθέντας, τουτέστι τὸ Πρὸς σὲ ἦρα, Ὁ κατοικῶν. Ἐλεήσονμε ὁ Θεός. Ὅταν συμβαίνωνται τὸ Μεσονύκτιον, καὶ ὁ Ἀκάθιστος Ὕμνος, ἐξ αὐτῶν ψάλλομεν μόνον τὸ τρίτον μέρος. Ἀλλάττοντες δὲ τὰ λεγόμενα μέρη, ἵνα κατὰ καιρὸν τὰ πάντα ἐκτελεῖται.

Εἰς τὸν ὄρθρον, ἐν πάσαις ταῖς ἀκολουθίαις κἂν ἐν

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ἐν ταῖς λιταῖς τῆς ἑβδομάδος, λέγομεν τὸν ἑξάψαλμον. Καὶ μετὰ τὰ τροπάρια, καὶ τὸν ᾀδόμενον ψαλμὸν, ἢ τρεῖς ψαλμοὺς, ἢ τὸ ἐν Δόξα τοῦ ψαλτηρίου, κατ' ἀκολουθίαν, λέγομεν τὸ σύνηθες κάθισμα, ἢ τὰ καθίσματα τῆς ὀκτωήχου, σὺν τοῖς στίχοις φύλλ. 61. καθ' ἡμέραν. Ἐν τῇ λιτῇ τοῦ Σαββάτου, μετὰ τὸ ἐν Δόξα τοῦ, Μακάριοι ἄμωμοι, μόνον ἀναγινώσκομεν τὸ Κοντάκιον. Τὴν πολυτάραχον θάλασσαν, καὶ τὰς δεήσεις εἰς τοὺς κεκοιμημένους σὺν τῇ εὐχῇ. Ἐκτὸς δὲ τοῦ σαββάτου τῆς Ἀποκρέου, καὶ τῆς μεγάλης Πεντηκοστῆς, ὥσπερ καὶ τοῦ β'. τοῦ Νοεμβρίου, ὅτι ἐν αὐτοῖς λέγομεν ὅλην τὴν ἀκολουθίαν τῶν κεκοιμημένων, ὡς ἐν τῷ χορῷ.

Ἐν ταῖς τῶν ἁγίων μνήμαις, καὶ ἐν ἄλλαις ταῖς ἡμέραις, λέγομεν ὡς ἔθος τοὺς τεταγμένους ψαλμοὺς ἐν τῷ Τυπικῷ, καὶ τὸ Εὐαγγέλιον, ἤγουν τὸ ἴδιον, ἢ ἐκ τῶν κοινῶν. Ὅταν ὡς ἄνω, ἐκ τῶν δύο κανόνων, δύο γίνονται τὰ Τριῴδια, συνήθως τροπάρια γ'. σὺν τῷ Δόξα καὶ νῦν λέγομεν κατ' ᾠδήν. Εἰ δὲ εὑρίσκεται τὸ Τριαδικὸν, λέγομεν τέσσαρα. Ὅταν πάλιν, ἓν μόνον λεκτέον τὸ Τριῴδιον, πάντα ἀναναγινώσκομεν τὰ τροπάρια οὐ πλείονα τῶν πέντε. Ἔξω τοῦ χοροῦ, ἐν ταῖς ἑορταῖς τῶν ἁγίων, ἐπισυνάπτομεν τῷ Τριῳδίῳ τοῦ ἁγίου, ἄλλο τῆς θεοτόκου, ὡς φύλλ. ιζ'. κἂν ἐν τῷ χορῷ εἴς τι προσθήσηται ὁ κανών. Μετὰ τὴν πρώτην ᾠδὴν τοῦ δευτέρου Τριῳδίου, ἢ τοῦ μόνου Τριῳδίου, λέγομεν τὴν μικρὰν συναπτὴν τῆς τρίτης ᾠδῆς ἐν τῷ

χορῷ,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

χορῷ, καὶ τὸ κάθισμα, ἢ τὰ καθίσματα, ὡς ἄνω. Μετὰ τὰ καθίσματα, ἄλλην εὐθὺς λέγομεν τὴν συναπτὴν τῆς ᾠδῆς ς'. ἐν τῷ χορῷ, καὶ τὰ κοντάκια. Τὰ λοιπὰ ὡς ἔθος, Εἰς τοὺς αἴνους, μόνον λέγομεν τὸ Δόξα, κατὰ τὴν ἡμέραν. Καὶ ἐν τῇ μεγάλῃ τεσσαρακοστῇ προστίθεμεν τῷ Δόξα, τοὺς ἰδίους στίχ. Ἐνεπλήσθημεν, Καὶ ἔστω.

Ἐν τῇ ἑβδομάδι τῆς Διακαινησίμου, κρατοῦμεν τὰ πάντα, ὡς ἐν τῷ Ὡρολογίῳ. ἐκτὸς τῶν στιχηρῶν τοῦ ἀναστασίμου. Περὶ δὲ τῆς ἀκολουθίας τοῦ Πεντηκοσταρίου, ὡς ἐκεῖ ἐτυπώθη.

Ἐν τούτῳ οὖν τῷ βιβλίῳ, διεγράφησαν πᾶσαι αἱ τῆς ἑβδομάδος ἀκολουθίαι, ἀπὸ τῆς Κυριακῆς ἕως τοῦ Σαββάτου, καὶ τὸ Τριῴδιον τῆς Θεοτόκου, εἰς ἦχον πλ. δ'. λεγόμενον ἐν ταῖς ἑορταῖς τῶν ἁγίων. Ἐτέθησαν πάντα τὰ κοινὰ τῶν ἁγίων Ἀνωνύμων, πλὴν, ὅτι λέγομεν εἰς τὴν ἀκολουθίαν τῶν μαρτύρων, τὰ λεγόμενα εἰς τοὺς ἱερομάρτυρας, καὶ εἰς τοὺς ὁσιομάρτυρας. Μετὰ τὰ κοινὰ εἰσὶν τὰ Εὐαγγέλια εἰς τὰς ἑορτὰς τῆς Θεοτόκου, καὶ εἰς πάντας τοὺς ἀνωνύμους ἁγίους. Διὰ τινῶν, ἐξαιρέτως τῶν μεγάλων ἑορτῶν, διεγράφησαν ἴδιαι αἱ ἀκολουθίαι, αἱ μὲν λεγόμεναι μόνον ἐν ἑνὶ τῷ Ἐξαμήνῳ, αἱ δὲ ἐν ἀμφοτέροις τοῖς Ἐξαμήνοις. ὡς εὑρεῖν ἐστιν ἐκεῖ.

ΑΚΟ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

# ΑΚΟΛΟΥΘΙΑΙ
## ΤΗΣ ΚΥΡΙΑΚΗΣ, ΚΑΙ ΤΗΣ ΕΒΔΟΜΑΔΟΣ.
### ΤΩ ΣΑΒΒΑΤΩ ΕΣΠΕΡΑΣ,

Δόξα τὸ ἑωθινὸν ἦχ. α'. ἢ τοῦ μηνὸς, καὶ τοῦτο εἰς καὶ νῦν Θεοτ.

ΤΗ'ν παγκόσμιον δόξαν, τὴν ἐξ ἀνθρώπων σπαρεῖσαν, καὶ τὸν Δεσπότην τεκοῦσαν, τὴν ἐπουράνιον πύλην ὑμνήσωμεν Μαρίαν τὴν παρθένον, τῶν Ἀσωμάτων τὸ ᾆσμα καὶ τῶν πιστῶν τὸ ἐγκαλλώπισμα. Αὕτη γὰρ ἀνεδείχθη οὐρανὸς, καὶ ναὸς τῆς Θεότητος, αὕτη τὸ μεσότειχον τῆς ἔχθρας καθελοῦσα, εἰρήνην ἀντεισῆξε, καὶ τὸ βασίλειον ἠνέῳξε. Ταύτην οὖν κατέχοντες τῆς πίστεως τὴν ἄγκυραν, ὑπέρμαχον ἔχομεν τὸν ἐξ αὐτῆς τεχθέντα Κύριον. Θαρσείτω τοίνυν, θαρσείτω λαὸς τοῦ Θεοῦ, καὶ γὰρ αὐτὸς πολεμήσει τοὺς ἐχθροὺς, ὡς παντοδύναμος.

Ἐν τῇ μεγ. μ'. μετὰ τὸ Καταξίωσον. Δόξα καὶ νῦν Θ.

Ι'Δοῦ πεπλήρωται ἡ τοῦ Ἡσαΐου πρόῤῥησις, παρθένος γὰρ ἐγέννησας, καὶ μετὰ τόκον ὡς πρὸ τόκου διέμεινας, Θεὸς γὰρ ἦν ὁ τεχθεὶς, διὸ καὶ φύσεις ἐκαινοτόμησεν. Ἀλλ' ὦ Θεομῆτορ ἱκεσίας σῶν δούλων, σῷ τεμένει προσφερομένας σοι μὴ παρίδῃς. Ἀλλ' ὡς τὸν εὔσπλαγχνον σαῖς ἀγκάλαις φέρουσα, σοῖς οἰκέταις σπλαγχνίσθητι, καὶ πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Εἰς τὸν ὄρθ. μετὰ τὸ Ἐπίσευσα.

Οἱ ἀναβαθμοί. Ἀντίφωνον α'. ἦχ. α'.

ΕΝ τῷ θλίβεσθαί με, εἰσάκουσόν μου τῶν ὀδυνῶν Κύριε σοὶ κράζω.

ΤΟῖς ἐρημικοῖς ἀπαύστως ὁ θεῖος πόθος ἐγγίνεται, κόσμου οὖσι τοῦ ματαίου ἐκτός. Δόξα καὶ νῦν.

ΑΓίῳ Πνεύματι τιμὴ καὶ δόξα, ὥσπερ Πατρὶ πρέπει ἅμα καὶ Υἱῷ, διατοῦτο ᾄσωμεν τῇ Τριαδικῇ μονοκρατείᾳ. Ἀντίφωνον β'.

ΕἸς τὰ ὄρη τῶν σῶν ὕψωσάς με νόμων, ἀρεταῖς ἐκλάμπρυνον, ὁ Θεὸς ἵνα ὑμνῶ σε.

ΔΕξιᾷ σου χειρὶ λαβὼν σὺ Λόγε, φύλαξόν με φρούρησον, μὴ πῦρ με φλέξῃ τῆς ἁμαρτίας.

Δόξα. καὶ νῦν.

ΑΓίῳ Πνεύματι πᾶσα ἡ κτίσις καινουργεῖται, παλινδρομοῦσα εἰς τὸ πρῶτον, ἰσοσθενὲς γάρ ἐστι Πατρὶ καὶ Λόγῳ. Ἀντίφωνον γ'.

ἘΠὶ τοῖς εἰρηκόσι μοι, ὁδεύσομαι εἰς αὐλὰς τοῦ Κυρίου, ηὐφράνθη μου τὸ πνεῦμα, συγχαίρει ἡ καρδία.

ἘΠὶ οἶκον Δαβὶδ φόβος μέγας, ἐκεῖ γὰρ θρόνων ἐκτεθέντων, κριθήσονται ἅπασαι αἱ φυλαὶ τῆς γῆς καὶ γλῶσσαι. Δόξα καὶ νῦν.

ΑΓίῳ Πνεύματι τιμὴν προσκύνησιν, δόξαν καὶ κράτος, ὡς Πατρί τε ἄξιον, καὶ τῷ Υἱῷ δεῖ προσφέρειν, μονὰς γάρ ἐστιν ἡ Τριὰς τῇ φύσει, ἀλλ' οὐ προσώποις



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Τριῴδ. τοῦ Μίνωος, καὶ τὸ ἀναστάσιμον.

Ὠιδὴ α'. ἦχ. α'. ὁ Εἱρμός.

ΣΟῦ ἡ τροπαιοῦχος δεξιὰ, θεοπρεπῶς ἐν ἰσχύϊ δεδόξασται, αὕτη γὰρ ἀθάνατε ὡς πανσθενὴς ὑπεναντίους ἔθραυσε, τοῖς Ἰσραηλίταις ὁδὸν βυθοῦ καινουργήσασα.

Ὁ Χερσὶν ἀχράντοις ἐκ χοὸς, δημιουργικῶς κατ' ἀρχὰς διαπλάσας με, χεῖρας διεπέτασας ἐν τῷ σταυρῷ, ἐκ γῆς ἀνακαλούμενος τὸ φθαρέν μου σῶμα, ὃ ἐκ παρθένου προσείληφας.

ΝΈκρωσιν ὑπέστη δι' ἐμὲ, καὶ τὴν ψυχὴν τῷ θανάτῳ προδίδωσιν, ὁ ἐμπνεύσει θείᾳ ψυχήν μοι ἐνθεὶς, καὶ λύσας αἰωνίων δεσμῶν, καὶ συναναστήσας, τῇ ἀφθαρσίᾳ ἐδόξασε. Θεοτ.

ΧΑῖρε ἡ τῆς χάριτος πηγὴ, χαῖρε ἡ κλίμαξ καὶ πύλη οὐράνιος· χαῖρε ἡ λυχνία καὶ στάμνος χρυσοῦ, καὶ ὄρος ἀλατόμητον, ἡ τὸν ζωοδότην Χριστὸν τῷ κόσμῳ κυήσασα.

Κάθισμα τῆς ἀγ. στιχ. Αὕτη ἡ. Καὶ καθ. τῆς ἀνας. ἦχ. α'.

ΤΟν τάφον σου Σωτὴρ στρατιῶται τηροῦντες, νεκροὶ τῇ ἀστραπῇ τοῦ ὀφθέντος Ἀγγέλου, ἐγένοντο κηρύττοντος γυναιξὶ τὴν ἀνάστασιν. Σὲ δοξάζομεν τὸν τῆς φθορᾶς καθαιρέτην, σοὶ προσπίπτομεν τῷ ἀναστάντι ἐκ τάφου, καὶ μόνῳ Θεῷ ἡμῶν. στιχ. Ὁ κύρ.

ΣΤαυρῷ προσηλωθεὶς ἑκουσίως οἰκτίρμον, ἐν μνήματι τεθεὶς ὡς θνητὸς ζωοδότα, τὸ κράτος



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

συνέθλιψας, δυνατὲ τῷ θανάτῳ σου, σὲ γὰρ ἔφριξαν οἱ πυλωροὶ οἱ τοῦ ᾅδου, σὺ συνήγειρας τοὺς ἀπ' αἰῶνος θανέντας, ὡς μόνος φιλάνθρωπος.

Θεοτοκίον.

ΜΗτέρα σε Θεοῦ ἐπιστάμεθα πάντες, παρθένον ἀληθῶς καὶ μετὰ τόκον φανεῖσαν, οἱ πόθῳ καταφεύγοντες, πρὸς τὴν σὴν ἀγαθότητα, σὲ γὰρ ἔχομεν ἁμαρτωλοὶ προστασίαν, σὲ κεκτήμεθα ἐν πειρασμοῖς σωτηρίαν, τὴν μόνην παναμώμητον.

Κοντ. τοῦ ἀγ. ὁ οἶκος τοῦ ἀνας.

ΤΟν ἀναστάντα ἐκ νεκρῶν τριήμερον ἀνυμνήσωμεν, ὡς Θεὸν παντοδύναμον, καὶ πύλας ᾅδου συντρίψαντα, καὶ τοὺς ἀπ' αἰῶνος ἐκ τάφου ἐγείραντα, καὶ τοὺς νεκροὺς ἀναστήσαντα, μυροφόροις ὀφθέντα, καθὼς ηὐδόκησε. Πρώταις ταύταις τὸ χαίρετε φήσας, καὶ Ἀποστόλοις χαρὰν μηνύων, ὡς μόνος ζωοδότης, ὅθεν πίστει αἱ γυναῖκες μαθηταῖς σύμβολα νίκης εὐαγγελίζονται. Καὶ ᾅδης στενάζει, καὶ θάνατος ὀδύρεται, καὶ κόσμος ἀγάλλεται, καὶ πάντες συγχαίρουσι. Σὺ γὰρ παρέσχες πᾶσι Χριστὲ τὴν ἀνάστασιν.

Ὠδὴ η'. Ἐν καμίνῳ παῖδες.

ΟΒουλήσει ἅπαντα ποιῶν, ὁ καὶ μετασκευάζων ἐκτρέπων σκιὰν θανάτου εἰς αἰώνιον ζωὴν, τῷ πάθει σου Λόγε Θεοῦ· σὲ ἀπαύστως πάντα τὰ ἔργα ὡς Κύριον ὑμνοῦμεν, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ΣΥ` καθεῖλες σιώτειμμα Χριστὲ, καὶ τὴν παλαιπωρίαν ἐν πύλαις καὶ ὀχυρώμασι τοῦ ᾅδου, ἀναστὰς ἐκ τάφου τριήμερος· σὲ ἀπαύστως πάντα τὰ ἔργα ὡς Κύριον ὑμνοῦσι, καὶ ὑπερυψοῦσιν εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

ΤΗ`ν ἀπόρρως καὶ ὑπερφυῶς, ἐξ ἀστραπῆς τῆς θείας τεκοῦσαν τὸν μαργαρίτην τὸν πολύτιμον Χριστὸν, ὑμνήσωμεν λέγοντες, εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

ᾨδὴ θ΄. Τύπον τῆς ἁγνῆς.

Ω῎Πως ὁ Λαὸς ὁ ἄνομος, ὁ ἀπειθὴς καὶ πονηρὰ βουλευσάμενος τὸν ἀλάστορα, καὶ ἀσεβῆ ἐδικαίωσε, τὸν δὲ δίκαιον ξύλῳ κατέκρινε, τὸν Κύριον τῆς δόξης, ὃν ἐπαξίως μεγαλύνομεν.

ΣΩ῀τερ ὁ ἀμνὸς ὁ ἄμωμος· ὁ τὴν τοῦ κόσμου ἁμαρτίαν ἀράμενος, σὲ δοξάζομεν τὸν ἀναστάντα τριήμερον, σὺν Πατρὶ καὶ τῷ θείῳ σου Πνεύματι, καὶ Κύριον τῆς δόξης, θεολογοῦντες μεγαλύνομεν.

Θεοτ.

ΣΩ῀σον τὸν λαόν σου Κύριε, ὅνπερ ἐκτήσω τῷ τιμίῳ σου αἵματι· κατ᾽ ἐχθρῶν ἰσχὺν τῷ βασιλεῖ χαριζόμενος, καὶ ταῖς σαῖς ἐκκλησίαις φιλάνθρωπε, βραβεύων τὴν εἰρήνην, τῆς Θεοτόκου ταῖς ἐντεύξεσιν.

Εἰς τοὺς αἴνους τῆς κυριακῆς. Δόξα ὡς τύχῃ.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

## ΤΗ Β'. ΚΑΙ ΤΗ Γ'. ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν στιχολογίαν, Καθίσματα κατανυκτικά.

ἦχος β'.

Ως κύματα θαλάσσης ἐπ' ἐμὲ ἐπανέστησαν αἱ ἀνομίαι μου, ὡς σκάφος ἐν πελάγει ἐγὼ μόνος χειμάζομαι ὑπὸ πταισμάτων πολλῶν· ἀλλ' εἰς εὔδιον λιμένα ὁδήγησόν με Κύριε, τῇ μετανοίᾳ καὶ σῶσόν με. στιχ. Κύριε μή.

Εγὼ ὑπάρχω τὸ δένδρον τὸ ἄκαρπον Κύριε, κατανύξεως καρπὸν μὴ φέρον τὸ σύνολον, καὶ τὴν ἐκκοπὴν πτοοῦμαι, καὶ τὸ πῦρ ἐκεῖνο δειλιῶ τὸ ἀκοίμητον· διὸ σε ἱκετεύω, πρὸ ἐκείνης τῆς ἀνάγκης ἐπίστρεψόν, καὶ σῶσόν με. στιχ. Θαυμαστ.

Σὲ τὸν περιβάλλοντα τὸν οὐρανὸν ἐν νεφέλαις, ἔχοντες οἱ Ἅγιοι περιβολὴν ἐν τῷ κόσμῳ, τὰς βασάνους τῶν ἀνόμων ὑπέμειναν, καὶ τὴν πλάνην τῶν εἰδώλων κατήργησαν· αὐτῶν ταῖς ἱκεσίαις, καὶ ἡμᾶς ἐλευθέρωσον τοῦ ἀοράτου ἐχθροῦ Σωτὴρ, καὶ σῶσον ἡμᾶς.

Στιχ. Μακάρ. Νεκρώσ. ἐν τῷ σαββ. φύλλ: ιέ

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ποία μήτηρ ἠκούσθη παρθένος, ποία δὲ παρθένος μήτηρ ἐγνωρίσθη; πάντα τὰ σὰ, Θεοτόκε παράδοξα, διὰ τοῦτό σε πιστῶς μεγαλύνομεν.

Τριῳδ. τοῦ ἁγ. καὶ τοῦτο τὸ κατανυκτικόν.

Ὠδὴ α'., ἦχ. β'. Δεῦτε λαοὶ, ᾄσωμεν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ο Σαρκωθεὶς, καὶ μὴ δικαίους ὡς ἔφησας, ἀμαρτωλοὺς καλέσαι δὲ παραγινόμενος, εἰς μετάνοιαν Λόγε, πολλὰ ἡμαρτηκότα, δέξαι καὶ σῶσόν με.

ΜΟ'νος ἐγὼ τῇ ἁμαρτίᾳ δεδούλωμαι, μόνος ἐγὼ τοῖς πάθεσι θύραν ἠνέῳξα, ἀπαράλλακτε μόνε, ἐπίστρεψόν με σῶσον τῇ εὐσπλαγχνίᾳ σου.

ΒΗ'ματι σῷ στεφηφοροῦντες παρίστανται οἱ Ἀθλοφόροι Κύριε, τὰ τοῦ ἀλάστορος ἐκνικήσαντες θράση, καὶ τὴν ἀθανασίαν καταπλουτίσαντες.

Θεοτοκίον.

Η' Τὴν πηγὴν τῆς ἀπαθείας κυήσασα, τραυματισθέντα πάθεσι, Κόρη θεράπευσον, καὶ πυρὸς αἰωνίου, ἐξάρπασόν με μόνη Θεοχαρίτωτε.

Ὠδὴ η'. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Υ' Ποπεσὼν τῷ πονηρῷ, τοῖς ἐκείνου μηχαναῖς κατεδουλώθην, καὶ ὁρῶν με ὁ πλάνος ἐν ἀπωλείᾳ πολλῇ καυχᾶται· τούτου με ἐξάρπασον, ἡ τῶν πλανωμένων ἐπιστροφὴ οἰκτίρμον.

ΛΥ'σον ἀλύτοις με δεσμοῖς, τῶν τοῦ σώματος παθῶν κεκρατημένον, ὁ τὰ ἄλυτα λύσας τῶν ἀπ' αἰῶνος δεσμά. καὶ τρέχειν πρὸς τρίβους εὐόδωσον τὰς σωτηριώδεις, Χριστὲ Σωτὴρ τοῦ κόσμου.

ΓΟ'νυ μὴ κάμψαντες γλυπτοῖς, ἐν καμίνῳ αἰκισμῶν ὥσπερ οἱ Παῖδες, ἐνεβλήθητε πάλαι, καὶ δροσισμῷ θεϊκῷ ὀφθέντες, ἄφλεκτοι ἐμείνατε, Μάρτυρες ὑμνοῦντες Χριστὸν εἰς τοὺς αἰῶνας.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Θεοτοκίον.

Ε' Ξαθενήσασαν πολλαῖς προσβολαῖς τοῦ πονηροῦ Θεογεννῆτορ, τὴν ἀθλίαν ψυχήν μου ταῖς ῥωστικαῖς σου λιταῖς, Παρθένε, ὑγιᾶ ἀπέργασαι, ἵνα σε δοξάζω εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

Ι' Δοὺ καιρὸς ἐργασίας, τί καθεύδεις ἀφρόνως ψυχὴ ἐν ῥαθυμίᾳ παντελεῖ; ἔγειραι δάκρυσι φαίδρυνον τὴν λαμπάδα σου, σπεῦσον, ἐγγίζει ὁ Νυμφίος τῶν ψυχῶν, μὴ βραδυνῆς, καὶ μείνῃς τῆς θείας θύρας ἔξωθεν.

Ω' Πῶς φρικτόν σου τὸ βῆμα, φανεροῦντος σοῦ πρᾶξιν, γυμνὴν ἐπὶ Ἀγγέλων καὶ βροτῶν, ὢ πῶς δεινὴ ἡ ἀπόφασις, ἣν τοῖς πταίσασι μέλλεις διδόναι, ἐξ ἧς ῥῦσαί με Χριστὲ πρὸ τοῦ τέλους, παρέχων ἐπιστροφῆς μοι δάκρυα.

Η' Λιακαῖς λαμπηδόσιν ὡς φωστῆρες δειχθέντες, τῷ φέγγει τῆς ἀθλήσεως ὑμῶν πᾶσαν ψυχὴν καταυγάζετε, πάντη ζόφον τῆς πλάνης διώκετε γενναῖοι ἀθληταί· διὰ τοῦτο ἐν πίστει ἀξίως μακαρίζεσθε.

Θεοτοκίον.

Φ' Εῖσαί μου Κύριε φεῖσαι ὅταν μέλλεις με κρῖναι, καὶ μὴ καταδικάσῃς με εἰς πῦρ. Μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, δυσωπεῖ σε Παρθένος ἡ σὲ κυοφορήσασα Χριστὲ, τῶν Ἀγγέλων τὰ πλήθη, καὶ τῶν Μαρτύρων ὁ σύλλογος.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

ΤΗ Δ'. ΚΑΙ ΤΗ ς'. ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ
Μετὰ τὴν Στιχολογίαν, Καθίσματα σαυρώσιμα, ἦχος δ'.

Ἐξηγόρασας ἡμᾶς ἐκ τῆς κατάρας τοῦ νόμου, τῷ τιμίῳ σου αἵματι. Τῷ σαυρῷ προσηλωθεὶς, καὶ τῇ λόγχῃ κεντηθεὶς, τὴν ἀθανασίαν ἐπήγασας τοῖς ἀνθρώποις, Σωτὴρ ἡμῶν δόξα σοι. Στίχ. Ὑψοῦτε.

Ὁ Ὑψωθεὶς ἐν τῷ σαυρῷ ἑκουσίως, τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ, τοὺς οἰκτιρμούς σου δώρησαι Χριστὲ ὁ Θεὸς, εὔφρανον ἐν τῇ δυνάμει σου τοὺς πιστοὺς Βασιλεῖς ἡμῶν, νίκας χορηγῶν αὐτοῖς κατὰ τῶν πολεμίων, τὴν συμμαχίαν ἔχοιεν τὴν σὴν ὅπλον εἰρήνης ἀήττητον τρόπαιον. Στίχ. Θαυμαστός.

Τῶν ἐν ὅλῳ τῷ κόσμῳ Μαρτύρων σου, ὡς πορφύραν καὶ βύσσον τὰ αἵματα ἡ ἐκκλησία σου στολισαμένη, δι' αὐτῶν βοᾷ σοι Χριστὲ ὁ Θεὸς, τῷ λαῷ σου τοὺς οἰκτιρμούς σου κατάπεμψον, καὶ εἰρήνην τῇ πολιτείᾳ σου δώρησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.
Στίχ. Μακάριοι. Νεκρώσιμον. Θεοτ.

Ἐπὶ σαυροῦ σε δυνατὲ κρεμασθέντα, κατανοοῦσα ἡ Ἀμνὰς καὶ Παρθένος, ὀδυρομένη ἔλεγε δακρύουσα, τίς σου ἡ ἀπόρρητος συγκατάβασις Λόγε; πῶς σε νῦν κατέκρινεν ὁ κατάκριτος δῆμος; τὸν πάντας κρῖναι μέλλοντα Θεόν· ὑμνολογῶ σου τὸ ἄφατον ἔλεος.

Τῇ δ'. καὶ τῇ ς'. πρωΐ, Τριῴδ. σαυροαναστάσιμον.
Ὠδὴ α'., ἦχος δ'. Θαλάσσης τὸ ἐρυθραῖον.

Ὁ τέ-

Ὁ Τείνας τὸν οὐρανόν, ἐξέτεινας ἐπὶ σταυροῦ Ἰησοῦ· τὰς σὰς παλάμας, ἔθνη τὰ μακρὰν ἀπὸ σοῦ χρηματίσαντα, ὡς ἀγαθὸς καὶ εὔσπλαγχνος, περιφανῶς ἀγκαλιζόμενος.

Σταυρῷ με τῷ σῷ Χριστέ μου τείχισον, ὅπως μὴ γένωμαι θήραμα λύκου, Λόγε τοῦ ἐμὴν ἐκζητοῦντος ἀπώλειαν, καὶ καθ' ἑκάστην λόγχας μοι, καὶ τὰς ἐνέδρας ἑτοιμάζοντος.

Ἀλύτοις δεσμοῖς ὑμεῖς ἐδήσατε τὸν πολυμήχανον, διὰ Χριστὸν δεσμούμενοι σοφοί, τὸν δεθέντα θελήματι, καὶ πᾶσαν πλάνην λύσαντα, ὅθεν ἀξίως μακαρίζεσθε.

Θεοτοκίον.

Παρθένος μετὰ τὸν τόκον ἄφθορος, διαμεμένηκας· τὸν ὑψωθέντα Ἄχραντε σταυρῷ, ὑπὲρ λόγον κυήσασα, ὅθεν πιστοί σε ἅπαντες μεγαλοφώνως μακαρίζομεν.

Ὠδὴ η΄. Χεῖρας ἐκπετάσας.

Ἥπλωσας παλάμας ἐν σταυρῷ, χειρὸς ἁμάρτημα ἀκρατοῦς Δέσποτα θέλων ἰάσασθαι, ἥλοις δὲ προσηλώθης, ἅπαν νόσημα τοῦ πρωτοπλάστου ἐξελὼν ἐμπαθὲς Κύριε, μελῳδοῦντος, πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Ῥήγνυται χειρόγραφον τῆς σῆς νυγείσης θείας πλευρᾶς, τοῦ πρωτοπλάστου Ἀδάμ, ῥανίσιν αἵματος Δέσποτα ἁγιάζεται ἡ σύμπασα, εὐχαριστίας ἐν φωναῖς ἀεὶ κραυγάζουσα, εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἀνύ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Α Νύσταϰτον φέροντες πυρσὸν τῆς προαιρέσεως, σκότει κολάσεων οὐ παρετράπητε Μάρτυρες, ἀλλ' εὐθέως δυναμούμενοι, ἐπανεδράμετε πρὸς φῶς βοῶντες ἄδυτον, εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον. Θεοτοκίον.

Ν Εκρούμενον βλέπουσα Χριστὸν, καὶ τὸν νεκρώσαντα βροτοὺς νεκροῦντα ἐχθρὸν ἡ πολυύμνητος Δέσποινα, ὡς Δεσπότην ὕμνει κράζουσα, οἴμοι πῶς πάσχεις Υἱὲ, θέλων λυτρώσασθαι τῶν ἀνθρώπων ἅπαν τὸ γένος, ὡς μόνος φιλάνθρωπος.

Ὠδὴ θʹ. Λίθος ἀχειρότμητος ὄρους.

Ι Δοὺ ἡ ζωὴ κρεμαμένη ἐπὶ σταυροῦ πᾶσιν ὤφθη, ἥλιος δὲ τοῦτο μὴ φέρων, ἀκτῖνας παύει καὶ γῆ σαλεύεται, καὶ λογισμοὶ στηρίζονται, ἐπ' εὐσεβείᾳ καὶ σεμνότητι.

Ω Πῶς σὲ ὁ ἄνομος δῆμος, τὸν Νομοδότην κατακρίνει ξύλῳ Ἰησοῦ μου τεθνάναι; ζωὴν τῶν ὅλων ὄντα καὶ Κύριον, καὶ διὰ πάθους ἅπασι βροτοῖς παρέχοντα ἀπάθειαν.

Η Μεροφαεῖς ὡς ἀστέρες, πᾶσαν τὴν κτίσιν φρυκτωρεῖτε ἄθλων ἱερῶν ἀναλάμψει, καὶ ἰαμάτων θείαις λαμπρότησι, καὶ τῶν παθῶν σκεδάζετε νύκτα βαθεῖαν, θεῖοι Μάρτυρες. Θεοτοκίον.

Φ Ωτισον Ἁγνὴ τὴν ψυχήν μου, τῇ ἁμαρτίᾳ σκοτισθεῖσαν, λῦσον τῶν κακῶν μου τὰ νέφη, φωτὸς νεφέλη, ἡ σκοτιζόμενον ἥλιον πάλαι βλέψασα, ἐν τῷ σταυροῦσθαι τὸν ἀθάνατον.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

## ΤΗ Ε'. ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν στιχολογίαν, Καθίσματα Ἀποστολικά.

ἦχ. πλ. β'.

ΤΩν Ἀποστόλων σου ἡ μνήμη Κύριε, ἀνεδείχθη ὡς παράδεισος ὁ ἐν Ἐδέμ. Ἐν αὐτῇ γὰρ ἀγάλλεται ἡ οἰκουμένη, διὸ δίδου ἡμῖν ταῖς αὐτῶν ἱκεσίαις εἰρήνην, καὶ τὸ μέγα ἔλεος. στίχ. Εἰς πᾶσαν.

Ἡ Δωδεκὰς τῶν Ἀποστόλων Κύριε, δωδεκάπυρσος ὡς ἥλιος ὤφθη τῇ γῇ. Δι' αὐτῶν γὰρ ἐμάρανας πλάνης τὴν βλάβην, δι' αὐτῶν καταυγάζεις ψυχὰς τῶν σῶν δούλων, δι' ὧν καὶ ἡμᾶς σῶσον Εὔσπλαγχνε. στίχ. Θαυμαστὸς.

ΤΩν ἀθλοφόρων σου ἡ μνήμη Κύριε, ἀνεδείχθη ὡς παράδεισος ὁ ἐν Ἐδέμ. Ἐν αὐτῇ γὰρ ἀγάλλεται πᾶσα ἡ κτίσις, διὸ παράσχου ἡμῖν τῇ αὐτῶν παρακλήσει εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

στίχ. Μακάριοι. Νεκρώσ. καὶ Θεοτοκίον.

ἘΝ τῷ ναῷ ἑστῶτες τῆς δόξης σου, ἐν οὐρανῷ ἑστάναι νομίζομεν Θεοτόκε, πύλη ἐπουράνιε ἄνοιξον ἡμῖν τὴν θύραν τοῦ ἐλέους σου.

Τῇ ε'. πρωΐ, Τριῴδ. τῶν Ἀποστόλ.

Ὠδὴ α'. ἦχ. πλ. β'. Ὡς ἐν ἠπείρῳ.

ΦΩς πεφυκότες τοῦ κόσμου φωτιστικαῖς θεηγόροι λάμψεσι, καταυγάσατε ἡμᾶς, καὶ παθῶν λυτρώσασθε νυκτὸς, καὶ ὁμίχλης πειρασμῶν θεομακάριστοι.

Ἀρχον-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἄρχοντας γῆν ἐπὶ πᾶσαν, Πνεῦμα ὑμᾶς τὸ σεπτὸν κατέστησε, τοῦ Κυρίου μαθηταί. Τοῦ ἀέρος ἄρχοντας διὸ ἐτροπώσασθε, πιστοὺς ἐκλυτρωσάμενοι.

Ἐκ τοῦ πυρὸς τοῦ αὔλου, ὡς φωταυγεῖς ἀναφθέντες ἄνθρακες τὰ ὑλώδη μου σοφοί, πάθη καταφλέξατε, πρὸς φῶς ἀπαθείας καὶ ζωῆς καθοδηγοῦντές με. Θεοτοκίον.

Τῶν Ἀποστόλων πρεσβείαις, καὶ Προφητῶν, καὶ Μαρτύρων Κύριε, Ἰησοῦ παμβασιλεῦ, καὶ τῆς κυησάσης σε ἁγνῆς, κατοικτείρησον λαὸν ἡμαρτηκότα σοι.

Ὠδὴ η΄. Ἐκ φλογὸς τοῖς ὁσίοις.

Χερσωθείσας καρδίας κατενεώσατε, τῷ ἀρότρῳ τοῦ λόγου ἐγκατασπείραντες δόγμα τὸ σεπτὸν, στάχυν ἑκατοστεύοντα, τοὺς διασωθέντας ἐδρέψασθε Θεόπται.

Πρεσβειῶν τῇ δρεπάνῃ ἐπικαθάρατε, τὰ ζιζάνια πάντα τῆς διανοίας μου, θεῖοι γεωργοὶ, τοῦ Σωτῆρος Ἀπόστολοι, ὅπως σωτηρίας καρποφορήσω στάχυν.

Τοῦ ἐχθροῦ τὴν κακίαν κατακοιμήσαντες, ἐκοιμήθητε ὕπνον δικαίοις πρέποντα, ἄγρυπνοι ἡμῶν πρεσβευταὶ χρηματίσαντες, Μαθηταὶ τοῦ Λόγου εἰς πάντας τοὺς αἰῶνας. Θεοτοκίον.

Τοῦ πυρὸς τοῦ ἀσβέστου ῥῦσαί με Κύριε, Προφητῶν καὶ Μαρτύρων, καὶ Ἀποστόλων σου, καὶ τῆς ἐν γαστρὶ χωρησάσης ἀῤῥήτως σε, Κόρης ἀπειράνδρου· πρεσβείαις τοῦ προσδεκτοῖς.

Ὠδὴ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὠδὴ θ'. Θεὸν ἀνθρώποις.

ΘΕὸν ἀνθρώποις προσομιλήσαντα, καὶ τὸ θνητὸν ἑνώσει ἀσυγχύτῳ θεώσαντα, εἰς τὸν σύμπαντα κόσμον κηρύξαντες· πάντας ἀθέου πλάνης, ἠλευθερώσατε, ὅθεν μακαρίζεσθε ἀεὶ θεῖοι Ἀπόστολοι.

ΧΡιστοῦ τὸ πάθος ἐξεικονίζοντες, διὰ παθῶν τοῦ σώματος ποικίλων Ἀπόστολοι· τῆς σαρκός μου τὰ πάθη νεκρώσατε, καὶ τὴν ἐξασθενοῦσαν, καὶ κινδυνεύουσαν, καὶ νενεκρωμένην μου ψυχὴν ζωοποιήσατε.

ΟΔὸς γενοῦ μοι καθοδηγοῦσά με πρὸς ἀπλανῆ, ὁδὸν τῶν ἐντολῶν σου φιλάνθρωπε, ἁμαρτίαις πεσόντι εἰς βάραθρα, καὶ περιπλανωμένῳ, καὶ ἀποκλίναντι, ἐπὶ τὰς ὁδοὺς τὰς πονηράς, καὶ κινδυνεύοντι.

Θεοτοκίον.

ΧΟροὶ Ἀγγέλων καὶ Ἀρχαγγέλων τε, Ἐξουσιῶν, Δυνάμεις καὶ Ἀρχαὶ Κυριότητες, Χερουβὶμ καὶ Σεραφὶμ καὶ Θρόνοι Χριστὲ, δῆμος τῶν Ἀποστόλων, σὺν τῇ Τεκούσῃ σε, μόνε δυσωποῦσι Βασιλεῦ, σῶσον τοὺς δούλους σου.

## ΤΩ ΣΑΒΒΑΤΟΥ ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὸ κάθ. τοῦ ἁγίου, στίχος, Τοῖς ἁγίοις.

Καθίσματα Μαρτυρικά. Ἦχος, πλ. δ'.

ΦΩστῆρες νοεροὶ ἀνεδείχθητε ἅγιοι Μάρτυρες τὴν γὰρ ἀχλὺν τῆς πλάνης κατηργήσατε διὰ τῆς πίστεως, τὰς ψυχικὰς ὑμῶν λαμπάδας ἐφαιδρύνατε, καὶ τῷ Νυμφίῳ μετὰ δόξης συνεισήλθετε, εἰς τὸν οὐράνιον

νυμφῶ-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

νύμφευτε, καὶ νῦν ἱκετεύσατε σωθῆναι δεόμεθα τὰς ψυχὰς ἡμῶν. Στίχ. Θαυμαστὸς.

Προφῆται, Μάρτυρες Χριστοῦ, καὶ Ἱεράρχαι, οἱ τὸν ἀγῶνα τὸν καλὸν εὐσεβοφρόνως, καὶ νομίμως τελέσαντες, καὶ ἀπειληφότες στεφάνους ἀμαραντίνους παρὰ Θεοῦ, ἀπαύστως ἐκδυσωπεῖτε ὑπὲρ ἡμῶν, τὴν αὐτοῦ ἀγαθότητα, ὅπως δωρήσηται ἡμῖν πταισμάτων τὴν συγχώρησιν, ὡς Θεὸς εὐδιάλλακτος.

Στίχ. Μακάριοι, οὓς ἐξελ. Νεκρώσιμον.

Τοὺς μεταστάντας εὐσεβῶς ἐκ τῶν προσκαίρων, ἐν ταῖς σκηναῖς τῶν ἐκλεκτῶν, μετὰ δικαίων συναρίθμησον Δέσποτα, τούτους ἀναπαύων ἐν τόποις ἑορταζόντων, καὶ ἐν τρυφῇ ἀλήκτῳ τοῦ παραδείσου ὡς ἀγαθός. Τὰ ἑκούσια πταίσματα, καὶ τὰ ἀκούσια αὐτῶν, δι' ἄκραν ἀγαθότητα, συγχωρήσας φιλάνθρωπε. Θ΄.

Σὲ καὶ τεῖχος καὶ λιμένα ἔχομεν, καὶ πρέσβιν εὐπρόσδεκτον, πρὸς ὃν ἔτεκες Θεὸν, Θεοτόκε Ἀνύμφευτε, τῶν πιστῶν ἡ σωτηρία.

Τῷ Σαββάτῳ πρωΐ, Τριῴδ. εἰς πάντας τοὺς ἁγίους.

Ὠδὴ α΄. Ἦχος, πλ. δ΄. Ἄσωμεν τῷ Κυρίῳ.

Τίμιοι μαργαρῖται ὤφθητε, τὸν στέφανον φαιδρύνοντες τῆς σεπτῆς ἐκκλησίας, ἀθλοφόροι Χριστοῦ γενναιότατοι.

Ἤστραψαν τῶν δογμάτων, καὶ τῶν ἀρετῶν θείαις λαμπρότησιν, οἱ σοφοὶ Ἱεράρχαι, καὶ πιστῶν τὰς καρδίας ἐφώτισαν.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσεία Τυπάλδων Ιακωβάτων

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Ο"Ταν κρίσιν δικαίαν ἔλθῃς τοῦ ποιῆσαι δικαιότατε, ἀκατάκριτε μόνε, κατακρίσεως ῥῦσαι τοὺς δούλους σου. Θεοτοκίον.

ΚΥ'ριον τεκοῦσαν γυναικῶν χορὸς σε ἐπισάμενος, σοῦ ὀπίσω Παρθένε, ἐναθλήσας αὐτῷ προσενήνεκται.

Ὠδὴ, η'. ὁ Εἱρμός. Οἱ θεορρήμονες παῖδες.

ΝΑοὺς εἰδώλων καθείλετε ἀθλοῦντες, καὶ ἑαυτοὺς τῆς Τριάδος θείους ναοὺς ἐδομήσασθε, ἀθλοφόροι Κυρίου, Ἀγγέλων σιωόμιλοι.

ΟΙ' ἱερεῖς σου Χριστὲ δικαιοσύνην ἐνδεδυμένοι ὁσίως, τοῖς ἀπ' αἰῶνος ἀγάλλονται, σοῦ τὸ κάλλος ὁρῶντες, τὸ θεῖον ζωηρότερον.

ΔΙκαιοκρίτα ἡνίκα μέλλεις κρῖναι, οὓς ἐξ ἡμῶν προσελάβου, ἀκατακρίτους σωτήρισον, παραβλέψας τὰ τούτων ἐγκλήματα Δέσποτα. Θ.

Ε'Πιφανεῖσα Παρθένε, τῆς ψυχῆς μου τὰ σκοτεινότατα νέφη, τῷ φωτισμῷ σου ἀπέλασον, ἡ τῆς δικαιοσύνης, τεκοῦσα τὸν Ἥλιον.

Ὠδὴ θ'. Σὲ τὴν Ἀπειρόγαμον.

Ι"Σταντο οἱ Μάρτυρες περὶ τῶν ἀδίκων κριτηρίων, πᾶσαν ἀδικίαν χάριτι τοῦ Χριστοῦ κατακρίναντες, καὶ τοὺς ὑπ' αὐτῆς κεκρατημένους ἐλέγχοντες, καὶ στεφάνους δικαιοσύνης κομιζόμενοι.

Ω"Φθητε ὡς οἴακες τῆς ἐκκλησίας, τὴν ὁλκάδα πᾶσαν εὐσεβῶς ἰθύναντες εἰς λιμένα Θεοῦ ἐν ζάλαις πάν-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

πάντες ἱεράρχαι, καὶ τιμημένες μακάριοι, διὰ τοῦτο ὡς κυβερνήτας ὑμᾶς σέβομεν.

Στῖφος ἱκετεύει σε τῶν προφητῶν, καὶ τῶν ὁσίων, σύλλογος γενναίων Κύριε ἀθλησάντων λαμπρότατα, καὶ διαπρεψάντων ἐν ἀσκήσει, φιλάνθρωπε, δυσωπεῖ σε, τοὺς οἰκτιρμούς σου ἡμῖν δωρήσαι.

Ἧς κατηξιώθησαν τιμῆς, καὶ δόξης αἰωνίου ἅπαντες Χριστοῦ οἱ ἅγιοι, τοὺς πιστῶς ἐκδημήσαντας τοῦ ματαίου βίου μεταχεῖν καταξίωσον, ἐλεῆμον, ταῖς ἱκεσίαις τῶν ἁγίων σου. Θεοτ.

Φέρουσα τὸ πλήρωμα τῶν ἀγαθῶν ταῖς σαῖς ἀγκάλαις, πλήρωσον ἡμῶν Παναμώμε τὰς ἐντεύξεις τῶν δούλων σου, καὶ τὰς πρὸς Θεὸν ἡμῶν πορείας κατεύθυνον, ἐναρέτως ἐνδυναμοῦσα πολιτεύεσθαι.

---

Ἐὰν ἐν ταῖς μνήμαις τῶν ἁγίων λεκτέον τὸ Τετραῴδιον τῆς Θεοτόκου, ᾄδομεν τὸ παρόν. ἦχ. πλ. δ΄.

Ὠδὴ α΄. Ἄσωμεν τῷ Κυρίῳ.

Ἄχραντε Θεοτόκε ἡ σεσαρκωμένον τὸν ἀΐδιον, καὶ ὑπέρθεον Λόγον ὑπὲρ φύσιν τεκοῦσα, ὑμνοῦμέν σε.

Βότρυν σε ζωηφόρον, ἐκ τῆς παγκοσμίου ἀποστάζοντα γλυκασμὸν σωτηρίας, ἡ παρθένος Χριστὲ ἀπεκύησε.

Γένος ἀδαμιαῖον πρὸς τὴν ὑπὲρ νοῦν μακαριότητα, διὰ σοῦ ἀνηγμένον, Θεοτόκε ἀξίως δοξάζει σε.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Ὠδὴ ή. Τὸν Βασιλέα τῶν οὐρανῶν.

ΤΩ͂ν ἐναντίων τὰς θελητικὰς, καὶ φλογώδεις καθ' ἡμῶν κατάσβεσον βολίδας, ὅπως σε ὑμνοῦμεν. Ἁγνὴ εἰς τοὺς αἰῶνας.

ΥΠερφυῶς τὸν Δημιουργὸν, καὶ Σωτῆρα Θεὸν Λόγον τέτοκας Παρθένε, ὅθεν σὲ ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

ΦΩτιστικὴν σε καὶ χρυσαυγῆ, τὸ σκηνῶσαν ἐν σοὶ φῶς ἀπρόσιτον Παρθένε ἔδειξε λαμπάδα, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Κυρίως Θεοτόκον.

ΧΑρᾶς καὶ εὐφροσύνης πλήρης σου ἡ μνήμη, τοῖς προσιοῦσιν ἰάματα βρύουσα, καὶ εὐσεβῶς Θεοτόκον σὲ καταγγέλλουσιν.

ΨΑλμοῖς σε ἀνυμνοῦμεν κεχαριτωμένη, καὶ ἀσιγήτως τὸ χαῖρέ σοι κράζομεν, σὺ γὰρ ἐπήγασας πᾶσι τὴν ἀγαλλίασιν.

ΩΡαῖος Θεοτόκε ἔφυ ὁ καρπός σου, οὐχὶ φθορᾶς τοῖς μετέχουσι πρόξενος, ἀλλὰ ζωῆς τοῖς ἐν πίστει σὲ μεγαλύνουσιν.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

# ΑΚΟΛΟΥΘΙΑΙ

Τῶν ἀνωνύμων, ψαλλομένων εἰς ἕνα, καὶ εἰς πολλοὺς, κατὰ τάξιν, Ἁγίους.

## ΑΚΟΛΟΥΘΙΑ ΕΙΣ ΕΝΑ ΑΠΟΣΤΟΛΟΝ.

Εἰς τὸν ὄρθρον, Τριῴδ. Ὠδὴ α'. ἦχος, πλ. δ'.
Ἄσωμεν τῷ Κυρίῳ.

ΛΟ'γῳ ἐνυποστάτῳ, μεμαθητευμένος ὁ ἀπόστολος, τὴν τοῦ κόσμου σοφίαν, ὡς ἀράχνης ἱστὸν διεσκέδασεν.

ΑΡ'ρητα ἐμυήθης, καὶ τῶν ἀπορρήτων κατηξίωσαι, τοῦ Χριστοῦ μυστηρίων, ὡς αὐτοῦ μαθητὴς καὶ ἀπόστολος.

ΜΕ'γας ἥλιος ὤφθης, φωτὶ τῷ μεγάλῳ ἀξιάγαστε, μεθ' ἡμῶν γενόμενος, ὁμιλήσας ἀπόστολε ἔνδοξε. Θεοτοκίον.

ΑΚραντε Θεοτόκε, ἡ σεσαρκωμένον τὸν ἀΐδιον, καὶ ὑπέρθεον Λόγον, ὑπὲρ φύσιν τεκοῦσα ὑμνοῦμέν σε.

Κάθισμα, ἦχος γ'. Θείας πίστεως.

ΘΕίου Πνεύματος τῇ φωταυγείᾳ, σκότος ἔλυσας πολυθεΐας, καὶ τῶν πιστῶν τὰς καρδίας ἐφώτισας, ἀναβοήσας σωτήρια δόγματα, ἀπόστολε πάνσοφε Χριστὸν τὸν Θεὸν ἀεὶ ἱκέτευε, εἰρήνην τῷ κόσμῳ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος. Θ.

Ὠδὴ, η'. Τὸν Βασιλέα τῶν οὐρανῶν.

ΟΜαθητής σου ὥσπερ ἀμνὸς, πρὸς τυράννους τοῦ πεθῆναι ἤγετο βοῶν σοι, σὲ ὑπερυψοῦμεν, Χριστὲ εἰς τοὺς αἰῶνας.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἐμυσταγώγησεν ἀληθῶς, τὴν Τριάδα, ἐν μιᾷ θεότητι ὑμνεῖσθαι, καὶ ὑπερυψοῦσθαι αὐτὴν εἰς τοὺς αἰῶνας.

Ὁ Συναΐδιος τῷ Πατρὶ Θεὸς Λόγος, φίλον σε καὶ κήρυκα, καὶ μύστην ἔδειξε τῆς θείας αὐτοῦ οἰκονομίας. Θεοτοκίον.

Ὑπερφυῶς τὸν Δημιουργὸν, καὶ Σωτῆρα Θεὸν Λόγον τέτοκας Παρθένε, ὅθεν σε ὑμνοῦμεν, εἰς πάντας τοὺς αἰῶνας. Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

Καθεῖλε τῇ φωσφόρῳ, ῥώμῃ τῆς Τριάδος, τὸ τῆς ζοφώδους ἀπάτης ὀχύρωμα, ὁ εὐκλεὴς τοῦ Σωτῆρος Χριστοῦ ἀπόστολος.

Συνήφθης ἀποστόλων, μάκαρ καὶ μαρτύρων, καὶ ἀσωμάτων χορείαις γηθόμενος, μεθ᾽ ὧν δυσώπει σωθῆναι τοὺς σὲ γεραίροντας.

Συνήγαγες τὰ ἔθνη, τὰ ἐσκορπισμένα, δι᾽ ἀποστόλων καὶ θείων μαρτύρων Χριστὲ, καὶ τὴν βεβαίαν ἐκκλησίαν σαυτῷ ἐνίδρυσας. Θεοτοκίον.

Ὡραῖος Θεοτόκε, ἔφυ ὁ καρπός σου, οὐχὶ φθορᾶς τοῖς μετέχουσι πρόξενος, ἀλλὰ ζωῆς τοῖς ἐν πίστει σὲ μεγαλύνουσιν.

Ἀκολουθία εἰς πολλοὺς ἀποστόλ.

Τριῴδ. ἦχ. δ΄. Ὠδ. α΄. Ἀνοίξω τὸ στόμα μου.

Χωρείαν τῶν ἀποστόλων μέλπειν μοι προθυμουμένῳ Χριστὲ, ταῖς ἱκεσίαις τούτων ὡς Θεὸς, τὴν ἀκτῖνα τοῦ Πνεύματος, τοῦ παναγίου δώρησαι, καὶ τὴν λαμπάδα τῆς σοφίας σου.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσεία Τυπάλδων Ιακωβάτων

ΡΩσθέντες ῥώμῃ τῇ σῇ καὶ χάριτι, Χριστὲ τὴν δύναμιν τῶν ἐναντίων ἔθραυσαν ἐχθρῶν, οἱ σεπτοί σου ἀπόστολοι, θεοειδεῖς γενόμενοι, ταῖς ἀνενδότοις πρὸς σὲ νεύσεσιν.

ΙΆσεις ἐπιτελοῦντες Δέσποτα, τῷ σῷ ὀνόματι, τὰ τῶν ἐθνῶν συστήματα τῇ σῇ ἐπιγνώσει ἐζώγρησαν οἱ εὐκλεεῖς ἀπόστολοι, καὶ τῷ φωτί σου κατελάμπρυναν. Θεοτοκίον.

ΤΟ γένος τῇ ὑπὲρ νοῦν κυήσει σου ἐλευθερώσασα, ἐκ τῆς ἀρᾶς ἡ μόνη τῶν βροτῶν, σαρκικοῖς ἀποπτήμασι, δεδουλωμένον πάναγνε, ταῖς ἱκεσίαις ἐλευθέρωσον. Καθ. ἦχ. πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

ΤΗ σαγήνῃ τῶν λόγων τῶν θεϊκῶν, τοὺς ἰχθύας ζωγροῦντες τοὺς λογικοὺς, τούτους προσηγάγετε ἀπαρχὴν τῷ Θεῷ ἡμῶν, καὶ τοῦ Χριστοῦ τὰ στίγματα ποθοῦντες ἐνδύσασθαι, μιμηταὶ τοῦ πάθους αὐτοῦ πεφανέρωσθε. ὅθεν συνελθόντες, κατ᾽ ἀξίαν τιμῶμεν ἀπόστολοι ἔνδοξοι, τὴν πανέορτον μνήμην ὑμῶν, καὶ συμφώνως βοῶμεν ὑμῖν, πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν μνήμην ὑμῶν. Θεοτόκ.

Ὠδὴ η'. Χεῖρας ἐκπετάσας.

ΟΘεῖος καὶ πάνσοφος χορὸς τῶν ἀποστόλων Χριστοῦ, πυρὶ τοῦ Πνεύματος, ὡς ὕλην εὐπρησον ἔφλεξε τῶν δαιμόνων τὰ σεβάσματα, καὶ τὰς καρδίας τῶν πιστῶν, ἐφωταγώγησε, τῶν βοώντων, πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ΣΥμφώνως τοὺς θείους μαθητὰς, καὶ ἀποστόλους Χριστοῦ, τοὺς τὰ οὐράνια ἡμῖν βροντήσαντας δόγματα, τοὺς λειμῶνας τοὺς τῆς πίστεως, τοὺς εὐεργέτας τοὺς κοινοὺς τῆς ἀνθρωπότητος, τοῦ Σωτῆρος τοὺς ὑπηρέτας ἐν ὕμνοις τιμήσωμεν.

ΤΑ πάνσεπτα καὶ χωρητικὰ δοχεῖα τῆς ἀρετῆς, τὰς τῶν βροτῶν ἀπαρχάς, τὰς τοῦ κηρύγματος σάλπιγγας, τοὺς χειμάῤῥους τῆς ἀφθάρτου ζωῆς, τὰς θεοφόρους ἀστραπάς, τὰς ἰαμάτων πηγάς, τοὺς ὡραίους πόδας τοῦ εὐαγγελίου τιμήσωμεν. Θεοτ.

Ο Πλήρης κενοῦται δι' ἡμᾶς, ἵνα πληρώσεως αὐτοῦ μετάσχωμεν, τὴν γὰρ πανάχραντον μήτραν σου Θεὸς Λόγος ὁ ἀπερίληπτος, τῶν πατρικῶν οὐκ ἀποστὰς κόλπων κατῴκησεν, ὅθεν πάντες σὲ εὐλογοῦμεν Μαρία Θεόνυμφε. Ὠδὴ θ'. Λίθος ἀχειρότμητος.

ΛΥ'ειν τὰ δεσμὰ τῶν πταισμάτων τὴν ἐξουσίαν εἰληφότες, παρὰ τοῦ Δεσπότου θεόπται, τὰς ἁμαρτίας τῶν ἀνυμνούντων ὑμᾶς, συμπαθῶς ἐξαλείψαντες, τῆς σωτηρίας ἀξιώσατε.

Ο'Λην τὴν τοῦ Πνεύματος αἴγλην, οὐσιωδῶς ὑμῖν φανεῖσαν, πάντες ὑπεδέξασθε σοφοί, ἐν ταύτῃ φωτὶ μυσταγωγούμενοι τὰ ὑψηλὰ διδάγματα, καὶ νῦν ἀξίως μακαρίζεσθε.

ΥΜῖν ὁ Χριστὸς νῦν τοῖς φίλοις, ἀναπαυσαμένοις βραβεύει τοὺς ἀμαραντίνους στεφάνους, καὶ θεωρίας ἐμπίπλησιν, ὅνπερ νῦν δυσωπήσατε, τὰς ἐκκλησίας διασώζεσθαι.

Θεο-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Θεοτοκίον.

ΣΑρκὶ ἐπιδημῆσαι θελήσας, ὁ διακοσμήσας πάντα λόγῳ, ἐν σοὶ κατεσκήνωσε, μόνην ἁγιωτέραν πάντων εὑράμενος, καὶ Θεοτόκον ἔδειξεν, ἐπ' ἀληθείας Μητροπάρθενε.

Ἀκολουθία εἰς ἕνα προφήτην.

Εἰς τὸν ὄρθρον, Τριῴδ. Ὠδὴ αʹ. ἦχος πλ. βʹ.

Ὡς ἐν ἠπείρῳ πεζεύσας.

ΣΕ' δυσωποῦμεν προφῆτα, τῷ τοῦ Θεοῦ παρεστῶτα βήματι, ἱκετεύειν ἐκτενῶς φωτισμὸν δωρήσασθαι ἡμῖν, τοῖς ἐν πίστει τὴν σεπτὴν ὑμνοῦσι μνήμην σου.

ΟΡγανον θεῖον ἐδείχθης χωρητικὸν, τῶν τοῦ θείου Πνεύματος, φωτισμῶν καὶ δωρεῶν ἀπολαύσας πάνσοφε, διὸ γεγηθότες οἱ πιστοὶ, σὲ μακαρίζομεν.

Θεοτοκίον.

ΦΑεινοτάταις ἀκτῖσι πᾶσαν τὴν γῆν, ὁ ἐκλάμψας Ἥλιος, ἐξ ἁγίας σου γαστρὸς καταυγάζει Δέσποινα, δι' ὧν, φωτισθέντες σὲ Θεοῦ Μητέρα σέβομεν.

Κάθισμα. ἦχ. αʹ. Τὸν τάφον σου Σωτὴρ.

ΠΡοφήτης ὁ σεπτὸς ἐπιλάμψεσι θείαις, τοῦ νοῦν φωτοειδῆ κεκτημένος θεωρίζει, τὰ μέλλοντα Πνεύματι παναγίῳ φθεγγόμενος. τοῦτον σήμερον εὐσεβοφρόνως τιμῶντες, ἐκτελέσωμεν τὴν ἱερὰν αὐτοῦ μνήμην, καρδίας εὐθύτητι. Θεοτοκ.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὠδὴ η'. Ἐκ φλογὸς τοῖς ὁσίοις.

Ἀνακείμενος ὅλος τῷ παντοκράτορι, τῇ προνοίας τοὺς τρόπους μεμυσταγώγησαι, οἰκονομικῶς, ἔθνη πάντα παιδεύοντα, ὅθεν σὲ ὑμνοῦμεν προφῆτα θεηγόρε.

Ἱκετήριον ὕμνον Θεῷ προσάγαγε, ὑπὲρ τῶν σὲ ὑμνούντων, θεομακάριστε, καὶ τῶν πειρασμῶν ἡμῶν λῦσον τὸν τάραχον, ἵνα σε ὑμνοῦμεν, εἰς πάντας τοὺς αἰῶνας. Θεοτοκίον.

Ζωοδότην τεκοῦσα Θεὸν καὶ Κύριον, τοῦ θανάτου τὴν ῥύμην, ἔστησας πάναγνε, σὺ τῇ ἀκατασχέτως πάντας νεκρώσασαν, ὅθεν σε ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας. Ὠδὴ θ'. Θεὸν, ἀνθρώποις.

Ἐν γῇ πραέων σὺ κατεσκήνωσας, ἔνθα πολλῶν, ἀγγέλων ἐποπτεύεις λαμπρότητας, ὦ προφῆτα πάνσοφε θεράπον Χριστοῦ, πρᾶος γεγονημένος λάμπων τῇ χάριτι, ὅθεν γεγηθότες οἱ πιστοὶ σὲ μακαρίζομεν.

Τῶν σῶν προρρήσεων πανασίδιμε, περιφανῶς, ὁρῶντες γενομένην τὴν ἔκβασιν, τὴν δοθεῖσάν σοι χάριν θαυμάζομεν, καὶ τὴν τῆς διανοίας σου καθαρότητα, καὶ τὸ τῆς ψυχῆς θεοειδὲς καταπληττόμεθα. Θεοτ.

Ὡς σὺ οὐδέποτε κεχαρίτωται ἐκ γενεῶν, ἀρχαίων Θεομῆτορ παναμώμε, σὺ γὰρ μόνη τὴν πασῶν ἀσύγκριτον ἔχεις ἁγιωσύνην, καὶ καθαρότητα ὅθεν ὑπεδέξω τὸν Θεὸν ἐν σοὶ σαρκούμενον.

Ἀκο-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἀκολουθία εἰς δύο, καὶ πολλοὺς προφήτας.

Εἰς τὸν ὄρθρον, Τριῴδ. Ὠδὴ α΄. ἦχος, πλ. α΄.

Ἵππον καὶ ἀναβάτην.

Χάριν μοι δωρηθῆναι τοῦ θείου Πνεύματος, τὴν σεπτὴν ὑμῶν μνήμην ὑμνοῦντι τὸν παναίτιον, Χριστὸν ἱκετεύσατε, καὶ πταισμάτων ἄφεσιν ὡς προφῆται τῆς θείας χάριτος.

Ὄργανα θεοπνεύστων λογίων ἠχητικὰ, καὶ ἔσοπτρα τῆς θείας μαρμαρυγῆς τὴν ἔμφασιν ἐνθέως δεχόμενα, τοὺς προφήτας ἅπαντες τοὺς θεοφόρους ἀνυμνήσωμεν.

Ῥήματα τὰ τοῦ νόμου ἐν ὄρει τῷ τοῦ Σινᾶ, Μωϋσῆς ὁ θεόπτης παρὰ Θεοῦ δεξάμενος, τὴν ὄψιν ἐλάμπρυνε, θεοπτίας χάριτι ὁμοιούμενος ὁ θεσπέσιος.

Ὄμβρεις θεογνωσίας, τὴν θάλασσαν τῶν ἐθνῶν, τὴν τῆς πολυθείας χάριτι αἱ νεφέλαι Θεοῦ, μετ' ἤχου κατέκλυσαν, μοναρχίαν δύναμιν θεϊκῶς ἀνακηρύττοντες. Θεοτοκίον.

Σὲ ἄλπηγες θεηγόροι Μητέρα σε τοῦ Θεοῦ, ἐπ' ἐσχάτων αἰώνων γενησομένην πάναγνε, προφῆται θεσπίζουσι, μυηθέντες ἄνωθεν Θεοτόκε τὰ σὰ μυστήρια.

Κάθισμα, ἦχος, β΄.

Νῦν ὁ χορὸς τῶν προφητῶν μετὰ Μωσῆ, καὶ Ἀαρὼν εὐφροσύνῃ εὐφραίνεται σήμερον, ὅτι πέρας τῆς προφητείας ἐπαγαγὼν, λάμπει ὁ σταυρὸς, ἐν ᾧ καὶ σεσώσμεθα, ταῖς αὐτῶν ἱκεσίαις Χριστὲ ὁ Θεὸς, ἐλέησον ἡμᾶς. Θ.

Ὠδὴ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὠδὴ ή. Σοὶ τῷ παντουργῷ.

Ἔνδον τῆς τρυφῆς τοῦ παραδείσου ὄντες, προφῆται θεόληπτοι, χορείαν στήσαντες, πάντας τοὺς πίστει ὑμᾶς ἀνευφημοῦντας, ῥύσασθαι κινδύνων, Χριστὸν ἐκδυσωπεῖτε.

Ὕμνον οἱ πιστοὶ τοῖς θεηγόροις πᾶσι προφήταις προσφέρομεν, χορείαν πλέξαντες, πάντες οἱ τούτων τοῖς λόγοις στηριχθέντες, ἵνα ταῖς πρεσβείαις αὐτῶν δικαιωθῶμεν.

Σκηνὴ νοητὰ τῆς εὐωδίας πάντες, προφῆται τοῦ Πνεύματος, σαφῶς γεγένησθε, πάντα τὰ ἔθνη πρὸς γνῶσιν ὁδηγοῦντες, καὶ ὑπερυψοῦντες Χριστὸν εἰς τοὺς αἰῶνας. Θεοτοκίον.

Τὴν θεαρχικὴν σὺ τοῦ Πατρὸς ἀκτῖνα, παρθένε γεγέννηκας, σαρκὸς προσλήμματι, ὅθεν ἀπαύστως τὸ χαῖρέ σοι βοῶμεν, καὶ ὑπερυψοῦμεν ἁγνὴ εἰς τοὺς αἰῶνας.

Ὠδὴ θʹ. Ἡσαΐα χόρευε.

Ὁμοφρόνως δεῦτε νῦν, τοὺς προφήτας πάντας τοῦ Θεοῦ, θαυμάτων τοὺς τελετὰς τῶν ὑπερφυῶν, τὸ κλῆμα τὸ ἔντιμον, τὴν ἐκλογὴν, τὴν ἐξ Ἰακὼβ ὡς προκηρύξαντας, τὸν Χριστὸν ἀνευφημήσωμεν.

Χαρμονῆς προάγγελοι παγκοσμίου, κήρυκες σαφεῖς, καὶ γνώσεως φαιδροὶ, θεῖοι θησαυροὶ σοφίας γεγόνατε, πανάληθῆ στόματα, ἁγνὴ γλῶσσα τοῦ Πνεύματος τοῦ ἁγίου πανσεβάσμιοι.

Ὠ(ς)

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου -
Μουσείο Τυπάλδων Ιακωβάτων

Ω'Σ προφῆται πάνσοφοι, τὸν τῶν ὅλων Κτίστην καὶ Θεὸν, ὁρῶντες ὡς ἐφικτὸν, καὶ τῇ παρ' αὐτοῦ αἴγλῃ φωτιζόμενοι, τοὺς τὴν ὑμῶν μνήμην εὐλαβῶς πίστει γεραίροντας, ἐκ κινδύνων διασώσατε.

Θεοτοκίον.

ΣΩτηρίας πρόξενος τοῖς ἀνθρώποις, γέγονας ἁγνὴ, γεννήσασα σαρκικῶς τὸν Δημιουργὸν, Σωτῆρα καὶ Κύριον, τὸν διὰ σοῦ πᾶσιν ἱλασμὸν, τοῖς μεγαλύνουσι σὲ παρθένε παρεχόμενον.

Ἀκολουθία εἰς ἕνα μάρτυρα.

Ὠδὴ α'. Τριῴδ. ἦχ. πλ. δ'.

Ὑγρὰν διοδεύσας.

ΤΟὺν θεῖον ἀγῶνα μάρτυς Χριστοῦ διηγωνισμένος, ἠξιώθης ἐπιτυχεῖν τῆς ἐπουρανίου βασιλείας, ὑπὲρ τοῦ κόσμου πρεσβεύων ἀοίδιμε.

Η'Λλοίωσας δόγμα τυραννικὸν ἐνθέοις ἀγῶσιν, ἀλλὰ δέομαι ἀθλητὰ ταῖς σαῖς μεσιτείαις οἰκτειρόν με, πρὸς τὰ κακὰ ἀλλοιούμενον πάντοτε.

ΝΑὸς χρηματίσας τοῦ Παντουργοῦ, τοὺς ἐν τῷ τεμένει, τῷ σεπτῷ σου μάρτυς Χριστοῦ ἀνυμνολογοῦντας, ταῖς εὐχαῖς σου, κατοικητήρια δεῖξον τοῦ Πνεύματος.

Θεοτοκίον.

Ο'Πλήρης κενοῦται ἐν τῇ γαστρὶ, τῇ σῇ μὴ κενώσας τοὺς πατρῴους κόλπους ἁγνὴ, τοῦτον οὖν δυσώπει σωτηρίας καταξιῶσαι τοὺς πίστει τιμῶντάς σε.

Κά-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Κάθισμα. ἦχ. πλ. α'. Τὸν συνάναρχον.

Ἀρετῶν ταῖς ἰδέαις, καταστραπτόμενος, μάρτυς εἰς τῷ φέγγει, ὡραϊζόμενος, ὑπὲρ ἥλιον σοφὲ ἐκλάμπεις ἀδαμάντινε, καὶ φωτίζεις ἀληθῶς, τοὺς ἐκτελοῦντάς σου πιστῶς τὴν μνήμην τὴν φωτοφόρον, πανένδοξε ἀθλοφόρε, καὶ προσκυνοῦντας τὰ λείψανα. Θ.

Ὠδὴ η'. Νικηταὶ τυράννου.

Ἐν πυρὶ βασάνων ὡς χρυσὸς ἀήττητε ἐδοκιμάσθης, καὶ τῶν παθημάτων τοῦ Χριστοῦ ἐκσφράγισμα, βοῶν ἐδείχθης, εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Χειμαζόμενόν με, καὶ δελεαζόμενον, τοῦ ἀλλοτρίου ταῖς δειναῖς ἀπάταις, πρεσβείαις σου ἅγιε, βοῶντα σῶσον, εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὁ τὴν δυναστείαν πᾶσαν τοῦ ἀλάστορος ἐξαφανίσας, τῆς αὐτοῦ με ῥῦσαι ἔνδοξε κακώσεως, ἀναβοῶντα, εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας. Θεοτοκίον.

Ὑπὲρ εὐσπλαγχνίαν ἄνθρωπον γενόμενον τὸν Εὐεργέτην, ἀπορρήτως τίκτεις Θεοτόκε σώζοντα τοὺς μελῳδοῦντας, εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ἔφριξε πᾶσα ἀκοή.

Ἵνα σε θείαις ἐν φωναῖς, μακαρίζωμεν καλῶς ἐναθλήσαντα, μάρτυς ἀοίδιμε, καὶ τὰ τοῦ πλάνου κέντρα

συν-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου -
Μουσείο Τυπάλδων Ιακωβάτων

συντρίψαντα, σῶζε ἡμᾶς πολυειδῶν κινδύνων καὶ θλίψεων, καὶ περιστάσεων, τοὺς προστάτην σε καλὸν ἀπομοιρήσαντας.

ΩΣ ὄρθρος ὡς ἡμερινὸς, ἐξανέτειλας ἀστὴρ παναοίδιμε, καὶ καταφώτισας ταῖς διδαχαῖς σου πάντα τὰ πέρατα, καὶ τῶν δαιμόνων τὸ δεινὸν σκότος ἐξηφάνισας, διό με φώτισον, ῥαθυμίᾳ τὴν ψυχὴν σκοτιζόμενον.

ΣΤήριξον πάντας τοὺς πιστοὺς, ἐν τῇ σκέπῃ σου ἀεὶ καταφεύγοντας, μάρτυς ἀοίδιμε, ὅπως τοῦ βίου ταῖς περιστάσεσι, καὶ μηχαναῖς τοῦ πονηροῦ μὴ περιτρεπώμεθα, οἱ ἐτησίως σε μεγαλύνοντες ὁμοῦ καὶ δοξάζοντες. Θεοτοκίον.

ΦΡίττω σου μόνε Βασιλεῦ τὸ ἀδέκαστον ὁ τάλας κριτήριον, ἐν ᾧ με τήρησον τῇ εὐσπλαγχνίᾳ σου ἀκατάκριτον, ἐκδυσωπεῖ σε ἐκτενῶς ἡ πάναγνος Δέσποινα, ἡ ἀποῤῥήτως σε σωματώσασα Χριστὲ πολύελεε.

Ἀκολουθία εἰς δύο μάρτυρας, καὶ πολλούς.

Εἰς τὸν ὄρθρον Τριῴδ. Ὠδὴ α΄. Ἦχος β΄.

Δεῦτε λαοί.

ΔΕῦτε πιστοὶ ἅπαντες χεῖρας κροτήσωμεν, καὶ θεοφθόγγοις ᾄσμασι πανηγυρίσωμεν τῶν μαρτύρων τοὺς ἄθλους, Χριστὸν δοξολογοῦντες ὅτι δεδόξασαι.

Ὅπλον

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ΟΠλον ἡμῖν θεῖον ἐδείχθη, καὶ καύχημα, τὸ τοῦ Σωτῆρος τρόπαιον, ἡ ἀκαθαίρετος τοῦ σταυροῦ πανοπλία, δι' ἧς οἱ νικηφόροι ἐστεφανώθησαν.

ΞΙ'φος, καὶ πῦρ, βόθρον, σταυρόν τε καὶ θάνατον, τοῖς ἀοιδίμοις μάρτυσιν ἐπανετείνοντο, οἱ τοῦ θείου διῶκται, ζωὴν πρὸς τὴν ἀμείνω αὐτοὺς ἐλαύνοντες. Θεοτοκίον.

ΑΡτον ζωῆς τέτοκας τὸν ἐπουράνιον σεσαρκωμένον πάναγνε, τὸν ἐνυπόστατον τοῦ Γεννήτορος Λόγον, διό σε τῶν μαρτύρων δῆμοι δοξάζουσιν. Κάθ. ἦχ. δ΄.

ΟΙ' στρατιῶται τοῦ Χριστοῦ οἱ γενναῖοι, ἀγωνισάμενοι καλῶς, τὸν βελίαρ ὁλοτελῶς ἐβύθισαν αἱμάτων ταῖς ῥοαῖς, λίθοις γὰρ συνθλώμενοι, καὶ τεμνόμενοι ξίφει, καὶ πυρὶ καιόμενοι, καὶ εἰς ὕδωρ βληθέντες στεφανηφόροι ὤφθησαν σαφῶς, ὅθεν τιμῶνται καὶ πίστει δοξάζονται. Θεοτ.

Ὠδὴ η΄. Τὸν ἀρρήτῳ σοφίᾳ.

ΜΕμηνότων τυράννων τὴν δυσκάθεκτον κατέβαλον μανίαν, οἱ ἀθλοφόροι διαπρυσίως μελῳδοῦντες, εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

ΑΝανήψατε πλάνοι, καὶ ἐπιγνῶτε τὸν Κύριον ὄντως, πρὸς τοὺς τυράννους οἱ ἀθλοφόροι ἀνεβόων, εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον. Θεοτοκίον.

ΤΟ'ν ἐκ Πατρὸς προελθόντα, προαιώνιον καὶ ἄναρχον Θεὸν Λόγον, καὶ ἐπ' ἐσχάτων ἀνατείλαντα ἐκ τῆς παρθένου, εὐλογεῖτε ἀπαύστως τὰ ἔργα τὸν Κύριον.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὠδὴ θ'. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

Ὑλομανήσασαν πάλαι τῶν εἰδώλων τὴν πλάνην, Χριστὲ ἐν ταῖς καρδίαις τῶν βροτῶν, σὺ τῷ πυρὶ τῷ τῆς πίστεως καταφλέξας μαρτύρων, τῆς εὐσεβείας ἤθροισας χορούς, ἐπαξίως σε ὕμνοις ἀπαύστως μεγαλύνοντας.

Ῥευστὴν οἱ μάρτυρες δόξαν, καὶ τὸν ἄστατον πλοῦτον, Χριστὲ καταλιπόντες ἐπὶ γῆς, σὲ τὸ τῆς δόξης ἀπαύγασμα, ἀναφαίρετον πλοῦτον εὑρόντες, αἰωνίων ἀγαθῶν κληρονόμοι ἀξίως ἐν οὐρανοῖς ἐγένοντο.

Ὡς ἐν ἑσπέρᾳ ἡ φύσις τῶν ἀνθρώπων ἡ πάλαι τῆς πλάνης ὑποκύψασα ζυγοῖς, σοῦ ὑπὲρ φύσιν τεκούσης ἁγνὴ τὸν ἁπάντων Δεσπότην, ὃς ἐπιγείους κήρυκας σαφῶς τῆς αὐτοῦ δεσποτείας, τοὺς μάρτυρας περιβάλλεται. Θεοτοκίον.

Νύμφη καὶ Μήτηρ παρθένε, τῶν ἁγίων τοὺς δήμους τὸν σὸν καθικετεύοντας Υἱόν, δέξαι, ἡ μόνη ἐλπὶς τῶν πιστῶν, καὶ εἰρήνην τῷ κόσμῳ νίκας τῷ φιλοχρίστῳ βασιλεῖ, καὶ ἡμῖν σωτηρίαν τοῖς σὲ ὑμνοῦσι βράβευσον.

---

Ἀκολουθία, εἰς ἕνα ἱεράρχην.

Εἰς τὸν ὄρθρον, Τριῳδ. ἦχ. δ'. Ὠδὴ α'.

Ἀνοίξω τὸ στόμα μου.

Πλουτήσας θεόπνευστε, πνευματικῶς τὰ μυστήρια, ἠρεύξω μακάριε δογμάτων λόγια, δι' ὧν γέγονας



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

νας ποιμένα τῆς ἐκκλησίας, πρὸς μάνδραν οὐράνιον διαβιβάζων αὐτήν.

Πρὸς ὕψος ἀνέδραμες τῶν τῆς γραφῆς ἀναβάσεων, καὶ ταύτης κατώπτευσας νοῦ καθαρότητι, τὸ ἀμήχανον, ἀπόρθητόν τε κάλλος, δι' οὗ ἐχρημάτισας ἱεραρχίας λαμπτήρ.

Τῆς θείας ἐλλάμψεως τοῦ νοητοῦ πάτερ ἔτυχες φωτὸς, καὶ κατηύγασας τὰς διανοίας ἡμῶν, τὰς αἱρέσεις δὲ ὀρθοτόμοις ἀκτῖσι περιφέρτας, κατέφλεξας, διὰ τοῦ Πνεύματος. Θεοτοκίον.

Ὁ τόκος ἀπείρανδρος ἐν σοὶ τελεῖται πανάμωμε, ἐκ σοῦ ὁ ὑπέρθεος Λόγος προέρχεται, καὶ τηρήσας σε παρθένον μετὰ τόκον, Θεός τε καὶ ἄνθρωπος ὁρᾶται τέλειος.

Κάθισμα ἦχ. πλ. α'. Τὸν συνάναρχον.

Τὸν λειμῶνα τῶν λόγων τῶν θεοπνεύστων γραφῶν, τὸν ἡμᾶς ὁδηγοῦντα πρὸς τὴν μετάνοιαν, τὸν τοὺς ποικίλους πειρασμοὺς ὑπομείναντα ἱεράρχην τοῦ Χριστοῦ ὡς διδαχθέντες ὑπ' αὐτοῦ, τιμήσωμεν κατὰ χρέος, πρεσβεύει γὰρ τῷ Κυρίῳ ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν. Θεοτοκ.

Ὠδὴ η'. Λυτρωτὰ τοῦ παντός.

Τῷ ἐλαίῳ χρισθεὶς τῷ τοῦ Πνεύματος, ἱεράρχης Θεοῦ ἀναδέδειξαι ὡς Ἀαρὼν μακάριε, καὶ ἐδίδασκες κράζειν, πάντα τὰ ἔργα εὐλογεῖτε ὑμνεῖτε τὸν Κύριον.

Ἀπορ-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Ἀπροσίτῳ φωτὶ ἀστραπτόμενος, τὴν τῆς πλάνης ἀχλὺν ἀπεμείωσας, κἀμοῦ τὸν ζόφον σκέδασον τῶν παθῶν ἱεράρχα, ταῖς σαῖς πρεσβείαις, ἵνα χαίρων δοξάζω τὴν μνήμην σου.

Τὴν ἱερὰν σου στολὴν τῷ τοῦ λόγου τερπνῷ, θεόφαντορ πιστῶς κατεκόσμησας, καὶ δι' ἀμφοῖν ἐξέλαμψας, ἐκδιδάσκων κραυγάζειν, πάντα τὰ ἔργα εὐλογεῖτε ὑμνεῖτε τὸν Κύριον. Θεοτοκίον.

Ὡς ἐκ ζάλης παθῶν κυματούμενοι, τῷ λιμένι τῷ σῷ καταφεύγομεν, Θεοκυῆτορ ἄνασσα, καὶ βοῶμεν ἀπαύστως, πάντα τὰ ἔργα εὐλογεῖτε ὑμνεῖτε τὸν Κύριον.

Ὠδὴ θ'. Ὁ ποιήσας μοι.

Ἡ εὔσημός σου γλῶσσα ὥσπερ σάλπιγξ εὔηχος, φωνοῦσα τὸ τοῦ Λόγου μυστικὸν, διεγείρει τοὺς πιστοὺς, καὶ καθοπλίζει θεουργῶς πρὸς ἀοράτους ἐχθρούς.

Τὸ ἔνδυμα τὸ θεῖον στολισάμενος μυστικῶς, εἰσῆλθες εἰς τὴν ἄνω νυμφικῶς εὐωχίαν, καὶ χαρὰν, καὶ ἀνεκλάλητον σὺν Χριστῷ πάτερ πανόλβιε.

Ἀγάλλεται συμφώνως, καὶ σκιρτᾷ πατέρων χορὸς, εὐφραίνεται ὁμήγυρις πιστῶν, καὶ χορεύει μυστικῶς ἡ ἐκκλησία τοῦ Θεοῦ ἐπὶ τῇ μνήμῃ σου. Θεοτ.

Τὴν τιμιωτέραν σε πέλιν ἡ τεκοῦσα τὸν τοῦ Θεοῦ Ἀμνὸν, καὶ ἀρχιποίμενα Χριστὸν, ἐκ κινδύνων καὶ φθορᾶς, καὶ ἁμαρτίας παθῶν λύτρωσαι Δέσποινα.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἀκολουθία εἰς δύο ἱεράρχας, καὶ πολλούς.

Εἰς τὸν ὄρθρον Τριῴδ. ἦχος, πλ. δ'. Ὠδὴ α'.

Τῷ ἐκτινάξαντι.

Τοὺς ἀνατείλαντας ἐν τῷ κόσμῳ, τοὺς ἱεράρχας τοὺς σοφούς, τοὺς τῆς βασιλείας διαλάμποντας δόγμασιν, τιμήσωμεν οἱ πιστοὶ τοὺς ἱεράρχας τοὺς μεγάλους τοῦ Κυρίου.

Τοὺς διαπρέψαντας ἐν τῷ κόσμῳ τῆς εὐσεβείας τῷ φωτί, καὶ τῆς ἀσεβείας τὴν ἀχλὺν ἐκδιώξαντας, τιμήσωμεν οἱ πιστοὶ τοὺς ἱεράρχας τοὺς μεγάλους τοῦ Κυρίου.

Ὡς παριστάμενοι σὺν ἀγγέλοις τῷ ἀπροσίτῳ Βασιλεῖ, τοῖς ἐπιτελοῦσι τὴν ὑμῶν μνήμην ἱκετεύσατε, δοθῆναι τὸν ἱλασμὸν ἱεροκήρυκες ὄντες θεοφόροι. Θεοτόκιον.

Ὡς συλλαβοῦσα τὸν πρὸ αἰώνων ἄναρχον Λόγον τοῦ Πατρός, καὶ σαρκὶ τεκοῦσα ὑπὲρ λόγον πανύμνητε, ἱκέτευε ἐκτενῶς, τοῦ λυτρωθῆναι ἡμᾶς ἐκ τῶν κινδύνων.

Κάθισμα, ἦχ. γ'. Θείας πίστεως.

Σκεύη τίμια τῆς ἐγκρατείας, πλοῦτοι ἄσυλοι τῆς εὐσεβείας, ἀνεδείχθητε ὄντως μακάριοι, ἐν ἀπαθείᾳ τὸν βίον φαιδρύναντες, τοῖς δεομένοις τὸν πλοῦτον ἐνείματε, πατέρες ὅσιοι Χριστὸν τὸν Θεὸν αἰτήσασθε, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος. Θεοτ.

Ὠδὴ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὠδὴ η΄. Τὸν ἐν ὄρει ἁγίῳ.

ΤΟὺν Μωσέα μιμούμενοι πατέρες, ἐν τῷ ὄρει προέβητε καὶ γνόφῳ, τὸν νοητὸν τῆς χάριτος δεξάμενοι νόμον, ἱεράρχαι, ὅθεν ἀνυμνοῦμεν ὑμᾶς εἰς τοὺς αἰῶνας.

ΛΑὸν Χριστοῦ, ποιμάναντες ὁσίως, τῆς Αἰγύπτου τὴν πλάνην ἐκφυγόντες, τὴν Βαβυλῶνα τῶν παθῶν ἀπώσασθε, τὴν Σιὼν τὴν ἄνω εὑρόντες κατοικίαν, εἰς πάντας τοὺς αἰῶνας.

ΩΣ τῷ μύρῳ χρισθέντες ἱεράρχαι, τῆς ἐν λόγῳ, καὶ ἔργῳ εὐσεβείας, ἱερουργεῖτε τὰ θεῖα ἱερόφαντοι, ὅθεν τὴν Τριάδα ἐν μιᾷ οὐσίᾳ ὑμνεῖτε εἰς αἰῶνας.

Θεοτ.

ΤΟὺ ἐν μήτρᾳ οἰκήσαντα παρθένου, καὶ ἐν ταύτῃ φρικτῶς καὶ ὑπὲρ λόγον τὸν παλαιὸν Ἀδὰμ ἀνακαινίσαντα, Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Τὸν προδηλωθέντα.

ΟΙ δι᾽ ἀπαθείας καὶ πίστεως, καὶ ἐλπίδος, καὶ ἀγάπης λόγον ἡμῖν ζωῆς τῆς αἰωνίου ὑποδείξαντες σοφοὶ, ἱεράρχαι, πρεσβεύσατε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

ΕΝ τῇ βακτηρίᾳ τοῦ Πνεύματος τοῦ ἁγίου, λαὸν ὡς ποιμάναντες τῆς σεπτῆς ἐκκλησίας, καὶ διώξαντες θεομάχους αἱρέσεις, πάντες ἱεράρχαι εὐφημοῦμεν ὑμᾶς.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

ΩΣ τῆς ἐκκλησίας φωστῆρας καὶ ἱεράρχας, ἐν ψαλμοῖς καὶ ὕμνοις τιμῶμεν ἅπαντες, ἀσιγήτως τὴν σορὸν τῶν λειψάνων ὑμῶν, μακάριοι πατέρες ἀξίως μεγαλύνοντες. Θεοτ.

ΧΑῖρε τὸ ἀείζωον ῥεῖθρον τῆς ἀφθαρσίας, χαῖρε ἡ ὁλόφωτος τοῦ Ἡλίου νεφέλη, χαῖρε ὄχημα τῆς θεότητος ὅλης, χαῖρε κιβωτὲ τοῦ ἁγιάσματος.

Ἀκολουθία εἰς ἕνα ὅσιον.

Εἰς τὸν ὄρθ. Τριῳδ. ἦχος πλ. δʹ. Ὠδὴ αʹ.

Ἄσωμεν τῷ Κυρίῳ.

ΕΘελξέ σε πόθος ὁ δεσποτικὸς, καὶ τὰς τοῦ σώματος ἡδονὰς καταλείψας, ἐν Χριστῷ ἀναπαύῃ μακάριε.

ΗΡθης πάτερ πρὸς ὕψος, καὶ διαπεράσας τὸ μεσότειχον τῆς ἀκτίστου οὐσίας, καθαρῶς ἀπολαύεις μακάριε.

ΑΙγλην ἄϋλον πάτερ, ἔνδον ἐν τῇ καρδίᾳ σου δεξάμενος ἐφωτίσθης, καὶ πᾶσαν τὴν ἀχλὺν τῶν παθῶν ἐξηφάνισας. Θεοτ.

ΓΕνος ἀδαμιαῖον πρὸς τὴν πρὶν νῦν μακαριότητα, διὰ σοῦ ἀνηγμένον, Θεοτόκε ἀξίως δοξάζει σέ.

Κάθισμα ἦχ. δʹ. Κατεπλάγη Ἰωσήφ.

ΤΗν πτωχείαν Ἰησοῦ, ἐπιποθήσας εὐσεβῶς, πλοῦτον ἔλιπες φθαρτὸν, ζωὴν καὶ ῥεύσασαν σοφὲ, καὶ τὸν σταυρόν σου ἐπ᾽ ὤμων ἀράμενος, τρίβον τὴν στενὴν

χαί-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

χαίρων διελεύσας, πατῶν τὰς ἡδονὰς τὰς τοῦ σώματος, δι' ἐγκρατείας ἄγει ἁπάσης κακοπαθείας τε ἔφθασας πρὸς πλάτος θεῖον τοῦ παραδείσου πατὴρ ἡμῶν ὅσιε. Θεοτ.

'Ωδὴ η'. Τὸν Βασιλέα τῶν οὐρανῶν.

ΤΟν ἐνισχύσαντα θαυμαστῶς πρὸς ἀγῶνας ἀσκητικοὺς τὸν ὅσιον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

ΤΗ'ν τῶν ἀγγέλων ἐπὶ τῆς γῆς πολιτείαν, μετελθὼν παμμάκαρ, νῦν σὺν τούτοις ἐν ἐπουρανίοις αὐλίζῃ εἰς αἰῶνας.

ΘΙ'ασος χαίρει τῶν μοναστῶν, καὶ χορεύει τῶν ὁσίων δῆμος, καὶ δικαίων, στέφος γὰρ ἐδέξω τῆς νίκης ἐπαξίως. Θεοτ.

ΥἹΠερφυῶς τὸν Δημιουργὸν, καὶ Σωτῆρα Θεὸν Λόγον τέτοκας παρθένε, ὅθεν σὲ ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

'Ωδὴ θ'. Κυρίως Θεοτόκον.

ἩΜνήμη σου ἀξίως, ὅσιε εὐφραίνει πάντα τῆς γῆς τὰ πληρώματα σήμερον, ἣν ἐτησίως τιμῶντας ἡμᾶς περίσωζε.

ΤΟὺς πίστει ἐκτελοῦντας, ὅσιε τὴν μνήμην, τὴν ἀξιέπαινόν σου καθικέτευε, ἐκ τῶν σκανδάλων ῥυσθῆναι τοῦ πολεμήτορος.

ΤΩ' θρόνῳ τοῦ Δεσπότου, μάκαρ ὡς θεράπων, τούτου ἀεὶ παρεστάμενος ὅσιε, μὴ διαλίπῃς πρεσβεύων ὑπὲρ τῆς ποίμνης σου. Θεοτ.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ψ Αλμοῖς σε ἀνυμνοῦμεν, κεχαριτωμένη, καὶ ἀσιγήτως τὸ χαῖρέ σοι κράζομεν, σὺ γὰρ ἐπήγασας πᾶσι τὴν ἀγαλλίασιν.

Ἀκολουθία εἰς δύο ὁσίους, καὶ πολλούς.

Εἰς τὸν ὄρθρον Τετρῴδ. Ὠδὴ α'. ἦχ. β'. Δεῦτε λαοί.

Κ Ράτος ἐχθροῦ τῇ κραταιᾷ διαλύσαντες, τοῦ Παρακλήτου χάριτι θεομακάριστοι, κραταιώσατε πάντας, καὶ τῶν τυραννούντων ἐχθρῶν δεόμεθα.

Λ Ό γοις ὑμᾶς τοὺς ἐπὶ γῆς μακαρίζοντας, παθῶν ἀλόγων ῥύσασθε, ταῖς προσευχαῖς ὑμῶν παμμακάριστοι, μύσται τοῦ Λόγου τοῦ ἀνάρχου θεῖοι γενόμενοι.

Ο Λοι ὑμεῖς τῷ Ποιητῇ ἀνατέθεισθε, ὅλον ψυχῆς τὸν ἔρωτα κατασκηνώσατε εἰς αὐτὸν, διὰ τοῦτο τοῦ Πνεύματος τὴν χάριν ὅλην ἐδέξασθε. Θεοτ.

Σ Ωματικῶς ἀποτεκοῦσα τὸν ἄσαρκον, Θεογεννήτορ πάναγνε, τῶν σαρκικῶν ἡμᾶς ψυχικῶν τε κηλίδων, ἀπόπλυνον, ῥανίσι θείας πρεσβείας σου.

Κάθισμα ἦχ. δ'. Ἐπεφάνης σήμερον.

Λ Αμπρυνθέντες χάριτι, καὶ ἀληθείᾳ, τὰ τῆς γῆς πληρώματα φωταγωγεῖτε εὐσεβῶς, ἀειμακάριστοι ὅσιοι, ὅθεν ἐν πίστει ὑμᾶς μακαρίζομεν. Θ.

Ὠδὴ η'. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Ο Ἱ τῶν παθῶν δημιουργοὶ, ἐν τῷ νώτῳ μου δεινῶς τὴν ἀνομίαν ἐτεκτήναντο Σῶτερ, καὶ ἀνανεῦσαι



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

πρὸς σὲ οὐκ ἐπισχύω ὁ δοῦλός σου, ταῖς τῶν σῶν ὁσίων, πρεσβείαις οἰκτείρόν με.

Ως ὑπηρέται τοῦ Χριστοῦ, ὡς διάκονοι πιστοὶ καὶ οἰκονόμοι τῶν αὐτοῦ μυστηρίων, ὡς ἀπλανεῖς ὁδηγοὶ φανέντες, πάθη θεραπεύετε ψυχῶν, καὶ σωμάτων ἡμῶν εἰς τοὺς αἰῶνας.

Υπὲρ ἡμῶν τὸν Λυτρωτὴν ἱκετεύσατε Θεόν, ὅσιοι θεῖοι, χαλεπῶν ἐκ κινδύνων, καὶ νοσημάτων πικρῶν, καὶ βλάβης ἡμᾶς ἐκλυτρωθῆναι, τοὺς ὑπερυψοῦντας αὐτὸν εἰς τοὺς αἰῶνας. Θεοτ.

Εξασθενήσασαν πολλαῖς τὴν ἀθλίαν μου ψυχὴν Θεοκυῆτορ, προσβολαῖς τοῦ Βελίαρ, ταῖς ῥωστικαῖς σου λιταῖς Παρθένε ὑγιῆ ἀπέργασαι, ἵνα σε δοξάζω εἰς πάντας τοὺς αἰῶνας.

Ωδὴ θ΄. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

Ιεροτάταις χορείαις τῶν ἁγίων ἁπάντων, συνόντες καὶ ταῖς θείαις καλλοναῖς ὡραϊζόμενοι ἅγιοι, τὸν ὡραῖον ἐν κάλλει αἰτήσατε Χριστὸν διαπαντός, ὡραιῶσαι καρδίας ἡμῶν ἐν θείᾳ χάριτι.

Ως εὐωδέστατα κρίνα νοητοῦ παραδείσου γενόμενοι, μακάριοι πατέρες, πᾶσαν ψυχὴν κατευφραίνετε ἱεραῖς εὐωδίαις, διό μου τὸ δυσῶδες τῶν παθῶν ἀπελάσατε, ῥῶσιν καὶ χάριν μοι δωρούμενοι.

Η Καταιγὶς τῶν δαιμόνων τῶν ψυχῶν τὰς ὁλκάδας, βυθίσαι οὐ κατίσχυσεν ὑμῶν, τῇ κυβερνήσει γὰρ ὅσιοι τοῦ Δεσπότου τῶν ὅλων, πρὸς ὅρμον κατην-



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

τήσατε ζωῆς, καὶ ἡμῖν σωτηρίας λιμένες ἀνεδείχθητε. Θεοτοκίον.

Φεῖσαί μου Κύριε φεῖσαι, ὅταν μέλλῃς με κρῖναι, καὶ μὴ καταδικάσῃς με εἰς πῦρ, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, δυσωπεῖ σε παρθένος ἡ σὲ κυοφορήσασα Χριστὲ, τῶν ὁσίων ὁ δῆμος καὶ τῶν μαρτύρων τὰ τάγματα.

---

Ἀκολουθία εἰς γυναῖκα μάρτυρα.

Εἰς τὸν ὄρθρον τριῴδ. ᾨδὴ α'. ἦχος δ'.

Θαλάσσης τὸ ἐρυθραῖον.

Ταῖς θείαις τῶν ἀσωμάτων τάξεσι, νῦν συγχορεύουσα περὶ τὸν πάντων αἴτιον Χριστὸν, καὶ ζαμενῶς ἀπολαύουσα θεαρχικῆς ἐλλάμψεως, τοὺς σὲ ὑμνοῦντας καταφαίδρυνον.

Τὸ θῆλυ ἀῤῥενωθὲν τῇ χάριτι, τὴν ἐπηρμένην ὀφρῦν, καὶ καυχωμένην ἄμετρα τὸ πρὶν, ἐξαλείφειν τὴν θέλουσαν, δι' ἀσθενείας σώματος, θείᾳ δυνάμει καταβέβληκε.

Σταυρῷ σε ἀναρτηθέντα Δέσποτα, κατανοήσασα ἡ ἀθληφόρος σου μάρτυς, αἰκισμῶν καρτερεῖ τὸ ἐπίπονον, δυναμουμένη σθένει σου, τοῦ τὴν ἡμῶν φύσιν νευρώσαντος. Θεοτ.

Ἀσπόρως τῷ τοῦ Πατρὸς βουλήματι, ἐκ θείου Πνεύματος τὸν τοῦ Θεοῦ συνείληφας Υἱὸν, καὶ σαρκὶ ἀπεκύησας τὸν ἐκ Πατρὸς ἀμήτορα, καὶ δι' ἡμᾶς ἐκ σοῦ ἀπάτορα.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Κάθισμα ἦχ. πλ. α´.

ΤΑ`ς βασάνους γενναίως ἡ ἀθληφόρος σου, ὑπομείνασα πάσας τὰς τῶν τυράννων Χριστὲ, κατεπάτησεν ἐχθρὸν τὸν πολυμήχανον. Καὶ ἀνεδείχθη ἀληθῶς τροπαιοφόρος κατ᾽ αὐτοῦ, καὶ στέφος εἴληφε δόξης ἐκ σοῦ τοῦ ἀγωνοθέτου, καὶ νῦν πρεσβεύει εἰς τὸ σωθῆναι ἡμᾶς. Θεοτ.

Ὠδὴ η´. Χεῖρας ἐκπετάσας.

ΩΡαία ἐν κάλλεσι τῶν σῶν στιγμάτων, γέγονας, καὶ κατηγλάϊσαι, παρθένος ἀφθόρως μένουσα, τῷ Νυμφίῳ Λόγῳ πάνσεμνε, τῷ ἐκ παρθένου δι᾽ ἡμᾶς σεσαρκωμένῳ Θεῷ, ᾧ βοῶμεν πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

ΛΥθεῖσα δεσμῶν τῶν τῆς σαρκὸς, παρθενομάρτυς σεμνὴ, ἀνέπτης χαίρουσα πρὸς φωτεινόμορφον θάλαμον, νυμφικῶς περιχορεύουσα, καὶ μαρτυρίου φοινικῷ αἵματι στάζουσα, καὶ βοῶσα πάντα τὰ ἔργα.

ΟἸκεῖς μετ᾽ ἀγγέλων ἐν φωτὶ, παρθένων τάγμασι, δήμοις μαρτύρων τε, συνεορτάζουσα πρόσωπον ἀτενίζουσα πρὸς πρόσωπον, καὶ θεωροῦσα καὶ λαμπρᾶς δόξης μετέχουσα, καὶ βοῶσα πάντα τὰ ἔργα. Θεοτ.

ΣΥ` μόνη ἐν πάσαις γυναιξὶ παρθένε ἄχραντε, Μήτηρ ἐδείχθης Θεοῦ, σὺ τῆς θεότητος γέγονας ἐνδιαίτημα, πανάμωμε, μὴ φλογισθεῖσα τῷ πυρὶ τοῦ ἀπροσίτου φωτὸς, ὅθεν πάντες σε εὐλογοῦμεν Μαρία Θεόνυμφε.

Ὠδὴ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ὠδὴ θ'. Λίθος ἀχειρότμητος.

ὩΣ περικαλλὴς, καὶ ὡραία καὶ περιδέξιος παρθένος, ὡς ἀκαταγώνιστος μάρτυς, καὶ τοῦ Δεσπότου νύμφη πανάμωμος, χρυσοειδέσι πτέρυξι, πρὸς τὰ οὐράνια κατέπαυσας.

ΣΕ τὴν νοητὴν χελιδόνα, καὶ ἀδιάφθορον τρυγόνα, καὶ περιστερὰν χρυσουμένας τῷ μαρτυρίῳ ἔχουσαν πτέρυγας, καὶ πρὸς Θεὸν πετάσασαν, καὶ καταπαύσασαν γεραίρομεν.

ΕΝδον τῆς ἀφθάρτου παστάδος κατασκηνώσασα θεόφρον, ταῖς ἐκπεμπομέναις ἀστραπαῖς τοῦ σοῦ Νυμφίου, φαιδρυνομένη ἀεὶ, ὑπὲρ ἡμῶν ἱκέτευε, τῶν εὐσεβῶς ἀνευφημούντων τε.

Θεοτ.

ΙΝα σε δοξάζω παρθένε, τὴν ἀληθῶς δεδοξασμένην, πάσης ἀδοξίας με ῥῦσαι, καὶ ἁμαρτίας, καὶ δόξης μέτοχον ἐπουρανίου ποίησον, τὸν προσφυγόντα τῷ ἐλέει σου.

Ἀκολουθία τῶν μαρτύρων γυναικῶν.

Εἰς τὸν ὄρθρον τὸ Τριῴδ. Ἰωσήφ. Ὠδὴ α'. ἦχ. δ'.

Ἀνοίξω τὸ στόμα μου.

ΤΡιάδα τὴν ἄκτιστον, ἣν εὐσεβῶς ἐκηρύξατε, ἡμῖν ἱλεώσασθε, μάρτυρες ἔνδοξοι, νῦν γεραίρουσιν, ὑμῶν τοὺς θείους ἄθλους, καὶ τὰ κατορθώματα, θεομακάριστοι.

Ῥημά-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ρ῾Ημάτων ἠλέγησαν, τοῦ δυσμενοῦς αἱ νεάνιδες, τῷ θείῳ φραττόμεναι, ὅπλῳ τῆς πίστεως, καὶ ὑπέστησαν, βασάνων ξιφισμίας, καὶ θάνατον ἄδικον, διὰ τὴν πάντων ζωήν.

Ἰσχῦϊ ῥωννύμεναι, παντοδυνάμῳ τοῦ Κτίσαντος, ἀνδρείαν ἀνέλαβον, γνώμην αἱ πάνσεμναι, καὶ τὸν δράκοντα, τὸν σκολιὸν τὸν μέγαν, ποσὶ συνεπάτησαν, καὶ κατηδάφισαν. Θεοτ.

Ὡς ἔμψυχον θάλαμον, ὡς ἀδιάφθορον σκήνωμα, ὡς πύλην οὐράνιον, ὡς θείαν τράπεζαν, ὡς παλάτιον, καὶ θρόνον τοῦ Δεσπότου, Μαρίαν τὴν ἄχραντον, ὕμνοις τιμήσωμεν.

Κάθισμα, ἦχος δ΄. Ὁ ὑψωθείς.

Ὑπὲρ Τριάδος καρτερῶς ἐναθλήσασαι, τὸν πολυμήχανον ἐχθρὸν ἐτροπώσασθε, ἀδελφικῶς συνδέμεναι τὰ πνεύματα, ὅθεν εἰσῳκίσθητε, σὺν ταῖς πέντε παρθένοις, πρὸς τὸν ἐπουράνιον, ἀθλοφόροι νυμφῶνα, καὶ σὺν ἀγγέλοις τῷ Παμβασιλεῖ ἐν εὐφροσύνῃ ἀπαύστως παρίστασθε. Θεοτ.

Ὠδὴ η΄. Λυτρωτὰ τοῦ παντός.

Στομωθεῖσαι ἀγάπῃ τοῦ Κτίσαντος, ἀπημβλύνατε κέντρα τοῦ ὄφεως, ἐν γυναικείῳ σώματι, ἀνδρικῶς διανύσασαι τοὺς ἀγῶνας, καὶ στεφάνοις ἐνθέοις κοσμούμεναι.

Συμπλακεῖσαι ἐν μέσῳ τοῦ σκάμματος, ἀοράτοις ἐχθροῖς μετὰ σώματος, τοὺς ἀσωμάτους ἔτρεψαν,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ψαν, αἱ θεόφρονες κόραι, ἀναβοῶσαι, εὐλογεῖτε τὰ ἔργα τὸν Κύριον.

Βασιλείας τῆς ἄνω ἐτύχετε, σὺν Χριστῷ Ἰησοῦ βασιλεύουσαι, πεποικιλμέναι στίγμασι, καὶ βασάνων τῷ κάλλει, ἐπιθιστμέναι, ἀξιάγαστοι κόραι νεάνιδες.

Θεοτοκίον.

Ὡς Θεοῦ ἀκηλίδωτον ἔσοπτρον, ὑπεδέξω αὐτὸν σωματούμενον, καὶ ἐν δυσὶ ταῖς φύσεσι, γνωριζόμενον Κόρη, ᾧ μελῳδοῦμεν, εὐλογεῖτε τὰ ἔργα τὸν Κύριον. Ὠδὴ θ'. Λίθος ἀχειρότμητος.

Ἰδεῖν ἐφιέμεναι κάλλος τὸ τοῦ Νυμφίου, ὁλοτρόπως, νεύσει πρὸς αὐτὸν θεοφόροι, ἀθανασίαν ἐμελετήσατε, ἐν τῷ θνητῷ τοῦ σώματος, ὅθεν ἀξίως μακαρίζεσθε.

Ὤφθητε τυράννων ἐν μέσῳ, οἷάπερ λύκων ὠμοτάτων, ἄσπιλοι ἀμνάδες, τὴν τούτων θηριωδίαν καταπαλαίουσαι, καὶ τῷ Χριστῷ εὐπρόσδεκτα, ὡς ἱερεῖα προσαγόμεναι.

Στέφος ἀνεπλέξασθε αἷμα, μὴ παλαιούμενον παρθένοι, θείας ἐπετύχετε δόξης, καὶ βασιλείαν ὄντως ἀσάλευτον, παραλαβεῖν ὡς μάρτυρες, μετὰ μαρτύρων ἠξιώθητε.

Ἧς κατηξιώθητε δόξης, ἧς ἐπετύχετε χορείας, τοὺς ἐπιτελοῦντας ἐκ πόθου ὑμῶν τὴν μνήμην, τυχεῖν πρεσβεύσατε, ὡς παῤῥησίαν ἔχουσαι, πρὸς τὸν Δεσπότην σεμνοπάρθενοι. Θεοτοκίον.

Φει-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου -
Μουσείο Τυπάλδων Ιακωβάτων

Φ Εἶσαί μου Χριστὲ, ὅταν ἔλθῃς, κρῖναι τὸν κόσμον μετὰ δόξης, λῦσον τὴν ἀχλὺν τῶν κακῶν μου, ταῖς ἱκεσίαις, τῆς κυησάσης σε, καὶ τῶν σεπτῶν μαρτύρων σου, ὡς ἀγαθὸς καὶ παντοδύναμος.

Ἀκολουθία εἰς ὁσίαν γυναῖκα.

Εἰς τὸν ὄρθρον Τριῴδ. Ὠδὴ α´. ἦχ. πλ. δ´.

Ἁρματηλάτην Φαραώ.

ΤΗς ἀκηράτου λαβομένη πάναγνε, καὶ μακαρίας ζωῆς, παρὰ τοῦ Χριστοῦ θρόνῳ σὺν ἀγγέλων τάγμασι, παριςαμένη πάντοτε, φωτισμόν μοι παράσχου, ὅπως ὑμνήσω γηθόμενος, τὴν πανένδοξον πολιτείαν σου.

ΑΠοσυγοῦσα τὰ τοῦ κόσμου πάνσεμνε, πᾶσαν ἠγάπησας ἀσκητικὴν πρᾶξιν, πρῶτον τὴν ἐγκράτειαν, εἶθ᾽ οὕτω τὴν πραότητα, καὶ τὴν σκληραγωγίαν, τὰς προσευχὰς καὶ τὰ δάκρυα, καὶ τὴν πρὸς Θεὸν ςάσιν πάννυχον.

ΤΑὶς πυριφλέκτους ἡδονὰς τοῦ σώματος, δρόσῳ κατέσβεσας, ἀσκητικῶν πόνων, ὅθεν σοι ἀνέτειλε, τῆς ἀπαθείας ἥλιος, καὶ ἰάσεων φέγγος, καὶ χαρισμάτων τοῦ Πνεύματος, ἄδυτος αὐγὴ ἀξιάγαςε.

Θεοτοκίον.

ΔΕδοξασμένα περὶ σοῦ λελάληνται, ἐν γενεαῖς γενεῶν, ἡ τὸν Θεὸν Λόγον ἐν γαςρὶ χωρήσασα, ἁγνὴ δὲ διαμείνασα Θεοτόκε Μαρία, διό σε πάντες γεραίρομεν, τὴν μετὰ Θεὸν προςασίαν ἡμῶν.

Κά-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Κάθισμα, ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ἀσκήσει ἐλάμπρυνας, τὴν ἱερὰν σου στολὴν, καὶ δῶρον προσήνεξαι, τῷ σαρκωθέντι Θεῷ, ὁσία θεόπνευστε, χάριν δὲ ἰαμάτων, δεξαμένη ποικίλων, λύεις ἀῤῥωστημάτων, τὴν ἀχλὺν μακαρία, πρεσβεύουσα σωθῆναι, ἡμᾶς τοὺς εὐφημοῦντάς σε. Θεοτ.

Ὠδὴ η'. Ἑπταπλασίως κάμινον.

ΔΙ' ἐγκρατείας ἔνδοξε, σεαυτὴν ἐκκαθάρασα, τὰς μαρμαρυγὰς ἐδέξω τὰς τοῦ Πνεύματος, Θεοῦ σε δοξάσαντος, ἐν γῇ καὶ μεγαλύνοντος, τοῦ προσδεξαμένου τοὺς σεπτούς σου καμάτους, πρὸς ὃν καὶ ἀνεβόας, ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

ΤΗν ψυχικὴν λαμπάδα σου, ἐν ἐλαίῳ φαιδρύνουσα, θείας ἀπαθείας εἰς νυμφῶνα ἔφθασας, οὐράνιον ἔνδοξε, καὶ τῷ Νυμφίῳ Λόγῳ Χριστῷ, ἅμα ταῖς φρονίμοις συναγάλλῃ παρθένοις, βοῶσα μακαρία, ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἀσκητικῶς πανένδοξε, τὸν Θεὸν θεραπεύσασα, πάντων τῶν παθῶν τοὺς πυριφλέκτους ἄνθρακας, τελείως ἀπέσβεσας, τοῖς ῥείθροις τῶν δακρύων σου, ὅθεν δυσωπῶ σε τῶν παθῶν μου τὴν φλόγα, μαρᾶναι ταῖς εὐχαῖς σου, ἵνα πίστει καὶ πόθῳ, δοξάζω σου ὁσία, τὴν μνήμην εἰς αἰῶνας. Θεοτόκιον.

Θεογεν-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Θ Εογεννῆτορ πάναγνε, τῆς ψυχῆς μου τὰ τραύματα, καὶ τῆς ἁμαρτίας τὰς οὐλὰς ἐξάλειψον, Θεὸν ἡ κυήσασα, τὸν ἐπὶ πάντων Κόρη ἁγνὴ, ὅθεν Θεοτόκον οἱ πιστοί σε κυρίως, δοξάζομεν βοῶντες, ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας...

Ὠδὴ θ'. Ἔφριξε πᾶσα ἀκοή.

Ι Δέσθαι κάλλος νοητὸν, τοῦ Νυμφίου καθαρῶς ἐπεπόθησας, ὃς ποῦ κοιτάζεις αὐτῷ, ποῦ δὲ ποιμαίνεις, σεμνὴ ἐκραύγαζες, ἐπαναπαύσομαι ἐν σοὶ, καὶ σοῦ τῆς χρηστότητος κατατρυφήσομαι, μεγαλύνουσα τὴν σὴν ἀγαθότητα.

Σ Ύνεσιν ἔσχες ἐν ψυχῇ, καὶ ταπείνωσιν καὶ θείαν πραότητα, πίστιν ἀνόθευτον, καὶ τὴν ἐλπίδα, ἀγάπην ἔνθεον, ἐν ὁλονύκτοις προσευχαῖς, Θεῷ προσεδρεύουσα, καὶ ταῖς ἐκεῖθεν αὐγαῖς, μακαρία λαμπομένη φαιδρότησιν.

Η Δέωθη σοι πύλη οὐρανοῦ, ἠνεῴχθη μακαρία πανένδοξε, καὶ εἰσελήλυθας, ἀγγέλων θείων, δορυφορούντων σε, καὶ κατεσκήνωσας φαιδρῶς, ἔνθα τὸ πολίτευμα, ἁγίων ὑπῆρχε σεμνὴ, μετὰ πάντων τὸν Σωτῆρα δοξάζουσα.

Φ Εῖσαι μου Σῶτερ ὁ τεχθεὶς, καὶ φυλάξας τὴν τεκοῦσάν σε ἄφθορον, μετὰ τὴν κύησιν, ὅταν καθίσῃς κρῖναι τὰ ἔργα μου, τὰς ἀνομίας παρορῶν, καὶ τὰς ἁμαρτίας μου, ὡς ἀναμάρτητος, ἐλεήμων ἀγαθὲ καὶ φιλάνθρωπε.

Ἀκο-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἀκολουθία εἰς ὁσίας γυναῖκας.

Εἰς τὸν ὄρθρον Τριῴδ. Ὠδὴ α΄. ἦχος πλ. δ΄.

Ὑγρὰν διοδεύσας.

ΣΑρκὸς ἀσθενείᾳ τὸν δυνατὸν ἐχθρὸν καθελοῦσαι, εἰκειώθητε τῷ Θεῷ, ὁσίαι γυναῖκες, δυσωποῦσαι δύναμιν πᾶσι δοθῆναι σωτήριον.

ΜΑράνασαι πόνοις ἀσκητικοῖς, σωμάτων τὰ κάλλη, ὡραιώθητε τὰς ψυχὰς, καὶ Χριστῷ Νυμφίῳ εἰς θαλάμους ὡραιοτάτους συνεισήλθετε. Θεοτ.

ΝΥμφὼν ἀνεδείχθη φωτοειδὴς, ἡ μήτρα σου Κόρη, τοῦ δι' οἶκτον σωματικῶς ἐκ σοῦ σαρκωθέντος, καὶ τὰ πάντα, θεογνωσίας ἀκτῖσι φωτίσαντος.

Κάθισμα, ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

ἘΠὶ τῶν ὤμων τὸν σταυρὸν, ἀναλαβοῦσαι τοῦ Χριστοῦ, ἠκολουθήσατε αὐτῷ, διὰ τῶν ἔργων εὐσεβῶν, τῶν τῆς ἀσκήσεως ἀοίδιμοι αἱ ὁσίαι, καὶ πάσαις γυναιξὶν ἐνασκουμέναις σεμνῶς, ἐφάνητε κανὼν καὶ τύπος ἔνδοξοι, ἀλλὰ τοῖς θείοις σκάμμασι τὰ ἄνω ἀπολαβοῦσαι βασίλεια, μὴ διαλίπητε, ἱκετεύειν τοῦ σώζεσθαι τὰς ψυχὰς ἡμῶν. Θεοτ.

Ὠδὴ η΄. Νικηταὶ τυράννου.

ΛΟγισμῷ, παρθένοι, πάθη ὑπετάξατε τῆς ἀλογίας, καὶ νυμφίῳ Λόγῳ νοητῶς συνήφθητε, ἀναβοῶσαι, εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Σταυ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Σταυρωθεῖσαι κόσμῳ, καὶ τῷ θείῳ ἔρωτι κατατρωθεῖσαι, γνώσει ἐνηδόνῳ, τὸν τὴν Εὔαν ζώσαντα τῆς ἀκρατείας, ἱεραὶ παρθένοι βέλεσιν ἐτρώσατε, ἀνυμνολογοῦσαι, Χριστὸν εἰς τοὺς αἰῶνας. Θεοτ.

Ἡ Θεὸν τεκοῦσα ἐξ ἁγνῶν αἱμάτων σου σεσαρκωμένον, τὰς παρθένους πάσας ἐπεσπάσω ἄχραντε, σὺν αὐταῖς βοώσας, εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Κυρίως Θεοτόκον.

Ὡραῖαι τοῦ Δεσπότου, εὔλαλοι τρυγόνες, καὶ χελιδόνες φανεῖσαι φιλόσεμνοι, πρὸς καλιὰς οὐρανίους, μετεβιβάσθητε.

Συνήφθητε ταῖς ἄνω, νῦν χοροστασίαις, καὶ ἐκλεκτῶν πανηγύρει εὐφραίνεσθε, ὑπὲρ ἡμῶν δυσωποῦσαι, τὸν φιλοικτίρμονα.

Ἡ μνήμη ἡ φωσφόρος, νῦν ἡ ὑμετέρα, καθάπερ ἥλιος οὕτως ἀνέτειλε, τὰς τῶν πιστῶν διανοίας καταφαιδρύνουσα. Θεοτοκίον.

Φωτὸς οὖσα δοχεῖον, φώτισον παρθένε, τὴν σκοτισθεῖσαν ψυχήν μου τοῖς πάθεσι, ἐξωτέρου με σκότους, ῥῦσαι πρεσβείαις σου.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

# ΕΥΑΓΓΕΛΙΑ ΚΟΙΝΑ.

Ἐν ταῖς τῶν μεγάλων ἑορτῶν ἀκολουθίαις, ὅταν ὑπὸ τοῦ Τυπικοῦ διατάττωνται, κατὰ τὴν τῶν ἀνωνύμων ἁγίων τάξιν.

Εὐαγγ. εἰς τὰς τῆς ὑπεραγίας Θεοτόκου ἑορτὰς κατὰ μῆνας.

Ἐκ τοῦ κατὰ Λουκᾶν.

ΕΝ ταῖς ἡμέραις ἐκείναις, ἀναστᾶσα Μαριὰμ, ἐπορεύθη εἰς τὴν ὀρεινὴν μετὰ σπουδῆς, εἰς πόλιν Ἰούδα. Καὶ εἰσῆλθεν εἰς τὸν οἶκον Ζαχαρίου, καὶ ἠσπάσατο τὴν Ἐλισάβετ. Καὶ ἐγένετο ὡς ἤκουσεν ἡ Ἐλισάβετ τὸν ἀσπασμὸν τῆς Μαρίας, ἐσκίρτησε τὸ βρέφος ἐν τῇ κοιλίᾳ αὐτῆς, καὶ ἐπλήσθη Πνεύματος ἁγίου ἡ Ἐλισάβετ. Καὶ ἀνεφώνησε φωνῇ μεγάλῃ καὶ εἶπεν, εὐλογημένη σὺ ἐν γυναιξὶ, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου. Καὶ πόθεν μοι τοῦτο, ἵνα ἔλθῃ ἡ Μήτηρ τοῦ Κυρίου μου πρός με; Ἰδοὺ γὰρ, ὡς ἐγένετο ἡ φωνὴ τοῦ ἀσπασμοῦ σου εἰς τὰ ὦτά μου, ἐσκίρτησε τὸ βρέφος ἐν ἀγαλλιάσει ἐν τῇ κοιλίᾳ μου. Καὶ μακαρία ἡ πιστεύσασα, ὅτι ἔσται τελείωσις τοῖς λελαλημένοις αὐτῇ παρὰ Κυρίου. Καὶ εἶπε Μαριὰμ, μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου, ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρί μου, ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ. Ἰδοὺ

γὰρ,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου -
Μουσείο Τυπάλδων Ιακωβάτων

γὰρ, ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαὶ, ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατὸς, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ. Ἔμεινε δὲ Μαριὰμ σὺν αὐτῇ ὡσεὶ μῆνας τρεῖς, καὶ ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς.

Ἕτερα εὐαγγ. εἰς ἕνα, ἢ πολλοὺς ἀποστόλους.

Ἐκ τοῦ κατὰ Λουκᾶν.

Τῷ καιρῷ ἐκείνῳ. Συγκαλεσάμενος ὁ Ἰησοῦς τοὺς δώδεκα μαθητὰς αὐτοῦ ἔδωκεν αὐτοῖς δύναμιν, καὶ ἐξουσίαν ἐπὶ πάντα τὰ δαιμόνια, καὶ νόσους θεραπεύειν, καὶ ἀπέστειλεν αὐτοὺς κηρύσσειν τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ἰᾶσθαι τοὺς ἀσθενοῦντας. Καὶ εἶπε πρὸς αὐτοὺς, μηδὲν αἴρετε εἰς τὴν ὁδὸν μήτε ῥάβδους, μήτε πήραν, μήτε ἄρτον, μήτε ἀργύριον, μήτε ἀνὰ δύο χιτῶνας ἔχειν, καὶ εἰς ἂν οἰκίαν εἰσέλθητε ἐκεῖ μένατε, καὶ ἐκεῖθεν ἐξέρχεσθε, καὶ ὅσοι ἂν μὴ δέξωνται ὑμᾶς, ἐξερχόμενοι ἀπὸ τῆς πόλεως ἐκείνης, καὶ τὸν κονιορτὸν ἀπὸ τῆς πόλεως ἐκείνης ἀποτινάξατε εἰς μαρτύριον ἐπ᾽ αὐτούς. Ἐξερχόμενοι δὲ διήρχοντο κατὰ τὰς κώμας, εὐαγγελιζόμενοι, καὶ θεραπεύοντες πανταχοῦ.

Εὐαγγ. εἰς ἕνα, ἢ πολλοὺς προφήτας.

Ἐκ τοῦ κατὰ Ματθαῖον.

Εἶπεν ὁ κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους. Ἰδοὺ ἐγὼ ἀποστέλλω πρὸς ὑμᾶς προφήτας καὶ σοφοὺς, καὶ γραμματεῖς, καὶ ἐξ αὐτῶν ἀποκτενεῖτε, καὶ σταυρώσετε, καὶ ἐξ αὐτῶν μαστιγώ-



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

σετε ἐν ταῖς συναγωγαῖς ὑμῶν, καὶ διώξετε ἀπὸ πόλεως εἰς πόλιν. Ὅπως ἔλθῃ ἐφ' ὑμᾶς πᾶν αἷμα δίκαιον ἐκχυνόμενον ἐπὶ τῆς γῆς, ἀπὸ τοῦ αἵματος Ἄβελ τοῦ δικαίου, ἕως τοῦ αἵματος Ζαχαρίου υἱοῦ Βαραχίου, ὃν ἐφονεύσατε μεταξὺ τοῦ ναοῦ, καὶ τοῦ θυσιαστηρίου. Ἀμὴν λέγω ὑμῖν, ἥξει ταῦτα πάντα ἐπὶ τὴν γενεὰν ταύτην. Ἱερουσαλὴμ, Ἱερουσαλὴμ, ἡ ἀποκτείνουσα τοὺς προφήτας, καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους, πρὸς αὐτήν. ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, ὃν τρόπον ἐπισυνάγει ὄρνις τὰ νοσσία ἑαυτῆς ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε; Ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος, Λέγω γὰρ ὑμῖν, οὐ μή με ἴδητε ἀπ' ἄρτι, ἕως ἂν εἴπητε: Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου.

Εὐαγγέλ. εἰς ἕνα, ἢ εἰς πολλοὺς Μάρτυρας.

Ἐκ τοῦ κατ' Ἰωάννην.

Τῷ καιρῷ ἐκείνῳ, εἶπεν ὁ κύριος τοῖς ἑαυτοῦ μαθηταῖς. Ἐὰν μὴ ὁ κόκκος τοῦ σίτου πεσὼν εἰς τὴν γῆν ἀποθάνῃ, αὐτὸς μόνος μένει, ἐὰν δὲ ἀποθάνῃ πολὺν καρπὸν φέρει. Ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ ἀπολέσει αὐτήν, καὶ ὁ μισῶν τὴν ψυχὴν αὐτοῦ ἐν τῷ κόσμῳ τούτῳ, εἰς ζωὴν αἰώνιον φυλάξει αὐτήν. Ἐὰν ἐμοὶ διακονεῖ τις, ἐμοὶ ἀκολουθείτω, καὶ ὅπου εἰμὶ ἐγὼ, ἐκεῖ καὶ ὁ διάκονος ὁ ἐμὸς ἔσται. Καὶ ἐάν τις ἐμοὶ διακονῇ, τιμήσει αὐτὸν ὁ πατήρ.

Εὐαγγ.

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Εὐαγγ. εἰς ἕνα, ἢ πολλοὺς ἱεράρχας, καὶ ἱερομάρτυρας.

Ἐκ τοῦ κατὰ Ματθαῖον.

Εἶπεν ὁ κύριος τοῖς ἑαυτοῦ μαθηταῖς. Ὑμεῖς ἐστὲ τὸ φῶς τοῦ κόσμου. Οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη. Οὐδὲ καίουσι λύχνον, καὶ τιθέασιν αὐτὸ ὑπὸ τὸν μόδιον, ἀλλ᾽ ἐπὶ τὴν λυχνίαν, καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ. Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσουσι τὸν πατέρα ὑμῶν. τὸν ἐν τοῖς οὐρανοῖς. Μὴ νομήσητε ὅτι ἦλθον καταλῦσαι τὸν νόμον, ἢ τοὺς προφήτας. Οὐκ ἦλθον καταλῦσαι, ἀλλὰ πληρῶσαι. Ἀμὴν γὰρ λέγω ὑμῖν, ἕως ἂν παρέλθῃ ἰῶτα ἕν, ἢ μία κεραία, οὐ μὴ παρέλθῃ, ἕως ἂν πάντα γένηται. Ὃς ἐὰν οὖν λύσῃ μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων, καὶ διδάξῃ οὕτως τοὺς ἀνθρώπους, ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. Ὃς δὲ ἂν ποιήσῃ, καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

Εἰς ἕνα, ἢ εἰς τοὺς πολλοὺς ὁσίους.

Ἐκ τοῦ κατὰ Ματθαῖον.

Εἶπεν ὁ κύριος τοῖς ἑαυτοῦ μαθηταῖς. Πάντα μοι παρεδόθη ὑπὸ τοῦ πατρός μου, καὶ οὐδεὶς ἐπιγινώσκει τὸν υἱὸν εἰμὴ ὁ πατὴρ, οὐδὲ τὸν πατέρα τις ἐπιγινώσκει, εἰμὴ ὁ υἱὸς, καὶ ᾧ ἐὰν βούληται ὁ υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες, καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς, καὶ μάθετε ἀπ᾽



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ἐμοῦ, ὅτι πρᾶος εἰμὶ, καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσεται ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Ὁ γὰρ ζυγός μου χρηστὸς, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστι.

Εὐαγγ. εἰς μίαν, ἢ πολλὰς τὰς γυναῖκας μάρτυρας, ἢ ὁσίας.

Ἐκ τοῦ κατὰ Ματθαῖον.

ΕἸπεν ὁ κύριος τὴν παραβολὴν ταύτην. Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις, αἵτινες λαβοῦσαι τὰς λαμπάδας αὐτῶν, ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου. Πέντε δὲ ἦσαν ἐξ αὐτῶν φρόνιμοι, καὶ αἱ πέντε μωραί. Αἵτινες μωραὶ λαβοῦσαι τὰς λαμπάδας αὐτῶν οὐκ ἔλαβον μετ᾽ ἑαυτῶν ἔλαιον· Αἱ δὲ φρόνιμοι ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν· μετὰ τῶν λαμπάδων. Χρονίζοντος δὲ τοῦ νυμφίου, ἐνύσταξαν πᾶσαι, καὶ ἐκάθευδον. Μέσης δὲ νυκτὸς κραυγὴ γέγονεν. Ἰδοὺ ὁ νυμφίος ἔρχεται, ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ. Τότε ἠγέρθησαν πᾶσαι αἱ παρθένοι ἐκεῖναι, καὶ ἐκόσμησαν τὰς λαμπάδας αὐτῶν. Αἱ δὲ μωραὶ ταῖς φρονίμοις εἶπον, δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν ὅτι αἱ λαμπάδες ἡμῶν σβέννυνται. Ἀπεκρίθησαν δὲ αἱ φρόνιμοι λέγουσαι. Μήποτε οὐκ ἀρκέσῃ ἡμῖν, καὶ ὑμῖν. πορεύεσθε μᾶλλον πρὸς τοὺς πωλοῦντας, καὶ ἀγοράσατε ἑαυταῖς. Ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι, ἦλθεν ὁ νυμφίος, καὶ αἱ ἕτοιμοι εἰσῆλθον μετ᾽ αὐτοῦ εἰς τοὺς γάμους, καὶ ἐκλείσθη ἡ θύρα.

ΑΚΟ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

# ΑΚΟΛΟΥΘΙΑ Α΄. ΤΩΝ ΑΓΓΕΛΩΝ.

Δόξα ἐν τῷ ἑσπερ. οἱ ἄγγελοί σου, φύλλ. 102.
Τετραῴδ. εἰς τὸν ὄρθ. ἦχ. πλ. δ΄.

Ὠδ. α΄. Ἆσμα ἀναπέμψωμεν.

Πάντες ἀνυμνήσωμεν πιστοί, τὴν πάσας διευθύνουσαν τὰς ἀΰλους τῶν ἄνω χορῶν ταξιαρχίας Τριάδα τὴν ἄκτιστον, ἅγιος ἐκβοῶντες, ἅγιος εἶ Θεὲ παντοκράτορ.

Ἔθου τῶν κτισμάτων σου ἀρχὴν οὐσίαν τὴν ἀσώματον, Ποιητὰ ἀγγέλων, τὸν ἄχραντόν σου θρόνον κυκλοῦσαν κραυγάζειν σοι, ἅγιος, ἅγιος, ἅγιος εἶ Θεὲ παντοκράτορ.

Χαίροις Γαβριὴλ μυσταγωγὲ τῆς τοῦ Θεοῦ σαρκώσεως, Μιχαήλ τε ταγμάτων ἀΰλων προστάτα, ἀπαύστως κραυγάζοντες, ἅγιος, ἅγιος, ἅγιος εἶ Θεὲ παντοκράτορ. Θεοτ.

Εὔα ἡ προμήτωρ τῇ ἀρᾷ τὸ γένος καθυπέβαλε τῇ παραβάσει ποτέ, τὸ τῶν ἀνθρώπων, σὺ δὲ παρθένε Θεόνυμφε ὅλον πρὸς εὐλογίαν, μετηγάγω τὸν Κτίστην τεκοῦσα.

Κάθισμα ἦχ. πλ. δ΄. Τὸ προσταχθέν.

Τῶν ἀσωμάτων τοὺς χορούς, ἐφιέμενοι ἀνευφημεῖν οἱ ἐπὶ γῆς, μιμησώμεθα, ὡς ἐφικτὸν τούτων



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

τὴν ἁγιότητα, νεκροῦντες πάντα τὰ μέλη τὰ τῆς σαρκὸς, αἰτοῦντες ὡς ὑπερμάχους τε καὶ φρουροὺς, πάσης πλάνης λυτρώσασθαι, τοῦ ἀοράτου ἐχθροῦ ἡμᾶς τοὺς ἀνυμνοῦντας αὐτοὺς, ὅπως εὕρωμεν ἔλεος. Θεοτ.

Κοντάκιον. Ἀρχιστράτηγοι Θεοῦ, λειτουργοὶ θείας δόξης, τῶν ἀνθρώπων ὁδηγοὶ, καὶ ἀρχηγοὶ ἀσωμάτων, τὸ συμφέρον ἡμῖν πρεσβεύσατε, καὶ τὸ μέγα ἔλεος: ὡς τῶν ἀσωμάτων ἀρχιστράτηγοι. Ὁ οἶκος.

Ἔφης φιλάνθρωπε ἐν γραφαῖς σου, πλήθη χαίρειν ἀγγέλων, ἐν ἀνθρώπῳ ἑνὶ, μετανοοῦντι ἀθάνατε, ὅθεν ἡμεῖς οἱ ἐν ἀνομίαις, ἀναμάρτητε μόνε καρδιογνῶστα, σὲ δυσωπεῖν καθ' ἑκάστην τολμῶμεν ὡς εὔσπλαγχνον, οἰκτεῖραι, καὶ καταπέμψαι ἀναξίοις κατάνυξιν Δέσποτα, παρέχων ἡμῖν συγχώρησιν, ὑπὲρ πάντων γὰρ ἡμῶν πρεσβεύει σοι: ὁ τῶν ἀσωμάτων ἀρχιστράτηγος.

Ὠδὴ ηʹ. Τὸν ἐν ὄρει ἁγίῳ.

Τῶν ἀγγέλων, ζηλώσωμεν τὸν βίον, καὶ τὰς φρένας πτερώσωμεν εἰς ὕψος, καὶ σὺν αὐτοῖς ἀΰλως ἀναμέλψωμεν, Κύριον ὑμνοῦντες, καὶ ὑπερυψοῦντες εἰς πάντας τοὺς αἰῶνας.

Θιασῶται, χορείας οὐρανίου, οἱ τὸν θρόνον ἐφέποντες τῆς δόξης, περὶ Θεόν τε πάντοτε στρεφόμενοι, ἄγγελοι ὑμνοῦσι, καὶ ὑπερυψοῦσιν αὐτὸν εἰς τοὺς αἰῶνας.

Τὴν ἀΰλου πυρὸς ποιοῦσαν φλόγα, τοὺς ἐν ὕψει, ἀπαύστως λειτουργοῦντας, καὶ τοὺς ἀγγέλους πνεύματα

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ματα δεικνύουσαν. Τριάδα προσκυνοῦμεν, καὶ δοξολογοῦμεν εἰς πάντας τοὺς αἰῶνας. Θεοτ.

ΟΝ ἐν πόλῳ, παρειστήκεισαν τρόμῳ, μυριάδες ἀγγέλων ἀρχαγγέλων, ἐν ταῖς ἀγκάλαις φέρειν κατηξίωσαι, τοῦτον Θεοτόκε, πρέσβευε σωθῆναι τοὺς σὲ δοξολογοῦντας.

Ὠδὴ θʹ. Ὄρους παρῆλθες.

ΣΕ τὸν ἀῤῥήτως ἑνώσαντα τοῖς ἐπουρανίοις Χριστὲ τὰ ἐπίγεια, καὶ μίαν ἐκκλησίαν ἀποτελέσαντα, ἀγγέλων καὶ ἀνθρώπων, ἀκαταπαύστως μεγαλύνομεν.

ΑΓγελοί τε καὶ ἀρχάγγελοι, θρόνοι, ἐξουσίαι, καὶ κυριότητες, ἀρχαί τε καὶ δυνάμεις, χερουβὶμ καὶ σεραφὶμ, μετὰ τῆς Θεοτόκου, ὑπὲρ τοῦ κόσμου ἱκετεύσατε.

ΠΑ'ντων προστάται δεικνύμενοι, Μιχαὴλ σὺν τῷ Γαβριὴλ ἐπισκέψασθε, τοὺς ἐκ πόθου τιμῶντας τὴν πανέορτον μνήμην, καὶ πιστῶς ἀνυμνοῦντας, σώζετε παντοίας περιστάσεως. Θεοτ.

ΛΟ'γον ἐδέξω τὸν ἄναρχον, φύσιν τὴν ἐμὴν ἀναπλάσαι βουλόμενον, καὶ τοῦτον σαρκωθέντα, παρθένε τέτοκας, διὸ σὲ Θεοτόκε, ἀκαταπαύστως μεγαλύνομεν.

Ἐξαποστειλάριον.

ΑῬῥήτως πυρσευόμενος, ταῖς θείαις ἐλλάμψεσι τῆς ὑπερφώτου Τριάδος, διέρχῃ πᾶσαν τὴν κτίσιν, ὡς ἀστραπὴ ἀρχάγγελε, πληρῶν τὸ θεῖον πρόσταγμα, Μιχαὴλ ἀστραπόμορφε, φρουρῶν, φυλάττων, καὶ σκέπων, τοὺς σὲ φαιδρῶς ἀνυμνοῦντας. Θεοτ.

Εἰκό-

Εἰκόνος ἧς μετέλαβον θεουργικῶς τῆς κρείττονος, ἐξώσθην οἴμοι ὁ τάλας, δι' ἀκρασίας τῆς πάλαι, σὺ δὲ Χριστὲ ὡς εὔσπλαγχνος, ἀρρήτως κοινωνήσας μοι, τοῦ χείρονος μετείληφας, καινοποιήσας Σωτήρ με παρθενικῶν ἐξ αἱμάτων.

## ΑΚΟΛΟΥΘΙΑ Β'.

Εἰς τοὺς κοιμηθέντας.

Δόξα τῷ Σαββάτῳ τῆς μεγ. Πεντηκοστῆς, καὶ τῇ β'. τοῦ Νοεμβρ. ἦχ. πλ. δ'.

Δεῦτε πάντων τῶν πιστῶς ἐκ τοῦ αἰῶνος θανέντων τελοῦντες μνημόσυνα, κράζωμεν ἐν ἐκτενείᾳ πρὸς τὸν ὅλων κύριον, τοῦ ῥύσασθαι αὐτοὺς ἐκ πυρὸς ἀσβέστου, καὶ ἰοβόλων σκωλύκων βορᾶς, ἀπὸ σκότους ἀφεγγοῦς, βρυγμοῦ ὀδόντων, καὶ δεινῆς πάσης κατακρίσεως, ὅτ' ἂν καθίσῃ εἰς κριτήριον τὸ ἀδέκαστον τὰς βουλὰς, καὶ τὰς πράξεις εὐθῦναι ἁπάσης πνοῆς, ἑκάστῳ ἀποδιδοὺς κατ' ἀξίαν τῶν ἔργων αὐτοῦ. Διὸ βοήσωμεν, τότε πάντας ἀνάπαυσον, φιλάνθρωπε τοὺς θανέντας πιστῶς.

Τριῴδ. ἦχ. πλ. δ'. Ἆσμα ἀναπέμψομεν.

Πάντες δυσωπήσωμεν Χριστὸν, τελοῦντες μνήμην σήμερον τῶν ἀπ' αἰῶνος νεκρῶν, ἵνα τοῦ αἰωνίου πυρὸς αὐτοὺς ῥύσηται, πίστει κεκοιμημένους, καὶ ἐλπίδι ζωῆς αἰωνίου.

Βάθει

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ΒΑ'θει τῶν κριμάτων σου Χριστὲ, πανσόφως σὺ προορίσας ἑκάστου τέλους ζωῆς τὸν ὅρον, καὶ τὸν τρόπον. Διὸ οὓς ἐκάλυψε τάφος ἐν πάσῃ χώρᾳ, ἐν τῇ κρίσει σῶσον πανοικτίρμον.

Ο'Ναρ ἡ ζωὴ ἡμῶν ἐστὶ, διὸ τοὺς ἀφυπνώσαντας ἐκ τοῦ τοῦ βίου νυκτὸς, ἡμέρας ἀνεσπέρου υἱοὺς δεῖξον Χριστὲ, ἱερεῖς ὀρθοδόξους, βασιλεῖς τε, καὶ πάντα λαόν σου. Δόξα.

ΤΡία μιᾶς φύσεως ὑμνῶ πρόσωπα αὐθυπόστατα, ἀγέννητον Πατέρα, Υἱὸν τὸν γεννηθέντα, καὶ Πνεῦμα ἅγιον, ἄναρχον βασιλείαν, ἐξουσίαν, Θεότητα μίαν. Θεοτ.

Ο'Ντως σὺ ἐφάνης οὐρανὸς ἐπὶ τῆς γῆς, μειζότερος τοῦ ἀνωτάτου πόλου, ἀνύμφευτε παρθένε. Ἐκ σοῦ γὰρ ἀνέτειλεν ἥλιος ἐν τῷ κόσμῳ, ὁ δεσπόζων τῆς δικαιοσύνης.

Καθ. ἦχ. πλ. δ'. Τὴν σοφίαν.

Ο'Τὰ πάντα ποιήσας νεύματι σῷ, τοὺς ἐν πίστει θανόντας χριστιανοὺς, πατέρας προπάτορας, πάππους τε, καὶ προπάππους. συγγενεῖς, καὶ φίλους, πλουσίους καὶ πένητας, βασιλεῖς, ἱερεῖς τε, λαϊκοὺς, καὶ μονάζοντας. ὅπου τῶν ἁγίων, καὶ δικαίων σου πέλει ἁπάντων ἡ οἴκησις, δυσωποῦμεν ἀνάπαυσον, τῆς μητρός σου δεήσεσι, Δέσποτα Χριστὲ ὁ Θεὸς, τῶν πταισμάτων ἄφεσιν διδοὺς αὐτοῖς, ὧν ἐπλημμέλησαν ζῶντες ὡς ἄνθρωποι.

Δό-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Δόξα καὶ νῦν. Κοντάκια ἐκ τῶν κεκοιμ. πάντα, σὺν ταῖς δεήσεσι, καὶ τῇ εὐχῇ.

Ὠδὴ η'. Τὸν ἐν ὄρει ἁγίῳ.

Ο Ἐκτρέψας πεδίλῳ σκιὰν θανάτου, ἀνατείλας ὡς ἥλιος ἐκ τάφου, υἱοὺς τῆς ἀναστάσεώς σου ποίησον, κύριε τῆς δόξης τοὺς προκοιμηθέντας ἐν πίστει εἰς αἰῶνας.

ΤΩν ἀδήλων καὶ κρυφίων ὁ γνώστης, ὅταν μέλλεις ἐκκαλύπτειν τοῦ σκότους τὰ ἔργα, καὶ βουλὰς τῶν καρδιῶν ἡμῶν, τότε μὴ συνάρῃς λόγον μετὰ πάντων τῶν πίστει κοιμηθέντων.

Ο῞Ταν μέλλεις καθίσαι ἐπὶ θρόνου, καὶ κελεύεις εἰς κρίσιν παραστῆναι σοῦ ἐξ ἐσχάτων τῆς γῆς, διὰ τῆς σάλπιγγος συναθροιζομένους. τότε φεῖσαι πάντων, Χριστὲ ὡς ἐλεήμων. Εὐλογοῦμ.

ΩΣ μονάδα τῇ οὐσίᾳ ὑμνῶ σε, ὡς Τριάδα τοῖς προσώποις σὲ σέβω, Πάτερ, Υἱὲ, καὶ Πνεῦμα τὸ πανάγιον, ἄναρχον τὸ κράτος τῆς σῆς βασιλείας δοξάζω εἰς αἰῶνας. Καὶ νῦν.

ΡΕίθρου ζῶντος πηγὴ ἐσφραγισμένη ἀνεδείχθης θεοτόκε παρθένε. ἀνάνδρως γὰρ τὸν κύριον γεννήσασα, τῆς ἀθανασίας σοῦ πιστοὺς ποτίζει τὸ νᾶμα εἰς αἰῶνας.

Ὠδὴ θ'. Τὸν προδηλωθέντα.

ΕἸνθα εὐφραινομένων ἐστὶν ἡ κατοικεία, τῶν ἁγίων σου κύριε, πάντας τοὺς ἀπ' αἰῶνος κεκοιμημέ-



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

νους, ἐν πίστει τε, καὶ ἐλπίδι, ἀγαλλιαθῆναι καταξίωσον.

Τοὺς θεομηνίᾳ θανατικῶν ἐκτριβέντας, κεραυνῶν παντοίων ἐξ οὐρανοῦ ἐνεχθέντων, γῆς σχισθείσης, ἐπικλυσάσης θαλάσσης, πάντας σὺν πιστοὺς Χριστὲ ἀνάπαυσον.

Πᾶσαν ἡλικίαν, πρεσβύτας, καὶ νεανίσκους, νέους, καὶ ἐφήβους παῖδας, καὶ τὰ ἄωρα βρέφη, ἀρρενικήν φύσιν τε, καὶ θηλείαν, ἀνάπαυσον Χριστὲ, οὓς προσελάβου πιστούς. Δόξα.

Ὁ Εἷς ἐν Τριάδι Θεὸς, δόξασοι ἀπαύστως εἰ γὰρ καὶ Θεὸς ἕκαστος, ἀλλ' εἷς τῇ φύσει πέλεις, ὁ Πατὴρ, καὶ ὁ Υἱὸς, καὶ τὸ Πνεῦμα, τοῖς τρισσοφαέσιν ἰδιώμασιν. Θεοτ.

Ὑπὲρ νοῦν ὁ τόκος σου, γυναικὸς γὰρ τὸν προόντα, καὶ γαλουχεῖς ἀῤῥήτως τὸν τροφοδότην τοῦ κόσμου, ἀνακλίνεις τὸν τοῦ παντὸς συνοχέα, Χριστὸν τὸν λυτρωτὴν ἡμῶν πανάμωμε. Ἐξαπος. φύλλ. 84.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

# ΑΚΟΛΟΥΘΙΑ Γ'.

Εἰς τοὺς ἁγίους πάντας.

Τῇ κυριακῇ τῶν ἁγ. πάντων, καὶ τῇ ια'. τοῦ Νοεμβρίου μηνός. Δόξα φύλλ. 98.

Τετρῴδ. ἦχ. πλ. δ'. Ἁρματηλάτην.

ΤΩν σῶν ἁγίων ἀνυμνῶν τὰ τάγματα, τῷ σῷ φωτὶ τὴν ψυχὴν, ταῖς προσευχαῖς τούτων ἀγαθῦναι δέομαι, σὺ γὰρ εἶ φῶς ἀπερίοπτον, τῆς ἀγνοίας τὸν ζόφον διώκων τοῖς σοῖς πυρσεύμασι, λόγε τοῦ Θεοῦ φωτίζοντα Χριστέ.

ΩΣ ἀνυψώθης ἐπὶ ξύλου, εἵλκυσας πρὸς τὴν ἐπίγνωσιν τὴν τῶν ἐθνῶν πᾶσαν κληρουχίαν, Δέσποτα, καὶ φωτὶ κατελάμπρυνας τῆς ἁγίας Τριάδος, διὰ ἀποστόλων, ἁγίων σου, δι' ὧν τὴν ἀπάτην ἀπήλασας. Θ.

ΓΝώμην ἀνδρείαν αἱ παρθένοι πάναγνε, ἀναλαβοῦσαι σαφῶς. μαρτυρικοὺς ἄθλους ἀηλινῶς μιμούμεναι, καὶ ψαλμικῶς ὀπίσω σου, τῷ Υἱῷ σου παρθένε ἐνθέως συναγαλλόμεναι, τῷ παμβασιλεῖ προσηνέχθησαν.

Κάθ. ἦχ. πλ. δ'. Τὴν σοφίαν.

ΠΡοπατόρων, πατέρων, πατριαρχῶν, ἀποστόλων, μαρτύρων, ἱεραρχῶν, προφητῶν, καὶ ὁσίωνσου, ἀσκητῶν, καὶ δικαίωντε. καὶ παντὸς ὀνόματος, γεγραμμένου ἐν βίβλῳ ζωῆς, τὴν ἁγίαν μνήμην τελοῦν-

τες

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

τες Χριστὲ ὁ Θεὸς, πάντας συγκινοῦμεν εἰς πρεσβείαν, δεόμενοι, εἰρήνευσον τὸν κόσμον σου, δι' αὐτῶν ὡς φιλάνθρωπος. ἵνα πάντες βοῶμέν σοι, ὁ Θεὸς ὁ ἐνδοξαζόμενος ἐν βουλῇ ἁγίων σου, σὺ γὰρ ὑπάρχεις ἀληθῶς, ὁ δοξάσας ἐν κόσμῳ τὴν μνήμην αὐτῶν.

Κοντάκ.

ΩΣ ἀπαρχὰς τῆς φύσεως, τῷ φυτουργῷ τῆς κτίσεως, ἡ οἰκουμένη προσφέρει σοι κύριε τοὺς θεοφόρους μάρτυρας. Ταῖς αὐτῶν ἱκεσίαις, ἐν εἰρήνῃ βαθείᾳ τὴν ἐκκλησίαν σου, τῇ πολιτείᾳ σου, διὰ τῆς θεοτόκου συντήρησον πολυέλεε. Ο' οἶκος ζήτει ἐν τῇ τῶν ἀναργύρ.

Ὠδὴ η'. Ε'πταπλασίως κάμινον.

Α'Γαλλιᾶσθε μάρτυρες, οἱ προφῆται, ἀπόστολοι, ἱερομαρτύρων ὁ σεπτὸς κατάλογος, δικαίων ὁσίων τε, καὶ διδασκάλων θεῖος χορὸς, σὺν ταῖς μυροφόροις γυναιξὶ μελῳδοῦντες. οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

ΤΗ͂ς ὑπὲρ νοῦν λαμπρότητος ἐμφορούμενοι ἅγιοι, θείας εὐφροσύνης, καὶ χαρᾶς πληρούμενοι, θεοὶ χρηματίζετε, τῇ πρὸς Θεὸν ἐγγύτητι, ταῖς θεουργικαῖς μαρμαρυγαῖς ὁμιλοῦντες, καὶ δόξης τοῦ ἀφράστου, φωτισθέντες ἀκτῖσι, Χριστὸν ὑπερυψοῦτε εἰ πάντας τοὺς αἰῶνας.

Εὐλογοῦμ.

ΜΕτ' εὐφροσύνης ἅπασαι γυναικῶν αἱ θεόφρονες, αἱ τελειωθεῖσαι ἐν Χριστῷ τῷ πνεύματι, παρθένων

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσεία Τυπάλδων Ιακωβάτων

θένον τὴν ἄχραντον, καὶ ἀληθῆ μητέρα Θεοῦ, τὴν ἐκ τῆς κατάρας τῆς προμήτορος Εὔας ἡμᾶς λυτρωσαμένην, ἀβλαβῶς παραστῆσαι, τὸν ταύτης ἀνυμνεῖτε καρπὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ἐξέστη ἐπὶ τοῦτο.

Ἐλπίδι, καὶ ἀγάπη θωρακισθὲν, καὶ πιστῶς πεφραγμένον τὸ σύνταγμα τῶν ἀθλητῶν, πάσας τὰς τῶν τυράννων τὰς ἀπειλὰς, τοὺς αἰκισμοὺς, καὶ μάστιγας χαίροντες ὑπέμειναν εὐκλεῶς, Χριστὸν πεπληρωκότες νικοποιὸν ἐν ἄθλοις τῆς ἀληθείας προφῆται μάρτυρες.

Λιμένα σωτηρίας τὸν Βαπτιστὴν, ἀποστόλους, προφήτας, καὶ μάρτυρας σὺν ἀσκηταῖς θείους διδασκάλους, καὶ ἱερεῖς, πατριαρχῶν τε σύλλογον, καὶ ἱερομάρτυρας εὐκλεεῖς, γυναῖκας φιλοθέους, ὁσίους, καὶ δικαίους, νῦν ἐπαξίως εὐφημήσωμεν. Θεοτ.

Ὡραθης διεστώτων συναπτικὴ, διὰ σοῦ γὰρ ἀγγέλοις ὁμόσκηνοι ἐν οὐρανοῖς ἄνθρωποι γεγόνασιν ἀληθῶς, καὶ μάρτυρες τάγματα πάντων τῶν ἁγίων νῦν σὺν αὐτοῖς, ὑμνοῦντες τὸν σὸν τόκον παρθένε, ἐν αἰωνίοις μελῳδήμασιν.

Ἐξαποστειλ. Τοῖς μαθηταῖς.

Τὸν Βαπτιστὴν, καὶ Πρόδρομον, ἀποστόλους προφήτας, μάρτυρας ἱεράρχας τε, ἀσκητὰς, καὶ ὁσίους, ἱερομάρτυρας ἅμα. φιλοθέους γυναῖκας, καὶ τοὺς δικαίους ἅπαντας, καὶ ἀγγέλων τὰς τάξεις χρεωστικῶς,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

πικῶς, ὕμνοις κατασέψωμεν συσσωπεῦντες, τῆς τούτων τεύξασθαι δόξης, πρὸς Χριστοῦ τοῦ σωτῆρος.

Εἰς τοὺς αἴν. ἐν τῇ κυρ. τῶν ἁγ. πάντ. τὸ Δόξα ἑωθ. τῇ δὲ α'. τοῦ Νοεμβ. Δόξα τῶν Ἀναργ. φ. 178.

## ΑΚΟΛΟΥΘΙΑ Δ'.

Εἰς τὸν Πρόδρομον, καὶ Βαπτιστὴν Ἰωάννην.

Δόξα τῇ κδ'. Φεβρουαρ. καὶ κθ'. τοῦ Αυγ. μηνὸς ἦχ. β'.

Ἡ Τῶν Θείων ἐννοιῶν πανσεβάσμιος θήκη, καὶ τῆς ἀῤῥήτου οὐσίας τρανῶς ἡ προβλέψασα τὸ μυστήριον χάρασσε, ὡς ἐκ λαγόνων μητρικῶν ἐκ τῶν ταμείων τῆς γῆς σήμερον ἀνατέταλκεν, Ἰωάννη πανεύφημε, ὁ εὐωδίασε πᾶσαν τὴν ὑφήλιον, ἁγιασμοῦ προχέουσα μύρον, καὶ νοητῶς κηρύττουσα μετανοίας ὁδόν. Καὶ τῷ σωτῆρι πρεσβεύουσα ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Τῇ δὲ κδ'. Ἰουν. Ἡ Ἐλισάβετ. φύλλ. 102.

Τριῴδ. εἰς τὸν ὄρθρ. ἦχ. πλ. β'. ὡς ἐν ἠπείρῳ.

Δεῦτε εὐφήμῳ τῇ γλώττῃ ὁ πανσθενεῖ, κροτουμένη πνεύματι, ἐκ χειλέων ῥυπαρῶν τὴν τοῦ Λόγου πρόδρομον φωνὴν, ἐν ᾠδαῖς πνευματικαῖς πιστοὶ δοξάσωμεν.

Γαστὴρ στειρεύουσα βλαστὸν σε προσήνεγκε, θεῖον τῆς ἐθνῶν ἐκκλησίας εὐκλεῆ νυμφαγωγὸν Χριστοῦ, τοῦ ὄντως Θεοῦ, ὁ νυμφίου ταύτην μνηστευόμενον.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Τὴν σὴν θεόφθογγον φωνὴν, πρόδρομε Ἰωάννη, οὐ δὲ ξίφει ἐπέσχεν ἡ ἀθλία μοιχαλὶς, τὴν θείαν γὰρ σὺ ἡμῖν ἐμφανίζεις χάριν τὴν ὑπέργαμον. Θ.

Τοῦ θείου τόκου σου ἁγνὴ, πᾶσαν φύσεως τάξιν ὑπερβαίνει τὸ θαῦμα, Θεὸν γὰρ ὑπερφυῶς συνέλαβες ἐν γαστρὶ, καὶ τεκοῦσα μένεις ἀειπάρθενος.

Καθ. πλ. αʹ.

Τὸν ἐκ μήτρας προφήτην ἀναδειχθέντα ἡμῖν, καὶ ἐκ στείρας φωστῆρα τῇ οἰκουμένῃ φαιδρῶς, προελθόντα ἐν ᾠδαῖς ἀνευφημήσωμεν, τοῦ Χριστοῦ τὸν Βαπτιστὴν, καὶ νικηφόρον ἀθλητὴν τὸν πρόδρομον Ἰωάννην, πρεσβεύει γὰρ τῷ κυρίῳ ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκ. Ἡ πρὶν στεῖρα, ὡς τῇ γʹ. τῆς ἑβδ. ὁ οἶκος.

Ἐκ τοῦ κυρίου τὴν μαρτυρίαν εἰληφὼς Ἰωάννη ὑπὲρ πάντας βροτοὺς ὑπέρτερος ἐχρημάτισας. Ὅθεν ἐπαίνους τῶν ἐγκωμίων προσενέγκαι σοι δέδοικα. Ἀλλὰ πόθῳ ἐκβιασθεὶς τὴν ᾠδὴν ἐγχειρῆσαι τετόλμηκα. Διὸ μὴ ἀπαξιώσῃς συνεργός μοι γενέσθαι πανεύφημε, ἵνα ἰσχύσω στεφανῶσαι σου κορυφὴν τὴν ἁγίαν τρισόλβιε, καὶ γὰρ αὐτὴ ἐν κόσμῳ κηρύττει τὴν μετάνοιαν.

Ὠδὴ ηʹ. Ἐκ φλογὸς.

Ἀπεστάλη βοῶντος φωνὴ ὁ πρόδρομος ταῖς ἐρήμοις καρδίαις τὴν τοῦ υἱοῦ τοῦ Θεοῦ, πίστιν εὐσεβῆ ἐγκεντρίζων ὄντως Θεοῦ. ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ἐποι-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἑτοιμάσατε φάσκει, καὶ νῦν ὁ πρόδρομος, τοῦ κυρίου τὴν τρίβον δι᾽ ἀγιώτητα, αὐτὸς γὰρ ἐλθὼν σὺν πατρὶ, καὶ τῷ πνεύματι ταῖς ἡμῶν καρδίαις οἰκήσει εἰς αἰῶνας. Εὐλογ.

Χρυσαυγῆ σε λυχνίαν προδιετύπωσε, δεξαμένην ἀφράστως φῶς τὸ ἀπρόσιτον, γνώσει τῇ αὐτοῦ καταυγάζων τὰ σύμπαντα, ὃν ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Θεὸν ἀνθρώποις.

Χριστοῦ προφήτης τε, καὶ ἀπόστολος, καὶ ἄγγελος, καὶ πρόδρομος τῆς θείας σαρκώσεως, βαπτιστὴς, καὶ ἱερεὺς μάρτυς πιστὸς, κήρυξ τε τοῖς ἐν ᾅδου σὺ ἐχρημάτισας, καὶ τοῖς παρθενεύουσι κανὼν, καὶ τῆς ἐρήμου βλαστός.

Ψυχῆς τὸ ἄπιστον δειγματίζεται ἱερουργοῦ, χειρὸς νενεκρωμένης τῷ θαύματι, βλαστησάσης αὖθις δὲ τῆς πίστεως, καὶ τῆς σῆς ἐκφανθείσης κάρας μακάριε, ἡ καταποθεῖσα παλάμη ἀνακαινίζεται. Θ.

Παθῶν ἰάματα ἀρρυσώμεθα τῷ σεπτῷ τεμένει τοῦ προδρόμου προστρέχοντες, ἐν αὐτῷ γὰρ πάρεισιν ἀγγέλων χοροὶ, πνεύματά τε δικαίων, πάντων ἡ δέσποινα, σὺν τῷ Βαπτιστῇ Ἰωάννῃ ἰάσεις νέμουσα.

Ἐξαποστειλ. ὡς τῇ γ΄. τῆς ἑβδομ.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

# ΑΚΟΛΟΥΘΙΑ Ε΄.

Εἰς τὴν μνήμην τοῦ ἀποσ. Ἰωάννου τοῦ Θεολόγου τῇ κε΄. τοῦ Σεπτεμβ. καὶ η΄. Μαΐου μην. Δόξα ἦχ. β΄.

Τὸν υἱὸν τῆς βροντῆς, τὸν θεμέλιον τῶν θείων λόγων, τὸν ἀρχηγὸν τῆς θεολογίας, τὸν κήρυκα πρότιστον τῆς ἀληθοῦς δογμάτων Θεοῦ σοφίας, τὸν ἠγαπημένον Ἰωάννην, καὶ παρθένον, μερόπων γένος καταξίως εὐφημήσωμεν. Οὗτος γὰρ ἀληκτον ἔχων τὸ θεῖον ἐν ἑαυτῷ, τὸ ἐν ἀρχῇ μὲν ἔφησε τοῦ λόγου, αὖθις τε τὸ πρὸς τὸν πατέρα ἀχώριστον, καὶ τὸ ἶσον μετὰ ταῦτα τῆς τοῦ πατρὸς οὐσίας, δεικνύων ἡμῖν δι' αὐτοῦ τὴν ὀρθοδοξίαν τῆς ἁγίας Τριάδος, δημιουργοῦντα ὄντα σὺν τῷ πατρί. Καὶ ζωὴν φέροντα, καὶ φῶς ἀληθινὸν τὸν αὐτὸν ἔδειξεν ἡμῖν. Ὢ θαύματος ἐκστατικοῦ, καὶ πράγματος σοφιστικοῦ, ὅτι πλήρης ὢν τῆς ἀγάπης, πλήρης γέγονε τῆς θεολογίας, δόξῃ, καὶ τιμῇ, καὶ πίστει θεμέλιος ὑπάρχων τῆς ἀκραιφνοῦς ἡμῶν πίστεως. Δι' ἧς τύχοιμεν τῶν αἰωνίων ἀγαθῶν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

**Κοντ.** Τὰ μεγαλεῖα σου παρθένε Ἰωάννη τίς διηγήσεται; βρύεις γὰρ θαύματα, καὶ πηγάζεις ἰάματα, καὶ πρεσβεύεις ὑπὲρ τῶν ψυχῶν ἡμῶν, ὡς θεολόγος, καὶ φίλος Χριστοῦ.

Τὰ λοιπὰ εἰς ἕνα ἀπόσ.

ΑΚΟ-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

# ΑΚΟΛΟΥΘΙΑ ς΄.

Τῇ ιδ΄. Ἰουν. ἢ α΄. τοῦ Ἰανν. μηνὸς, εἰς τὴν μνήμην τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου τοῦ μεγάλου.

Δόξα εἰς τὸ ἑσπ. καὶ εἰς τοὺς αἴν. ἦχ. πλ.δ΄.

Σοφίας ἐραστὴς γενόμενος ὅσιε, καὶ πάντων τῶν ὄντων τὴν πρὸς Θεὸν προκρίνας συμβίωσιν, μελέτην θανάτου εἰκότως τῷ βίῳ κατέλιπες, τὰ γὰρ σαρκὸς πάθη ἐγκρατείας πόνοις σεαυτοῦ περιελόμενος. Καὶ θείᾳ μελέτῃ νόμου ἀδούλωτον τῆς ψυχῆς τηρήσας τὸ ἀξίωμα, ἀρετῆς προελεύσει, ὅλον τῆς σαρκὸς τὸ φρόνημα καθυπέταξας τῷ πνεύματι. Διὸ σάρκα μισήσας, καὶ κόσμον, καὶ κοσμοκράτορα. παριστάμενος τῷ Χριστῷ, αἴτησαι ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Τροπάρ. εἰς τὸν ὄρθρ. ἦχ. β΄. Δεῦτε λαοί.

Σοῦ τὴν φωνὴν ἔδει παρεῖναι Βασίλειε, τοῖς ἐγχειρεῖν ἐθέλουσι τοῖς ἐγκωμίοις σου. ἀλλὰ πάτερ συγγνώμην, δεχόμενος τὴν χάριν νέμεις ἀφθόνως ἡμῖν.

Σὺ γεγονὼς μύστης ἀρρήτων Βασίλειε, τὸ τοῦ Χριστοῦ βασίλειον ἐμυσταγώγησας, ἱεράτευμα πάτερ, σαφῶς τὸ τῆς Τριάδος φῶς ἀπαστράψας ἡμῖν.

Τῶν ἀρετῶν σὺ τὴν τραχεῖαν βαδίσας ὁδὸν, ἐπὶ τὴν λίαν ἔφθασας, καὶ ἀστασίαστον τὴν οὐράνιον βάσιν, καὶ πᾶσιν ἀνεδείχθης τύπος βασίλειε. Θεοτ.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ΤΙ'ς ἐξειπεῖν σοῦ κατ' ἀξίαν δυνήσεται τὴν ὑπὲρ λόγον σύλληψιν, Θεὸν γὰρ τέτοκας ἐν σαρκὶ παναγία, ἡμῖν ἐπιφανέντα σωτῆρα πάντων ἡμῶν.

Κάθ. ἦχ. γ'. Θείας πίστεως.

ΠΑ'σαν ἤρδευσας τὴν οἰκουμένην, ὥσπερ ὕδασι ταῖς διδαχαῖς σου, τῆς εὐσεβείας ἐκσπείρας τὰ δόγματα, ἡ τῆς ζωῆς γὰρ πηγὴ ὁ Χριστὸς ἐν σοὶ ἐπανεπαύσατο ὄντως Βασίλειε, ὃν ἱκέτευε ὡς παῤῥησίαν κεκτημένος θεόπνευστε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Κοντ. Ὤφθης βάσις ἄσειστος τῇ ἐκκλησίᾳ, νέμων πᾶσιν ἄσυλον τὴν κυριότητα βροτοῖς, ἐπισφραγίζων σοῖς δόγμασιν, οὐρανοφάντορ Βασίλειε ὅσιε. Ὁ οἶκος.

ΤΗ'ς σωφροσύνης ὁ κρατὴρ, τὸ στόμα τῆς σοφίας, καὶ βάσις τῶν δογμάτων, Βασίλειος ὁ μέγας πᾶσιν ἀστράπτει νοερῶς. Δεῦτε οὖν καὶ στῶμεν ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, θερμῶς ἐνατενίζοντες τοῖς θαύμασι, τοῖς τούτου τερπόμενοι, ὥσπερ λαμπηδόνι ἀστραφθέντες, τῷ τοῦ βίου καθαρτικῷ πνεύματι θαλφθέντες. Μιμούμενοι αὐτοῦ τὴν πίστιν, τὴν ζέσιν, τὴν ταπείνωσιν, δι' ὧν οἶκος ἐδείχθη φύσεως Θεοῦ. Πρὸς ὃν βοῶντες ὑμνοῦμεν, οὐρανοφάντορ Βασίλειε ὅσιε.

Ὠδὴ η'. Τὸν ἀῤῥήτῳ σοφίᾳ.

ΤΟ'ν ἀφράστῳ προνοίᾳ δωρησάμενον Βασίλειον κόσμῳ, φῶς εὐσεβείας σάλπιγγά τε θεολογίας. εὐλογεῖτε τὰ ἔργα κυρίου τὸν κύριον.

Τὸν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου -
Μουσείο Τυπάλδων Ιακωβάτων

ΤΟν διαφιλεῖ ἐνεργείᾳ ἐνοικήσαντα τῷ σοφῷ βασιλείῳ, καὶ δι᾽ αὐτοῦ εὐσεβῶς θεολογηθέντα, εὐλογεῖτε τὰ ἔργα . .

ΤΑς ἀκτῖνας τῶν λόγων ἐξαπέστειλας βασίλειε τοῦ κόσμου, φωταγωγήσας μίαν σέβειν Τριάδος φύσιν, εὐλογεῖτε τὰ . . . Θεοτ.

ΤΟν ἐκ πατρὸς προελθόντα προαιώνιον, καὶ ἄχρονον Θεὸν λόγον, καὶ ἐπ᾽ ἐσχάτων ἀνατείλαντα ἐκ παρθένου, εὐλογεῖτε τὰ . . .

Ὠδὴ θ΄. Ἡ τὸν πρὸ ἡλίου.

ΤΟῦ ἀρχιποίμενος ὡς πρόβατον πιστὸν Χριστοῦ βασίλειε, τοῖς ζωηφόροις ἴχνεσιν ἐπηκολούθησας. τῷ τυράννῳ γὰρ τὴν σαυτοῦ ψυχὴν πάτερ προδέδωκας, προκινδυνεύων ἄριστα τῆς ἐκκλησίας παμμακάριστε.

ΤΟ τῆς ἐκκλησίας πανίερον Χριστοῦ καπιδὼν σύστημα, ὑπὸ τῆς σῆς κοσμούμενον ἱεραρχίας, σοφὲ, ὁ πανώλης ἐμβροντηθεὶς κατεπέπλωκε τύραννος, τὴν γὰρ ἐν σοὶ τοῦ πνεύματος αἴγλην οὐκ ἤνεγκε βασίλειε.

ΤΗς τῶν ἀποστόλων καθέδρας, καὶ χορείας ἀθλοφόρων Χριστοῦ, πατριαρχῶν σκηνῆς, καὶ τῶν δικαίων ζυγῆς, τῆς χαρᾶς τε τῶν προφητῶν ἠξιώθης βασίλειε, τῆς θεοτόκου λάτρεις γὰρ, καὶ τῆς Τριάδος μύστης γέγονας. Θεοτ.

ΟΤὰ ὑπερῷα ἐν ὕδατι στεγάζων μόνος κύριος, ἀναχαιτίζων θάλασσαν, ἀβύσσους τε ὁ ξυραί-



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

νων, ἐκ σοῦ ἁγνὴ τὴν σάρκα προσλαβόμενος, ἐκ Βηθλεὲμ ἐπείγεται πρὸς Ἰορδάνην βαπτισθῆναι σαρκί.

Ἐξαποστ. Ἐν πνεύματι τῷ ἱερῷ.

ΦΙλοσοφίας ἔρωτι πολιέτεμες πάτερ, τὸ τῆς ψυχῆς σου κάλυμμα, καὶ τῷ κόσμῳ ἐδείχθης, ὡς ἥλιος τοῖς θαύμασι, καὶ πιστῶν κατηύγασας τὰς διανοίας θεόφρον, τῆς Τριάδος ὁ μύστης ὦ βασίλειε σοφὲ, καὶ λάτρεις τῆς θεοτόκου. Θεοτ. Τὰ σύντομα. Οἶκος τοῦ.

ΧΑίρεις τῶν μοναστῶν, καὶ τῶν μιγάδων κλέος, τῶν εὐσεβῶν τὸ κράτος, τῶν δυσσεβῶν ἡ θραῦσις, θεόσοφε βασίλειε.

ΠΟῖον στόμα ἢ νοῦς, τῶν σῶν κατορθωμάτων, καὶ τῶν προτερημάτων τὸ μέγεθος ὑμνήσει, βασίλειε θεόσοφε.

ΒΑσίλειον πιστοὶ, τὸν μέγαν ἱεράρχην, καὶ θεῖον κληρφόρον, τὴν βάσιν τῶν δογμάτων ἀξίως εὐφημήσωμεν.

ΩΔέσποινα ἀγαθὴ, παρθένε θεοτόκε, λιταῖς τοῦ ἱεράρχου τὴν ποίμνην ταύτην σκέπε, φρούρει, καὶ πᾶσι φύλαττε.

## ΙΔΙΟΜΕΛΑ ΑΝΑΤΟΛΙΚΑ, ΛΕΓΟΜΕΝΑ

Ἐν τοῖς τῶν κυριακῶν ἑσπερινοῖς, ἐν ταῖς λιταῖς. ἦχος πρῶτος.

ΟΣταυρὸν ἑκουσίως καταδεξάμενος σωτὴρ, καὶ ταφὴν ὑπομείνας, καὶ ἀναστὰς ἐκ νεκρῶν Χριστὲ ὁ Θεὸς

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ὁ Θεὸς ἡμῶν, ὄλεσον ὡς οἰκτίρμων τῶν βαρβάρων τὸ θράσος τῇ δυνάμει σου, καὶ σῶσον τοὺς δοξάζοντας εὔσπλαγχνε, τὴν τριήμερόν σου ἀνάστασιν.

Τῷ ἀηττήτῳ σταυρῷ σου πεποιθότες οἱ θεόφρονες, τῶν ἐναντίων τρεπόμεθα νοητῶς τὰς ἐπαναστάσεις, κράζοντές σοι Χριστὲ ὁ Θεὸς, ἐσκύλευσας τὸν ᾅδην, καὶ τριήμερος ἀναστὰς ἐκ νεκρῶν, τοὺς ἐχθροὺς τοῦ σταυροῦ σου διασκέδασον, ὡς φιλάνθρωπος.

ἦχος β΄. Ἰδιόμελα ἀνατολ.

Δεῦτε λαοὶ προσκυνήσωμεν τὸν ἐκ νεκρῶν ἀναστάντα, καὶ πάντας φωτίσαντα, καὶ ἡμῶν τὸ γένος ἐλευθερώσαντα, ἐκ τῆς τοῦ ᾅδου τυραννίδος, διὰ τῆς τριημέρου αὐτοῦ ἐγέρσεως.

Ἐν τῷ σταυρῷ προσηλώθης Χριστὲ ὑπὸ τῶν παρανόμων, καὶ ἐν νεκροῖς ἐλογίσθης ὁ ἀθάνατος λόγος, καὶ ἐξανέστης ὡς Θεὸς τριήμερος ἐν δόξῃ, δωρούμενος τῷ κόσμῳ ζωὴν αἰώνιον, καὶ τὸ μέγα ἔλεος. ἦχος γ΄.

Κρυπτόμενον τὸν Πέτρον εὑροῦσα ἡ Μαγδαληνὴ Μαρία ἐβόα, τί ἐγκατελίπετε μόνον κρατηθέντα τὸν Χριστόν; οὔτε ὡς φίλῳ συνεπάθετε, οὔτε ὡς διδάσκαλον ἀπεμνημονεύσατε, κἂν ἡ συμπάθεια τοῦ θανάτου, πῶς οὐ συνήγαγεν ἡμᾶς; Δεῦτε ἴδετε κενὸν τὸν τάφον τοῦ καθημένου ἐν τοῖς ἀχράντοις κόλποις τοῦ πατρὸς, καὶ προσκυνήσατε τὸν ἔχοντα τὸ μέγα ἔλεος.

Οἱ φυλάσσοντες τὸν τάφον στρατιῶται, καὶ σφραγίσαντες τὸν λίθον Ἰουδαῖοι, ἀπαγγείλατε ἡμῖν, πῶς ἐψεύ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ἐψεύσασθε κατὰ τοῦ σωτῆρος, εἰ ἐσυλήθη ὁ θησαυρὸς, αἴτιοι οἱ τηροῦντες, εἰ δὲ ἀνέστη ἐκ νεκρῶν, τί οὐ πιστεύετε παράνομοι; ἀκούοντες, αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. ἦχος δ΄.

Ποῦ εἰσιν αἱ σφραγῖδες τοῦ μνήματος; ποῦ ἐστὶν ἡ τοῦ Πιλάτου κουστωδία, καὶ στρατιῶται μνῆμα τηροῦντες; πῶς ἐσυλήθη τὸ μνῆμα; πῶς μετετέθη ὁ ταφείς; μὴ συκοφαντεῖτε τὴν ἔγερσιν, θελήσει ἐσταυρώθη ὁ κύριος, καὶ γὰρ ἀνέστη ὡς ἠβουλήθη, καὶ ζωὴν τῇ οἰκουμένῃ ἐδωρήσατο.

Πρῶται τὴν ἀνάστασιν εἶδον γυναῖκες, ὅτι δι' αὐτῶν τὸ πρῶτον πτῶμα γέγονεν, εὐαγγελίστριαι ἀνεδείχθησαν τοῦ μεγάλου εὐαγγελισμοῦ, τοὺς Ἀποστόλους ἐξαποστείλασαι, πρὸς τὸ μνῆμα τὸ ζωοποιὸν, ὁ τὴν ἀφορμὴν τῆς ἁμαρτίας, δείξας ἀπαρχὴν τῆς σωτηρίας κύριε δόξα σοι. ἦχος πλ. α΄.

Ἐκ τοῦ ἀνάρχου φωτὸς, ἄκτιστον ὑπάρχον καὶ προαιώνιον φῶς, τῇ ἐν σαρκί σου φανερώσει τῷ ἀλαμπεῖ ἔπλησας φωτὸς βίον τῶν ἀνθρώπων, νεκροὺς δὲ σκότους ἐλυτρώσω, ὑπεισελθὼν τὰ καταχθόνια, καὶ πρὸς φῶς τὸ τῆς ἐγέρσεως ἐχειραγώγησας, εὐεργέτα κύριε δόξα σοι.

Τὴν δι' ἡμᾶς ἑκούσιον ταπείνωσίν σου ὑπερυψοῦμεν Χριστὲ, καὶ τὸ αἰώνιόν σου κράτος τοῦ βασιλεύοντος ἐν Σιὼν Δέσποτα ὑμνοῦμεν, ἐν ᾗπερ ὤφθης ἀποστόλοις

μετὰ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

μετὰ τὸ πάθος, καὶ τὴν ἔγερσιν, ὑπὸ πάσης προσκυνούμενος ἀεὶ τῆς κτίσεως, σὺν πατρὶ καὶ πνεύματι. Δόξα σοι. ἦχος πλ. β'.

Ὁ σταυρωθεὶς καὶ ταφεὶς ἑκουσίως, τριήμερος ἀνέστης, τὸν θάνατον σκυλεύσας, ὅτι πάντα δύνασαι Χριστὲ, σωτὴρ ἡμῶν δόξα σοι.

Τῶν ἀποστόλων ὁ χορὸς, ἐν τῇ Γαλιλαίᾳ ἐθεάσατό σε σωτὴρ καὶ προσκυνήσας ἐβόα, δόξα τῇ ἐγέρσει σου κύριε. ἦχος βαρύς.

Ἡ μὲν ἡμέρα τοῦ πάθους σου Χριστὲ, εἰς νύκτα μετέβαλετο, στερηθεῖσα ἡλίου, ἡ δὲ νὺξ ἐγέρσεως ὡς ἡμέρα λάμπει πιστοῖς, λαμπρυνομένη τῇ ἐξ ᾅδου ἐπανόδῳ σου τοῦ φωτοδότου, ταύτης πρὸς ἀρχὰς ἡμᾶς ἐλθόντας ἀνάγαγε πεφωτισμένους πρὸς τὸ τέλος, ἵνα φωτὶ φῶς προσλάβωμεν, σὲ προσκυνοῦντες τὸν ἀναστάντα τριήμερον.

Ἐκ τῶν βαθέων τοῦ ᾅδου κεκραγὼς Ἀδὰμ πρὸς σὲ τὸν πλάσαντα, παραδείσου ἠξιώθη, καὶ προσέχοντα κύριε ἐγνωρίσθη ὦτα τὰ σὰ εἰς τὴν φωνὴν αὐτοῦ ἀφανῶς δεομένου, ὅθεν κατεδέξω τοῦτο ἐνδυσάμενος τὴν φύσιν πάθεσι, προσομιλῆσαι καὶ θανάτῳ, καὶ ἀναστὰς συναναστήσας, τὸν πεπτωκότα εἰς τὸ ὑμνεῖν σε φιλάνθρωπε. ἦχος πλ. δ'.

Τὸν ἐκ νεκρῶν ἀναστάντα δοξολογήσωμεν, εἰ γὰρ καὶ σάρκα, καὶ ψυχὴν τὴν ἐμὴν ἀνέλαβεν ὁ Χριστὸς, ἐν τῷ αὐτοῦ πάθει διῃρέθησαν ἀλλήλων ἀμφότερα, ἀλλ'

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ἀλλ' ἡ θεότης ἀχώριστος ἑκατέρων διέμεινεν, ὅθεν ὁ μὲν ᾅδης ἐσκυλεύθη, τῆς ἀχράντου ψυχῆς ἐκεῖσε κατελθούσης, ἐν δὲ τῷ τάφῳ διαφθορὰν οὐκ οἶδε τὸ πανάγιον σῶμα, τοῦ λυτρωτοῦ, καὶ σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Δεσπότης ὑπάρχων οὐρανοῦ καὶ γῆς ἀκατάληπτε, ἔπαθες διὰ σταυροῦ, ἵνα ἐμοὶ ἀπάθειαν πηγάσῃς ὡς Θεὸς, ταφὴν κατεδέξω τριήμερον, καὶ ἀναστὰς ἐν δόξῃ, συναναστήσας τὸν Ἀδὰμ ὡς παντοδύναμος.

## ΕΥΛΟΓΙΑ ΤΗΣ ΤΡΑΠΕΖΗΣ ΕΝ ΤΩ ΠΡΩΙ.

Ὁ ἱερεὺς λέγει.

ΔΙ' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν ἐλέησον ἡμᾶς. Ἀμήν.

Οἱ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι, καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ, ἀνοίγεις σὺ τὴν χεῖρά σου, καὶ ἐμπιπλᾷς πᾶν ζῶον εὐδοκίας. Δόξα πατρὶ καὶ υἱῷ, Κύριε ἐλέησον, κύριε εὐλόγησον. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν.

Εἶτα ὁ ἱερεὺς λέγει.

ΚΥ'ριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, εὐλόγησον ✠ τὴν βρῶσιν, καὶ τὴν πόσιν ταύτην, τὴν ἐν τῇ τραπέζῃ τῶν δούλων σου, εἰς τὸ ὄνομα τοῦ Πατρὸς ✠ καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. Ἀμήν.

Ἀνι-

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Ἀνιστάμενοι δὲ ἐκ τῆς τραπέζης.

Ἐλεήμων καὶ οἰκτίρμων ὁ κύριος, τροφὴν ἔδωκε τοῖς φοβουμένοις αὐτὸν, καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Δόξα πατρὶ, καὶ νῦν, Κύριε ἐλέησον, κύριε εὐλόγησον. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν. Εἶτα λέγονται τὰ τροπάρ. κατὰ τὸ ἔθος, καὶ ἔπειτα ὁ ἱερεὺς λέγει, Κύριε ἐλέησον μεθ' ἡμῶν ὁ Θεός. Εἰς αἰῶνα αἰῶνος. Τῇ αὐτοῦ θείᾳ χάριτι, καὶ φιλανθρωπίᾳ πάντοτε, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Αἰωνία ἡ μνήμη τῶν μακαρίων κτητόρων τῆς ἁγίας μονῆς ταύτης, καὶ πάντων τῶν προκοπιασάντων, διακονησάντων, καὶ διακονούντων ἐν τῇ ἁγίᾳ μονῇ ταύτῃ, καὶ πολλὰ τὰ ἔτη τῷ μακαριωτάτῳ πατρὶ ἡμῶν Πάπα Ν. καὶ τῷ Βασιλεῖ ἡμῶν Ν. καὶ πάσῃ τῇ ἐν Χριστῷ ἡμῶν ἀδελφότητι.

## ΕΥΛΟΓΙΑ ΤΟΥ ΔΕΙΠΝΟΥ.

Ὁ ἱερεὺς λέγει.

Δι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν ἐλέησον ἡμᾶς. Ἀμήν.

Φάγονται πένητες, καὶ ἐμπλησθήσονται, καὶ αἰνέσουσι κύριον οἱ ἐκζητοῦντες αὐτὸν, ζήσονται αἱ καρδίαι αὐτῶν, εἰς αἰῶνα αἰῶνος. Δόξα πατρὶ, καὶ νῦν. Κύριε ἐλέησον, κύριε εὐλόγησον. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν. Ὁ ἱερεὺς, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν. εὐλό-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

εὐλόγησον, ✠ τὴν βρῶσιν, καὶ τὴν πόσιν ταύτην, τὴν ἐν τῇ τραπέζῃ τῶν δούλων σου, εἰς τὸ ὄνομα τοῦ πατρὸς ✠ καὶ τοῦ υἱοῦ, καὶ.

'Ανιστάμενοι λέγομεν.

Ε Υ̓́φρανας ἡμᾶς κύριε, ἐν τοῖς ποιήμασί σου, καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν σου ἀγαλλιασώμεθα. Ἐσημειώθη ἐφ' ἡμᾶς, τὸ φῶς τοῦ προσώπου σου κύριε. Ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου ἀπὸ καρποῦ, σίτου, οἴνου, καὶ ἐλαίου αὐτῶν ἐπληθύνθησαν. Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι, καὶ ὑπνώσω, ὅτι σὺ κύριε καταμόνας ἐπ' ἐλπίδι κατῴκησάς με. Δόξα πατρὶ καὶ νῦν, κύριε ἐλέησον, κύριε εὐλόγησον. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν. τὰ τροπάρ. ὡς ἔθος. ἔπειτα Κύριε ἐλέησον μεθ' ἡμῶν ὁ Θεός. Εἰς αἰῶνα αἰῶνος.

Α Ἰωνία ἡ μνήμη τῶν μακαρίων κτητόρων τῆς ἁγίας μονῆς ταύτης, καὶ πάντων τῶν προκοπιασάντων, διακονησάντων, καὶ διακονούντων ἐν τῇ ἁγίᾳ μονῇ ταύτῃ, καὶ πολλὰ τὰ ἔτη τῷ μακαριωτάτῳ πατρὶ ἡμῶν Πάπα Ν. καὶ τῷ Βασιλεῖ ἡμῶν Ν. καὶ πάσῃ τῇ ἐν Χριστῷ ἡμῶν ἀδελφότητι.

ΕΥΧΗ ΕΙΣ ΤΟ ΕΥΛΟΓΗΣΑΙ ΤΑ ΕΔΕΣΜΑΤΑ τῶν κρεῶν ἐν τῇ ἁγίᾳ Κυρ. τοῦ Πάσχα. λέγ. Χριστὸς ἀν. γ'.

Β. Τοῦ κυρίου δεηθῶμεν.

Ε Ἐπίσκεψαι κύριε Ἰησοῦ Χριστὲ εἰς τὰ ἐδέσματα τῶν κρεῶν, καὶ τῶν μόσχων, ἁγίασον αὐτὰ, ὡς ἡγίασας τὸν ἀμνὸν, ὃν σοὶ προσήγαγεν ὁ πιστὸς Ἀβραὰμ, καὶ

τὸν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

τὸν ἀρνὸν, ὅνπερ Ἄβελ σοι προσήνεγκεν εἰς ὁλοκάρπωσιν, ὁμοίως καὶ τὸν μόσχον τὸν σιτευτὸν, ὃν θῦσαι ἐκέλευσας τῷ υἱῷ σου τῷ πεπλανημένῳ, καὶ πάλιν ἐπανελθέντι πρὸς σὲ, ἵνα καθὼς αὐτὸς ἠξιώθη τῆς σῆς χάριτος ἀπολαῦσαι, οὕτω καὶ τῶν ἁγιασθέντων ὑπὸ σοῦ, καὶ εὐλογηθέντων ἀπολαύσωμεν εἰς τροφὴν πάντων ἡμῶν. Σὺ γὰρ εἶ ἡ ἀληθινὴ τροφὴ, καὶ ὁ δοτὴρ τῶν ἀγαθῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ πατρί.

Εὐχὴ εἰς τὸ εὐλογῆσαι τυρὸν, καὶ ὠά.

Γ. Τοῦ κυρίου δεηθῶμεν.

Δέσποτα κύριε ὁ Θεὸς ἡμῶν, ὁ κτίστης, καὶ δημιουργὸς τῶν ἁπάντων, εὐλόγησον τὸ γάλα τὸ πεπηγὸς, σὺν αὐτῷ δὲ καὶ τὰ ὠὰ, καὶ ἡμᾶς συντήρησον ἐν τῇ χρηστότητί σου, ὅπως οἱ μεταλαμβάνοντες αὐτῶν τῶν σῶν ἀφθονοπαρόχων δωρεῶν, ἐμπλησθῶμεν, καὶ τῆς ἀνεκλαλήτου σου ἀγαθότητος. Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστὶν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα τοῦ πατρὸς.

Δ. Εὐλογία τοῦ πυρός. Τοῦ κυρίου δεηθῶμεν.

Κύριε Θεὲ παντοκράτωρ, φῶς ἀτελεύτητον, κτίστα καὶ δημιουργὲ πάντων τῶν φώτων, εἰσάκουσον δεόμεθα καὶ ἡμῶν τῶν δούλων σου, καὶ εὐλογίᾳ ✠ ἁγίασον τὸ πῦρ τοῦτο. Σὺ κύριε ὁ φωτίζων πάντα ἄνθρωπον, ἐρχόμενον εἰν τὸν κόσμον, φώτισον καὶ ἡμῶν τὸν νοῦν, καὶ τῷ ζωοποιῷ πυρὶ τῆς ἀγάπης σου κατάφλεξον τὰς καρδίας, ἵνα τῷ σῷ πυρὶ συγκαυθέντες τὸ σῶμα, τῷ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

τῷ δὲ φωτὶ τὸν νοῦν φωτιζόμενοι, ἀπαλλαχθῶμεν τοῦ σκότους τῆς ἁμαρτίας, καὶ σοῦ βοηθοῦντος, εἰσελθεῖν δυνηθῶμεν εἰς ζωὴν τὴν αἰώνιον. Ἀμήν.

Ε. Εὐχὴ ἐπὶ ἀρρώστου. Τοῦ κυρίου δεηθῶμεν.

ΠΑτερ, ἅγιε, ἰατρὲ τῶν ψυχῶν, καὶ σωμάτων ἡμῶν, ὁ πέμψας τὸν μονογενῆ σου υἱὸν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, πᾶσαν νόσον ἰώμενον, καὶ ἐκ θανάτου λυτρούμενον, ἴασαι τὸν δοῦλόν σου. Ν. ἐκ τῆς περιεχούσης αὐτὸν σωματικῆς, καὶ ψυχικῆς ἀσθενείας, διὰ τῆς χάριτος τοῦ Χριστοῦ σου, καὶ ζωοποίησον αὐτὸν κατὰ τὸ σοὶ εὐάρεστον, ὅπως τὴν ὀφειλομένην σοι εὐχαριστίαν καὶ προσκύνησιν ἐν ἀγαθοεργίαις ἀποπληρώσῃ. πρεσβείαις τῆς παντυπερευλογημένης ἐνδόξου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, καὶ πάντων τῶν ἁγίων, ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστὶν ἡ βασιλεία τοῦ πατρὸς, καὶ.

Ζ. Εὐχὴ ἐπὶ πᾶσαν ἀρρωστίαν. Τοῦ κυρίου δεηθῶμεν.

ΔΕσποτα παντοκράτωρ, ἰατρὲ ψυχῶν καὶ τῶν σωμάτων, ὁ ταπεινῶν, καὶ ἀνυψῶν, ὁ παιδεύων, καὶ πάλιν ἰώμενος, τὸν ἀδελφὸν ἡμῶν Ν. τὸν ἀσθενοῦντα ἐπίσκεψαι ἐν τῷ ἐλέει σου. Ἔκτεινον τὸν βραχίονά σου τὸν πλήρη ἰάσεως, καὶ θεραπείας, καὶ ἴασαι αὐτὸν ἐξανιστῶν ἀπὸ κλίνης καὶ ἀρρωστίας, ἐπιτίμησον τῷ πνεύματι τῆς ἀσθενείας, ἀπόστησον ἀπ' αὐτοῦ πᾶσαν πληγὴν, πᾶσαν ἀλγηδόνα, πᾶσαν μάστιγα, πάντα πυρετὸν, ἢ ῥῖγος, καὶ εἰ ἔστι ἐν αὐτῷ πλημμέλημα,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

λημα, ἢ ἀνόμημα, ἄνες, ἄφες, συγχώρησον διὰ τὴν σὴν φιλανθρωπίαν. Ναὶ κύριε φεῖσαι τοῦ πλάσματός σου ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεί.

Τὸ Εὐαγγέλ. ἑωθ. γ'. φύλλ. 454. Ἀναστὰς ὁ Ἰησοῦς.

Η. Εὐχὴ εἰς ἀσθενοῦντα. Τοῦ κυρίου δεηθῶμεν.

Δέσποτα κύριε σαβαώθ, ὁ Θεὸς ἡμῶν ὁ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὁ ἐπὶ τῶν χερουβὶμ καθεζόμενος, καὶ ὑπὸ τῶν Σεραφὶμ ἀνυμνούμενος, ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν, ὁ ἀνατέλλων τὸν ἥλιον ἐπὶ πονηροὺς, καὶ ἀγαθοὺς, καὶ βρέχων ἐπὶ δικαίους καὶ ἀδίκους, ὁ διακρατῶν, καὶ διακυβερνῶν ἀρρήτῳ δυνάμει καὶ σοφίᾳ πᾶσαν τὴν κτίσιν, καὶ πᾶσαν πνοήν. ὁ παιδεύων, καὶ πάλιν ἰώμενος, δέξαι με προσερχόμενον τῇ σῇ ἀγαθότητι, καὶ μὴ βδελύξῃς με τὸν ἁμαρτωλὸν, ἀλλ' ἐπάκουσόν μου τῆς φωνῆς τῆς δεήσεώς μου, καὶ ἐξαπόστειλον βοήθειαν ἐξ ἁγίου κατοικητηρίου σου, σπλαγχνισθεὶς ἐπὶ τῷ πλάσματι τῶν χειρῶν σου, ὁ πάντων τὰς πρεσβείας ἐπακούων, καὶ ἴασαι τὸν δοῦλόν σου, Ν. ἐκ τῆς συνεχούσης αὐτὸν ἀσθενείας. Σὸν γάρ ἐστι τὸ ἐλεεῖν, καὶ σώζειν Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ πατρί.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

## Εὐχὴ ἐπὶ Οἰκίας περιεργαζομένης ὑπὸ πονηρῶν πνευμάτων.

Θ. Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε ὁ Θεὸς τῆς σωτηρίας ἡμῶν, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, ὁ τοῖς Χερουβὶμ ἐποχούμενος, ὁ ὑπεράνω πάσης Ἀρχῆς, καὶ Ἐξουσίας, καὶ Δυνάμεως, καὶ Κυριότητος· σὺ εἶ μέγας καὶ φοβερὸς ἐπὶ πάντας τοὺς περικύκλω σου, σὺ εἶ ὁ στήσας τὸν Οὐρανὸν ὡσεὶ καμάραν. σὺ εἶ ὁ ποιήσας τὴν γῆν ἐν τῇ ἰσχύϊ σου, καὶ ἀνορθώσας τὴν οἰκουμένην ἐν τῇ σοφίᾳ σου, ὁ σείων τὴν ὑπ' Οὐρανὸν ἐκ θεμελίων, οἱ δὲ στύλοι αὐτῆς ἀσάλευτοι, ὁ λέγων τῷ ἡλίῳ, καὶ οὐκ ἀνατέλλει. τῶν δὲ ἄστρων κατασφραγίζων ἀπειλῶν τῇ θαλάσσῃ, καὶ ξηραίνων αὐτήν, οὗ ὁ θυμὸς τήκει Ἀρχὰς καὶ Ἐξουσίας, καὶ πέτραι διετρίβησαν ἀπὸ σοῦ, πύλας χαλκᾶς συνέτριψας, καὶ μοχλοὺς σιδηροῦς συνέθλασας, τὸν ἰσχυρὸν ἔδυσας, καὶ τὰ σκεύη αὐτοῦ δέδωκας, τὸν τύραννον τῷ Σταυρῷ σου κατέβαλες, καὶ τὸν δράκοντα τῷ ἀγκίστρῳ τῆς ἐνανθρωπήσεώς σου εἵλκυσας, καὶ δεσμοῖς αὐτὸν ζόφου ταρταρώσας, συνέδησας, αὐτὸς οὖν Κύριε, ἡ ἀσφάλεια τῶν εἰς σὲ τὴν ἐλπίδα τιθεμένων, τὸ ὀχυρὸν τεῖχος τῶν εἰς σὲ ἐλπιζόντων, ἀπόστησον, φυγάδευσον, καὶ ἀπέλασον πᾶσαν διαβολικὴν ἐνέργειαν, καὶ πᾶσαν σατανικὴν ἔφοδον, πᾶσαν ἐπιβουλὴν ἐναντίας, καὶ ἐπικειμένης δυνάμεως ἀπὸ τῆς στέγης ταύτης, καὶ τῶν περιεχομένων ὑπ' αὐτήν, τὴν σημείωσιν τοῦ φοβεροῦ κατὰ δαιμόνων τροπαίου τοῦ Σταυροῦ

σου

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου –
Μουσείο Τυπάλδων Ιακωβάτων

σου φορούντων, καὶ ἐπικεκλημένων τὸ ὄνομά σου τὸ ἀγαθόν. Ναὶ Κύριε, ὁ τὴν λεγεῶνα τῶν δαιμόνων ἀποδιώξας, καὶ τῷ κωφῷ καὶ ἀλάλῳ δαίμονι, καὶ ἀκαθάρτῳ πνεύματι, τὴν τοῦ κεκρατημένου ὑπὸ τῶν ἀνθρώπου ἔξοδον, ἀνεπίστροφον ἐπιτάξας, ὁ πᾶσαν τὴν φάλαγγα τῶν ἀοράτων ἐχθρῶν ἡμῶν ἐξολοθρεύσας, τοῖς δὲ πιστοῖς καὶ ἐπεγνωκόσι σε φήσας, ἰδοὺ δίδωμι ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ, αὐτὸς Δέσποτα πάσης βλάβης καὶ ἐπηρείας ἀνωτέρους πάντας τοὺς ἐν τῷ οἴκῳ τούτῳ διαφύλαξον, ῥυόμενος ἀπὸ φόβου νυκτερινοῦ, ἀπὸ βέλους πετομένου ἡμέρας, ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου, ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ. ἵνα διὰ σῆς οἱ σοὶ δοῦλοι, καὶ αἱ σαὶ δουλίδες, καὶ τὰ νήπια ἀπολαύοντες βοηθείας, καὶ Ἀγγελικῷ στρατοπέδῳ φρουρούμενοι, ὡς εἷς ἅπαντες ἐν ὁμονοίᾳ πιστῶς ψάλλωσι. Κύριος ἐμοὶ βοηθὸς, καὶ οὐ φοβηθήσομαι, τί ποιήσει μοι ἄνθρωπος; καὶ πάλιν, οὐ φοβηθήσομαι κακὰ, ὅτι σὺ μετ' ἐμοῦ εἶ, ὅτι σὺ εἶ ὁ Θεὸς, κραταίωμά μου, ἰσχυρὸς, ἐξουσιαστὴς, ἄρχων εἰρήνης, Πατὴρ τοῦ μέλλοντος αἰῶνος, καὶ ἡ Βασιλεία σου, Βασιλεία αἰώνιος, καὶ σοῦ μόνου ἐστὶν ἡ Βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

## Εὐχὴ, ἤτοι Ἐξορκισμὸς τοῦ μεγάλου πατρὸς ἡμῶν Βασιλείου, πρὸς τοὺς πάσχοντας ἀπὸ δαιμόνων, καὶ πρὸς ἑκάστην ἀσθένειαν.

I. Τοῦ κυρίου δεηθῶμεν.

Ὁ Θεὸς τῶν θεῶν καὶ Κύριος τῶν Κυρίων, ὁ τῶν πυρίνων ταγμάτων Δημιουργὸς, καὶ τῶν ἀΰλων Δυνάμεων Τεχνουργὸς, ὁ τῶν ἐπουρανίων, καὶ τῶν ἐπιγείων Τεχνίτης, ὃν εἶδεν οὐδεὶς ἀνθρώπων, οὐδὲ ἰδεῖν δύναται, ὃν φοβεῖται, καὶ τρέμει πᾶσα ἡ Κτίσις, ὁ τὸν τραχηλιάσαντα ποτὲ Ἀρχιστράτηγον, καὶ τὴν τούτου λειτουργίαν παρακοῇ ἀθετήσαντα, ῥίψας ἐπὶ τὴν γῆν, καὶ τοὺς συναποστάτας αὐτῷ Ἀγγέλους δαίμονας γινομένους, εἰς σκότωσιν βυθοῦ ταρταρώσας· δὸς τὸν ἀφορκισμὸν τοῦτον ἐπὶ τῷ φρικτῷ ὀνόματί σου τελούμενον, φόβῳ γενέσθαι αὐτῷ προηγουμένῳ τῆς πονηρίας, καὶ πάσαις ταῖς φάλαγξιν αὐτοῦ ταῖς συνεκπεσούσαις αὐτῷ ἐκ τῆς ἄνω φωτοφορίας, καὶ τρέψον αὐτὸν εἰς φυγὴν, καὶ ἐπίταξον αὐτῷ, καὶ τοῖς δαίμοσιν αὐτοῦ, ἀναχωρῆσαι παντελῶς, ἵνα μή τι βλαβερὸν κατὰ τὴν ἐσφραγισμένην εἰκόνα ἐργάσηται, ἀλλὰ λαβέτωσαν ἰσχὺν οὗτοι οἱ ἐσφραγισμένοι κραταιότητος, τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. Σοῦ γὰρ ὑμνεῖται, καὶ μεγαλύνεται, καὶ παρὰ πάσης πνοῆς ἐν φόβῳ δοξάζεται τὸ πανάγιον ὄνομα, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Κ. Ἑτέρα εὐχὴ τοῦ αὐτοῦ. Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Τὸν τυραννήσαντα διάβολον, καὶ τὴν σὺν αὐτῷ στρατιὰν τῶν δαιμόνων καταλύσας τῇ ἐπιφανείᾳ τοῦ Χριστοῦ σου, ἐπίφανον ἐπὶ τὸ πλάσμα σου τοῦτο, ὃ κατὰ τὴν εἰκόνα τὴν σὴν ἐποίησας, τὸ καταδυναστευόμενον ὑπὸ τῶν ἀντικειμένων πνευμάτων. Ἐπιτίμησον ἅγιε τοῖς ἀκαθάρτοις πνεύμασιν, ὃν τρόπον ἐπετίμησας τῷ λεγεῶνι τῶν πνευμάτων καὶ τῷ κωφῷ, καὶ ἀλάλῳ πνεύματι, καὶ καθάρισον τὸ πλάσμα σου, καὶ μὴ παραδῷς τοῖς θηρείοις ψυχὴν ἐξομολογουμένην σοι, ἀλλ' ἐλέησον αὐτὴν καὶ ἡμᾶς, εἰς δόξαν, καὶ ἔπαινον τῆς ἁγίας σου ἐκκλησίας, διὰ τοῦ μονογενοῦς σου υἱοῦ, δι' οὗ, καὶ μεθ' οὗ σοὶ ἡ δόξα τῷ πατρὶ, σὺν τῷ ἁγίῳ σου πνεύματι, νῦν καὶ ἀεί.

Λ. Εὐχὴ ἑτέρα, τοῦ αὐτοῦ. Τοῦ Κυρίου δεηθῶμεν.

Ἐξορκίζω σε τὸν ἀρχέκακον τῆς βλασφημίας, τὸν ἀρχηγὸν τῆς ἀνταρσίας, καὶ αὐτουργὸν τῆς πονηρίας. Ἐξορκίζω σε τὸν ἐκριφθέντα ἐκ τῆς ἄνω φωτοφορείας, καὶ σκότῳ βυθοῦ κατενεχθέντα διὰ τὴν ἔπαρσιν. Ἐξορκίζω σε, καὶ πᾶσαν τὴν ἐκπεσοῦσαν δύναμιν τῆς σῆς ἀκόλουθον προαιρέσεως. Ὁρκίζω σε Πνεῦμα ἀκάθαρτον, κατὰ τοῦ Θεοῦ Σαβαὼθ, καὶ πάσης στρατιᾶς Ἀγγέλων Θεοῦ, Ἀδωναῒ, Ἐλωῒ, Θεοῦ παντοκράτορος, ἔξελθε, καὶ ἐπαναχώρησον ἀπὸ τοῦ δούλου τοῦ Θεοῦ (Ν.). Ἐξορκίζω σε κατὰ τοῦ Θεοῦ τοῦ πάντα λόγῳ κτίσαντος, καὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ μονογενοῦς Υἱοῦ



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

αὐτοῦ τοῦ πρὸ τῶν αἰώνων ἀῤῥήτως, καὶ ἀπαθῶς ἐξ αὐτοῦ γεννηθέντος, τοῦ τὴν ἀόρατον καὶ ὁρατὴν κτίσιν δημιουργήσαντος, τοῦ κατ' εἰκόνα ἰδίαν τὸν ἄνθρωπον πλαστουργήσαντος, τοῦ νόμῳ πρότερον φυσικῶς ταῦτα παιδαγωγήσαντος, καὶ Ἀγγέλων ἐπιστασίᾳ φυλάξαντος, τοῦ ὕδατι τὴν ἁμαρτίαν κατακλύσαντος ἄνωθεν, καὶ τὰς ὑπ' Οὐρανὸν ἀβύσσους ἀνασομώσαντος, καὶ γίγαντας ἀσεβήσαντας καταφθείραντος, καὶ πύργον τῶν Βεβήλων κατασείσαντος, καὶ γῆν Σοδόμων καὶ Γομόῤῥων πυρὶ θείῳ τεφρώσαντος, οὗ μάρτυς καπνὸς ἀκοίμητος ἐξατμίζεται· τοῦ ῥάβδῳ πέλαγος ῥήξαντος, καὶ Λαὸν ἀβρόχοις ποσὶ περάσαντος, καὶ τύραννον Φαραὼ, καὶ στρατιὰν θεομάχον εἰς αἰῶνα τοῖς κύμασι κατακλύσαντος τὸν τῆς ἀσεβείας πόλεμον, τοῦ ἐπ' ἐσχάτων ἐκ Παρθένου ἁγνῆς σαρκωθέντος ἀνεκλαλήτως, καὶ σώας τὰς σφραγῖδας τῆς ἁγνείας φυλάξαντος, τοῦ πλῦσαι βαπτίσματι τὸν παλαιὸν ἡμῶν ῥύπον εὐδοκήσαντος, ὃν ἡμεῖς διὰ τῆς παραβάσεως ἐπεσπασάμεθα. Ἐξορκίζω σε κατὰ τοῦ βαπτισθέντος ἐν Ἰορδάνῃ, καὶ τύπον ἡμῖν ἀφθαρσίας ἐν ὕδατι κατὰ χάριν παρεχομένου, ὃν Ἄγγελοι, καὶ πᾶσαι αἱ Δυνάμεις τῶν Οὐρανῶν κατεπλάγησαν, τὸν σαρκωθέντα Θεὸν βλέπουσαι μεσιάσαντα, ὅτε ὁ ἄναρχος Πατὴρ τὴν ἄναρχον γέννησιν τοῦ Υἱοῦ ἀπεκάλυψε, καὶ τοῦ ἁγίου Πνεύματος ἡ κατάβασις τῆς Τριάδος τὴν ἕνωσιν ἐμαρτύρησεν. Ὁρκίζω σε κατ' ἐκείνου τοῦ ἀνέμους ἐπιτιμήσαντος,

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

σαντος, καὶ κλύδωνα θαλάσσης πραΰναντος, τοῦ στίφη δαιμόνων ἐκδιώξαντος, καὶ κόρας ὀμμάτων ἀπὸ μήτρας λειπούσας πηλῷ τυφλοῖς ἀναβλέψαι ἐναρμόσαντος, καὶ τὴν ἀρχαίαν τοῦ γένους ἡμῶν διάπλασιν ἀνακαινίσαντος, καὶ ἀλάλοις τὸ λαλεῖν ἀνορθώσαντος, τὰ στίγματα λέπρας ἀποσμήξαντος, καὶ νεκροὺς ἐκ τῶν τάφων ἀναστήσαντος, τοῦ μέχρι ταφῆς τοῖς ἀνθρώποις ὁμιλήσαντος, καὶ τὸν ᾅδην ἐγέρσει σκυλεύσαντος, καὶ πᾶσαν τὴν ἀνθρωπότητα ἀνάλωτον τῷ θανάτῳ κατασκευάσαντος. Ὁρκίζω σε κατὰ τοῦ Θεοῦ τοῦ παντοκράτορος, τοῦ τῇ θεοπνεύστῳ φωνῇ σου ἀνθρώπους ἐμπνεύσαντος, καὶ τοῖς Ἀποστόλοις συμπράξαντος, καὶ πᾶσαν τὴν Οἰκουμένην εὐσεβείας πληρώσαντος. Φοβήθητι, Φύγε, Δραπέτευσον, Ἀναχώρησον δαιμόνιον ἀκάθαρτον, καὶ ἐναγὲς, καταχθόνιον, βύθιον, ἀπατηλὸν, ἄμορφον, θεατὸν δι' ἀναίδειαν, ἀθέατον διὰ τὴν ὑπόκρισιν, ὅπου ἂν τυγχάνῃς, ἢ ἀπέρχῃ, ἢ αὐτὸς εἶ ὁ Βεελζεβοὺλ, ἢ κατασείων, ἢ δρακοντοειδὴς, ἢ θηριοπρόσωπος, ἢ ὡς ἀτμὶς, ἢ ὡς καπνὸς φαινόμενος, ἢ ὡς ἄρσεν, ἢ ὡς θῆλυ, ἢ ὡς ἑρπετὸν, ἢ ὡς πετεινὸν, ἢ νυκτόλαλον, ἢ κωφὸν, ἢ ἄλαλον, ἢ ἐκφοβοῦν ἐξ ἐπιδρομῆς, ἢ σπαράσσον, ἢ ἐπιβουλεῦον, ἢ ἐν ὕπνῳ βαρεῖ, ἢ ἐν νόσῳ, ἢ ἐν μαλακίᾳ, ἢ ἐν γέλωτι ῥέμβον, ἢ δάκρυα φιλήδονα ἐμποιοῦν, ἢ λάγνον, ἢ δυσῶδες, ἢ ἐπιθυμητικὸν, ἢ ἡδονικὸν, ἢ φαρμακόφιλον, ἢ ἐρωτομανὲς, ἢ ἀστρομαγικὸν, ἢ



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ἐνοικηματικὸν, ἢ ἀναιδὲς, ἢ φιλόνικον, ἢ ἀκατά-
στατον, ἢ τῇ σελήνῃ συναλλοιούμενον, ἢ χρόνῳ τινὶ
συντρεπόμενον, ἢ ὀρθρινὸν, ἢ μεσημβρινὸν, ἢ μεσονυ-
κτικὸν, ἢ ἀωρίας τινὸς, ἢ αὐγῆς, ἢ αὐτομάτως συν-
ήντησας, ἢ ἐπέμφθης ὑπό τινος, ἢ προσεπέλασας
ἄφνω, ἢ ἐν θαλάσσῃ, ἢ ἐν ποταμῷ, ἢ ὑπὸ γῆς, ἢ
φρέατος, ἢ κρημνοῦ, ἢ ἐκ λάκκου, ἢ λίμνης, ἢ καλα-
μῶνος, ἢ ὕλης, ἢ ἀπογαίου, ἢ ἀκαθάρτου, ἢ ἄλσους,
ἢ δρυμῶνος, ἢ δένδρου, ἢ ὀρνέου, ἢ βροντῆς, ἢ ἐκ στέ-
γης λουτροῦ, ἢ ἐν κολυμβήθρᾳ ὑδάτων, ἢ ἐκ μνήμα-
τος εἰδωλικοῦ, ἢ ὅθεν ἴσμεν, καὶ οὐκ ἴσμεν, ἢ γνω-
στὸν, ἢ ἄγνωστον, καὶ ἐξ ἀπερισκέπτου τόπου, μερίσθη-
τι, καὶ ἀπαλλάγηθι, αἰσχύνθητι τὴν εἰκόνα τὴν χειρὶ Θεοῦ
πλασθεῖσαν, καὶ μορφωθεῖσαν. Φοβήθητι τοῦ σαρκω-
θέντος Θεοῦ τὸ ὁμοίωμα, καὶ μὴ ἐγκρυβῇς εἰς τὸν δοῦ-
λον τοῦ Θεοῦ (Ν.), ἀλλὰ ῥάβδος σιδηρᾶ, καὶ κά-
μινος πυρὸς, καὶ τάρταρος, καὶ ὀδόντων βρυγμὸς,
ἄμυνα τῆς παρακοῆς σε περιμένει. Φοβήθητι. φιμώ-
θητι, φύγε, μὴ ὑποστρέψῃς, μὴ ὑποκρυβῇς μεθ᾽ ἑτέ-
ρας πονηρίας πνευμάτων ἀκαθάρτων, ἀλλὰ ἄπελ-
θε εἰς γῆν ἄνυδρον, ἔρημον, ἀγεώργητον, ἣν ἄν-
θρωπος οὐκ οἰκεῖ, Θεὸς μόνος ἐπισκοπεῖ, ὁ δεσ-
μεύων πάντας τοὺς βασκαίνοντας, καὶ ἐπιβουλεύοντας
τῇ αὐτοῦ εἰκόνι, καὶ σειραῖς ζόφου ταρταρώσας εἰς μα-
κρὰν νύκτα καὶ ἡμέραν σὲ πάντων τῶν κακῶν πεπειρα-
μένον, καὶ ἐφευρετὴν διάβολον. Ὅτι μέγας ὁ φόβος

τοῦ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

τοῦ Θεοῦ, καὶ μεγάλη ἡ δόξα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μ. Εὐχὴ εἰς τὸ εὐλογῆσαι ποίμνην. Τοῦ κυρίου δεηθ.

Δέσποτα κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐξουσίαν ἔχων πάσης κτίσεως, σοῦ δεόμεθα, καὶ σὲ παρακαλοῦμεν, ὡς ηὐλόγησας, καὶ ἐπλήθυνας τὰ ποίμνια τοῦ Πατριάρχου Ἰακὼβ, εὐλόγησον καὶ τὴν ποίμνην τῶν κτηνῶν τούτων τοῦ δούλου σου Ν. καὶ πλήθυνον, καὶ ἐνδυνάμωσον αὐτὴν, καὶ ποίησον αὐτὴν εἰς χιλιάδας, καὶ ῥῦσαι ταύτην ἐκ τῆς καταδυναστείας τοῦ διαβόλου, καὶ τῶν ἀλλοφύλων, καὶ πάσης ἐπιβουλῆς ἐχθρῶν, καὶ αὔρας θανατικῆς, καὶ λοιμικῆς νόσου. Περιφρούρησον αὐτὴν δι' ἁγίων ἀγγέλων σου, πᾶσαν ἀσθένειαν, πάντα φθόνον, καὶ πειρασμὸν φαρμακείας, καὶ γοητείας ἐξ ἐνεργείας ὑπερχομένης τοῦ διαβόλου ἀποδιώκων ἐξ αὐτῆς. Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα τοῦ πατρὸς, καὶ τοῦ.

Ν. Ἀκολουθία εἰς Κάμινον. Τοῦ κυρίου δεηθῶμεν.

Ὁ Θεὸς ὁ αἰώνιος, ὁ τὴν ἑπταπλάσιον κάμινον καὶ τὴν φλόγα τὴν ἐν Βαβυλῶνι εἰς δρόσον μεταβαλὼν, καὶ τοὺς ἐν αὐτῇ βληθέντας ὑπὸ τοῦ Βασιλέως Ναβουχοδονόσορ ἁγίους τρεῖς παῖδας Ἀνανίαν, Ἀζαρίαν, καὶ Μισαὴλ σώους διαφυλάξας, αὐτὸς εὐλόγησον, καὶ τὴν κάμινον ταύτην διὰ τὸ μέγα σου ἔλεος, καὶ εὐλόγησον τὰ ἔργα τῶν χειρῶν τῶν δούλων σου, καὶ εὐόδωσον

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

δῶσον αὐτὰ ἐν τῇ ἀγαθοεργίᾳ σου, κατεύθυνον αὐτὰ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, πρεσβείαις τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, δυνάμει τοῦ τιμίου, καὶ ζωοποιοῦ σταυροῦ, προστασίαις τῶν παμμεγίστων ταξιαρχῶν Μιχαὴλ, καὶ Γαβριὴλ, καὶ πασῶν τῶν ἐπουρανίων δυνάμεων ἀσωμάτων, τοῦ τιμίου ἐνδόξου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων, καὶ πανευφήμων ἀποστόλων, τοῦ ἁγίου ἱερομάρτυρος Κυπριανοῦ, τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Νικολάου Ἀρχιεπισκόπου Μύρων τῆς Λυκίας τοῦ Θαυματουργοῦ, καὶ πάντων τῶν ἁγίων. Ὅτι σὺ εἶ ὁ εὐλογῶν, καὶ ἁγιάζων τὰ σύμπαντα Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ πατρὶ, καὶ τῷ υἱῷ.

Δέσποτα κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ πάντα ἐφορῶν, ὁ εὐλογήσας τὸν οἶκον Λάβαν ἐπὶ τῇ εἰσόδῳ τοῦ Ἰακὼβ, καὶ τὸν οἶκον Πεντεφρεὶ ἐπὶ τῇ εἰσόδῳ τοῦ Ἰωσήφ. ὁ εὐλογήσας τὸν οἶκον Ἀμενδρὰχ ἐπὶ τῇ εἰσόδῳ τῆς κιβωτοῦ, ὁ διὰ τῆς ἐνανθρωπήσεως τοῦ Χριστοῦ σου σωτηρία γενόμενος τοῦ οἴκου Ζακχαίου, αὐτὸς εὐλόγησον τὴν κάμινον ταύτην, καὶ τοὺς ἐνεργοῦντας αὐτὴν τῷ σῷ φόβῳ διατήρησον, καὶ ἀβλαβεῖς αὐτοὺς ἀπὸ τῶν ἀντικειμένων διαφύλαξον, καὶ τὴν σὴν εὐλογίαν ἐξ ὕψους κατοικητηρίου σου κατάπεμψον αὐτοῖς, καὶ εὐλόγησον, καὶ πλήθυνον τὰ ἔργα τῶν χειρῶν αὐτῶν, ἵνα πάντοτε εὐχαρίστως δοξάζωμεν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ζωμδυ τὸ πανάγιον ὄνομά σου τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεί. εἶτα λέγει.

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως τῶν ἁμαρτιῶν τῶν δούλων σου Ν. Ν. καὶ ὑπὲρ τοῦ εὐλογηθῆναι, καὶ πληθυνθῆναι τὰ ἔργα τῶν χειρῶν τῶν κοπιώντων ἐν τῇ καμίνῳ, δεόμεθά σου κύριε ἐπάκουσον καὶ ἐλέησον.

Ἐπάκουσον ἡμῶν ὁ σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς, καὶ τῶν ἐν θαλάσσῃ μακρὰν, καὶ ἵλεως γενοῦ ταῖς ἁμαρτίαις ἡμῶν, καὶ ἐλέησον ἡμᾶς, ἐλεήμων γὰρ, καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ πατρὶ.

Καὶ ῥαντίζει τὴν κάμινον καὶ τοὺς ὄντας ἐκεῖ.

Ξ. Εὐχὴ εἰς τὸ εὐλογῆσαι δίκτυα. Τοῦ κυρίου δεηθ.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐκ πέντε ἄρτων, καὶ δύο ἰχθύων πεντάκις χιλίους κορέσας, καὶ ἐκ τῶν περισσευμάτων πλῆθος συναχθῆναι παρασκευάσας, αὐτὸς δέσποτα παντοδύναμε, καὶ τὰ προκείμενα δίκτυα εὐλόγησον, διὰ πρεσβειῶν τῆς ὑπερευλογημένης ἐνδόξου δεσποίνης ἡμῶν θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, τοῦ ἁγίου ἐνδόξου, καὶ πανευφήμου ἀποστόλου, καὶ πρωτοκορυφαίου τῶν ἀποστόλων Πέτρου, καὶ τοὺς ἐξ αὐτῶν μεταλαμβάνοντας ἰχθύων, ἐν εἰρήνῃ καὶ ὑγείᾳ ψυχῆς, καὶ σώματος διαφύλαξον, ὅτι σὺ εἶ ὁ δοτὴρ πάντων τῶν ἀγαθῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπο-

μεν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

μένῳ τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι.

Ο. Εὐχὴ τῆς μετάξης εἴτε σηρικῆς πλοκῆς.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καθήμενος ἐπὶ τῶν χερουβὶμ, καὶ ὑμνούμενος ὑπὸ τῶν σεραφὶμ, καὶ ὑπὸ ἀναριθμήτων ἀγγέλων δοξαζόμενος ὁ ποιῶν μεγάλα, καὶ θαυμαστὰ, καὶ ἐξαίσια ἔργα, ἃ οὔτε ἔννοια καταλαβέσθαι δύναται, οὔτε λόγος ἑρμηνεῦσαι ἰσχύει, αὐτὸς οὖν κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὸν θεράποντά σου Ἀβραὰμ πατέρα πολλῶν ἐθνῶν ἀποκαλέσας, καὶ δοὺς αὐτῷ μετὰ γῆρας, υἱὸν τὸν Ἰσαὰκ, καὶ εἰπὼν αὐτῷ, Εὐλογήσας πληθύνων πληθυνῶ τὸ σπέρμα σου, ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ, καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης, ὁ γνῶσιν, καὶ σύνεσιν, καὶ σοφίαν, καὶ πλοῦτον Δαβὶδ, καὶ Σολομῶντι τῷ αὐτοῦ υἱῷ χαρισάμενος, καὶ εὐλογήσας αὐτοὺς, αὐτὸς εὐλόγησον, καὶ τὸν σκώληκα τοῦτον τῆς μετάξης τὸν ἐξελθόντα, διὰ τὴν σὴν ἄπειρον ἀγαθότητα, ἐκ τῆς ὀσφύος, καὶ τοῦ ποδὸς τοῦ σοῦ θεράποντος Συμεὼν, καὶ πλήθυνον αὐτὸν ἐν τῷ παρόντι οἴκῳ, καὶ καρποφόρον ποίησον, καὶ ἀκρατον καὶ ἀβλαβῆ ἀνάδειξον ἐκ παντὸς ῥίγους, καὶ φθοροποιοῦ πάθους. Ναὶ κύριε ὁ Θεὸς ἡμῶν δεόμεθά σου, ἵνα ἐπιβλέψῃς ἐπὶ τὸν σκώληκα τοῦτον τῆς μετάξης τὸν ποιοῦντα τοιαύτην θαυμαστὴν, καὶ ἐξαίρετον ἐργασίαν, καὶ εὐλόγησον αὐτὸν, καὶ διαφύλαξον αὐτὸν ἀπὸ πάσης φαρμακείας, καὶ ἐπαοιδίας, καὶ παντὸς βασκάνου, ἀπὸ βλέμματος, καὶ ὁράσεως βλαπτικῆς.

δι'ὸ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

δὸς τοῖς ἐργαζομένοις αὐτὸν ἵνα μὴ μάτην κοπιῶσιν. ἀλλὰ πλουσίως τῆς εὐλογίας σου ταύτης, καὶ δωρεᾶς ἐμπλησθῆναι ἀξίωσον. εἰς σὲ πᾶσαν τὴν ἐλπίδα ἡμῶν ἐθέμεθα, πᾶσαν ὀργὴν, καὶ νόσον ἐπερχομένην, ἀβλαβερῶς ἀποδίωξον, καὶ διασκέδασον ἀπ' αὐτοῦ. πρεσβείαις τῆς παναγράντου σου μητρὸς, καὶ τοῦ σοῦ θεράποντος Συμεών. ὅτι σὺ εἶ ὁ εὐλογῶν, καὶ ἁγιάζων τὰ πάντα Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ πατρὶ καὶ τῷ υἱῷ.

Τάξις γινομένη εἰς Χωράφιον ἢ εἰς Ἀμπελῶνα, ἢ εἰς Κῆπον, εἰ συμβῇ βλάπτεσθαι ὑπὸ ἑρπετῶν, ἢ ἄλλων εἰδῶν.

Π.

Χρὴ γίνεσθαι Λειτουργίαν, καὶ ἅπτειν Κανδήλαν τοῦ ἁγίου Τρύφωνος, ἢ τοῦ ἁγίου Εὐσταθίου, ἢ τοῦ ἁγίου Ἰουλιανοῦ, ἢ καὶ ἀμφοτέρων, καὶ μετὰ τὴν θείαν Λειτουργίαν λαβεῖν ἔλαιον ἐκ τῶν Κανδήλων, καὶ ὕδωρ τῶν ἁγίων Θεοφανείων, καὶ ἐπιῤῥαίνων σταυροειδῶς ὁ Ἱερεὺς τὸ Χωράφιον, ἢ τὸ Ἀμπέλιον, ἢ τὸν Κῆπον, λέγει τὰς εὐχὰς ταύτας. Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν ἀρχῇ τῆς δημιουργίας σου ποιήσας τὸν Οὐρανὸν καὶ τὴν γῆν, καὶ τὸν μὲν Οὐρανὸν κατακοσμήσας διὰ τῶν μεγάλων φωστήρων, ὥστε φαίνειν ἐπὶ τῆς γῆς, καὶ θαυμάζεσθαι δι' αὐτῶν σὲ τὸν μόνον Δημιουργὸν καὶ Δεσπότην τῆς κτίσεως, τὴν δὲ γῆν κατακοσμήσας χλόῃ, καὶ χόρτῳ, καὶ ποικιλίᾳ σπερμάτων σποσίμων κατὰ γένος, καὶ πᾶσιν ἄνθεσι μορφώσας

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

φώτας εἰς ἐυσημίαν, καὶ ἐυλογήσας αὐτὴν, αὐτὸς καὶ νῦν Δέσποτα ἐπίβλεψον ἐξ ἁγίου κατοικητηρίου σου ἐπὶ τὸ κτῆμα τοῦτο, καὶ ἐυλόγησον αὐτὸ, φύλαξον ἀπὸ πάσης φαρμακίας, καὶ ἐπαοιδίας, καὶ παντὸς κακοῦ, περιεργείας τε πονηρᾶς, καὶ πανουργίας ἀνθρώπων πονηρῶν, καὶ δὸς αὐτῷ προσφέρειν καρποὺς κατὰ καιρὸν πεπληρωμένους τῆς ἐυλογίας σου, καὶ θηρίον, καὶ ἑρπετὸν, καὶ πᾶσαν ὀργὴν καὶ νόσον ἐπερχομένην βλαβερῶς ἀπόδιωξον ἐξ αὐτοῦ. Ὅτι ἡγίασαι, καὶ δεδόξασαι τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἰρήνη. Τὰς κεφαλὰς ὑμῶν τῷ κυρίῳ κλίνατε.

Δέσποτα κύριε ὁ Θεὸς ἡμῶν ὁ ἐν τῇ ἐνσάρκῳ σου οἰκονομίᾳ ἐυλογήσας τὴν Βηθλεὲμ, καὶ Γεθσημανῆ, καὶ πρώην τὸν οἶκον Ἰακὼβ, ὃς καὶ ἐυλογηθεὶς Ἰσραὴλ μετωνομάσθη, ὁ καὶ τὸν οἶκον Δαβὶδ ἐυλογήσας, αὐτὸς ἐυλόγησον, καὶ τὸ κτῆμα τοῦτο, καὶ ποίησον αὐτὸ ἐπ' ἐυλογίαις καρποφορεῖν, πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, δυνάμει τοῦ τιμίου, καὶ ζωοποιοῦ σταυροῦ τοῦ τιμίου ἐνδόξου προφήτου προδρόμου, καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τῶν ἁγίων καλλινίκων μαρτύρων, τῶν ἁγίων ἐνδόξων μεγάλων μαρτύρων Τρύφωνος, Εὐσταθίου, καὶ Ἰουλιανοῦ,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

λίανοῦ, τοῦ ἁγίου. Ν. καὶ πάντων τῶν ἁγίων, ὅτι σὺ εἶ ὁ εὐλογῶν, καὶ ἁγιάζων τὰ σύμπαντα, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου πατρὶ, καὶ τῷ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καί.

### Εὐχὴ ἐπὶ σίτου μιανθέντος, ἢ ἀλεύρου, ἢ εἴδους τινός.

Ρ. Τοῦ κυρίου δεηθῶμεν.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τῇ κατὰ σάρκα σου οἰκονομίᾳ διαστελλάμενος μὴ τὰ εἰς πορευόμενα κοινοῦν τὸν ἄνθρωπον, ἀλλὰ πάντα καθαρὰ εἶναι τοῖς καθαροῖς, διὰ τοῦ σκεύους τῆς ἐκλογῆς Παύλου τοῦ σοῦ ἀποστόλου διδάξας ἡμᾶς, πάντα τὰ ὑπὸ σοῦ κτισθέντα καλὰ εἶναι πιστεύειν, διὰ θείου λόγου τῆς πρὸς σὲ ἐντεύξεως ἁγιαζόμενα, αὐτὸς, καὶ νῦν δέσποτα συμπαθῶν ταῖς ἀσθενείαις ἡμῶν, εὐλόγησον τὸν σῖτον τοῦτον τῇ σῇ χάριτι, καὶ φιλανθρωπίᾳ διὰ τῆς τοῦ ὕδατος τούτου τοῦ ἐπὶ τῷ σῷ ὀνόματι ἁγιασθέντος εὐλογίας, καὶ ἐπιρραντήσεως, καὶ πάντα μολυσμὸν ἢ δισταγμὸν ἐκ τοῦ ἐν αὐτῷ ἐμπεσόντος ἀκαθάρτου, καὶ μεθοδείαν τοῦ διαβόλου, ἀπέλασον ἐκ τῆς διανοίας τῶν δούλων σου, καὶ δὸς αὐτοῖς ἐλπίδι τῇ εἰς σὲ, καὶ πληροφορίᾳ τῶν σῶν οἰκτιρμῶν τῆς τούτου μεταχεῖν μεταλήψεως, ἐν εὐχαριστίᾳ τοῦ ἁγίου σου ὀνόματος ἀκατακρίτους διαφυλαχθῆναι. Ὅτι σὺ εἶ ὁ εὐλογῶν, καὶ ἁγιάζων τὰ σύμπαντα, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου πατρὶ, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ, καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς.

Εὐχὴ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσεία Τυπάλδων Ιακωβάτων

Σ. Εὐχὴ ἐπὶ Θεμελίου οἴκου.

Ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ ποιήσας τὸν Οὐρανὸν ἐν συνέσει, καὶ θεμελιώσας τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, ὁ Κτίστης καὶ Δημιουργὸς τῶν ἁπάντων, ἔπιδε ἐπὶ τὸν δοῦλόν σου (Ν.) τὸν ἑλόμενον ἐν τῷ κράτει τῆς ἰσχύος σου, ἐγεῖραι οἶκον εἰς κατοικίαν, καὶ τῷ κτίσματι αὐτὸν ἀνεγεῖραι. Ἵδρυσον αὐτὸν ἐπὶ τὴν στερεὰν πέτραν, καὶ θεμελίωσον κατὰ τὴν σὴν θείαν ἐν Εὐαγγελίοις φωνὴν, ἣν οὐκ ἄνεμος, οὐχ ὕδωρ, οὐχ ἕτερόν τι καταβλάψαι ἰσχύσει, εὐδόκησον αὐτὸν εἰς τέλος ἀχθῆναι, καὶ τοὺς ἐν αὐτῷ μέλλοντας κατοικεῖν ἐκ πάσης ἐπιβουλῆς τοῦ ἀντικειμένου ἐλευθέρωσον. Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστὶν ἡ Βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τ. Εὐχὴ, ὅταν μέλλει τις εἰσελθεῖν εἰς Οἶκον νέον.

Ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ὁ καταξιώσας ὑπὸ τὴν σκηνὴν τοῦ Ζακχαίου εἰσελθεῖν, καὶ σωτηρίαν αὐτῷ, καὶ παντὶ τῷ οἴκῳ αὐτοῦ γενόμενος, αὐτὸς καὶ νῦν τοὺς ἐνταῦθα οἰκεῖν βουληθέντας, καὶ δι' ἡμῶν τῶν ἀναξίων τὰς δεήσεις σοι καὶ οἰκεσίας προσάγοντας, ἀπὸ πάσης βλάβης συντήρησον ἀτρώτους, εὐλογῶν αὐτῶν καὶ τὴν ἐνταῦθα κατοικίαν, καὶ ἀνεπιβούλευτον αὐτῶν τὴν ζωὴν διαφυλάττων. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ

Υἱῷ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί.

Τ. Τάξις γινομένη ἐπὶ θεμελίῳ ἐκκλησίας.

ΤΩν θεμελίων εὐτρεπισθέντων τοῦ μέλλοντος ἀνεγείρεσθαι Ναοῦ, παραγίνεται ἐκεῖσε ὁ Ἀρχιερεὺς, καὶ βαλὼν Ἐπιτραχήλιον, καὶ τὸ Ὠμοφόριον αὐτοῦ, λέγει.

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. τὸ, Παναγία Τριάς. τὸ, Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστίν. Καὶ ὁ μὲν Ἀρχιερεὺς θυμιᾷ τοὺς θεμελίους κύκλῳ. Οἱ δὲ Ψάλται λέγουσι τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου, εἰς οὗ τὸ ὄνομα ὁ Ναὸς μέλλει ἀνεγείρεσθαι. Καὶ ἕτερα τροπάρια, οἷα βούλεται ὁ Προεστώς. Εἶτα στὰς ἐν τῷ τόπῳ, ἐν ᾧ τὸ ἅγιον πήγνυσθαι μέλλει Θυσιαστήριον, λέγει τὴν Εὐχήν.

Τοῦ Κυρίου δεηθῶμεν.

ΚΥριε ὁ Θεὸς ἡμῶν, ὁ ἀρεσθεὶς καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομηθῆναί σοι Ἐκκλησίαν, αὐτὸς τοὺς τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσκομίζοντας ἔπιδε, καὶ τοὺς πρὸς τὴν σὴν δοξολογίαν ἀνοικοδομουμένους ἢ κτιζομένους οἴκου (ἢ, ἐπ' ὀνόματι τοῦ Ἁγίου Ν. τοῦ σοῦ θεράποντος) ἐν πλήθει τῶν σῶν ἐπουρανίων ἀγαθῶν ἀντάμειψαι, καὶ τοὺς ὑπουργοῦντας ἐν αὐτῷ ἐνίσχυσον, ἀβλαβεῖς διαφυλάττων, τὰ θεμέλια αὐτοῦ ἀρραγῆ καὶ ἀσάλευτα διατήρησον, καὶ τέλειον ἀνάδειξον οἶκόν σου, ὡς ἂν καὶ ἐν αὐτῷ πανευφήμοις ᾠδαῖς καὶ δοξολογίαις ἀνυμνοῦμέν σε τὸν ἀληθινὸν Θεὸν ἡμῶν. Ὅτι πρέπει



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

σοὶ πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, τῷ Πατρί.

### Φ. Εὐχὴ εἰς τὸ κατασκευάσαι Πλοῖον.

ΚΥ´ριε ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, ὁ ἐντειλάμενος Νῶε τῷ σῷ θεράποντι, τοῦ κατασκευάσαι Κιβωτὸν πρὸς σωτηρίαν τοῦ Κόσμου, ὁ ἐκ πολλῶν ξύλων εὐδοκήσας αὐτὴν ἓν ξύλον γενέσθαι καὶ συναρμοσθῆναι, αὐτὸς Δέσποτα τῶν ἁπάντων, ὁ εὐδοκήσας διὰ τῶν ἀψύχων ξύλων κυβερνᾶσθαι, καὶ κραταιᾷ σου χειρὶ τὸ γένος τῶν ἀνθρώπων διασώζων, αὐτὸς καὶ νῦν Δέσποτα, καὶ τὸ Πλοῖον τοῦτο διατήρησον, δὸς αὐτοὺς εἰς τὰ ἴδια ἀπέρχεσθαι ὑγιαίνοντας, πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, τῶν τιμίων ἐπουρανίων νοερῶν Δυνάμεων ἀσωμάτων, τοῦ ἁγίου ἐνδόξου Προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τοῦ Ἁγίου (Ν.), καὶ πάντων σου τῶν Ἁγίων. Ὅτι σὺ εἶ ὁ κυβερνῶν, καὶ ἁγιάζων τὰ σύμπαντα Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν, καὶ εὐχαριστίαν, καὶ προσκύνησιν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν.

ΤΕΛΟΣ.

Τυρο-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

*Typorum deordinationes, quæ in quibusdam hujus Voluminis exemplaribus irrepserunt, vel remanserunt ex veteri, sic restitue.*

In Horologio.

Pag.6. verſ.22. in fin. σοι. 9.10. εἰσάκουσον. 10.9. ***. 13.17. ἀλληλουϊάριον. 18.4. ὄκνον. 21.1. θάνατον. 22.1. ἐπακούσαι σου. 24.14. κατόδου. 28.8. κύριος. 35.16. θαλάσση. & v.21. προφήτου. 39.17. ἄρχοντε. & 23. δίκαιος. 41.10. διδάσκαλον. & 13. ἱεράρχα. 46.17. Κοινωνικὸν. 48.18. πταισμάτων. 49.9. πρέσβευε. 52.20. appone ***. 57.24. ὀρθὴ. 64.16. θαρρῶν. 65.1. ἐστηλωμένον. 66.9. ἀρχιστρατήγου. 69.1. & ſeq ſic ex vet., ſed neſcitur quo? 78.8. ὄρθρου. 82.1. ποιμενάρχην. ibid Γ ωστέον, & ſeq. rubr., & v.ult. προῆλθεν. 83.9. ἐζήτεις. & 15. τυφλὸν. 84.9. τῆς ἀποκρέου. 87.4. νηδύϊ. & 7. τιμώντων. 100.18. ἁγίου. & 19. ἰδιόμελ. ἦχ. β'. 112.8. βαπτιστοῦ. 123.11. δικαιοσύνης. 128.4. ποθεινὴν. 134.10. pro σου ſicut legunt Editio Gallic. Vulg. & Pſalt. Rom., alii cum LXX. Patav., & Sixtina legunt μου. 144.16. poſt aſter. καὶ. 150.9. ὁδήγησόν με, 159.9. ἁρπάσαι. 160.9. ὀρέων. 175.24. σύν γυναικ. 219.26. ἐλπὶς. 222.15. ἐπληθύνθησαν. 224.1. pro ἐν τῷ appone ἐπὶ. 239. in tit. ΕΙΣ.



Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

## In Psalterio extra Horologium.

Pag. 242. v. 12. καταλελειμμένων ... τῆς ψαλμῳδ. 251. 2. τὸν αἰῶνα. 255. 24. ἑνὸς. 267. 26. πόδας μου. 268. 14. ἀπ᾽ αὐτοῦ. 279. 25. ζωὴν. 286. 15. αὐτοῦ. 302. 8. θέσθε. 307. 7. deficit †. 311. 11. ἕβδομον. 325. 5. ἀπηλλοτριωμένος. 343. 12. ἐπίστρεφον. 350. 22. ἠκούσαμεν. 353. 15. ἐκεῖσε. 356. 13. μισοῦντας. 374. 11. post aster. appone καὶ. 375. 17. ἕνεκεν. 399. 1. γεννηθήτω. 410. 26. οἰκοδομοῦντες. 419. 6. τὸ. 427. 12. ὁ ἰώμενος. 442. 21. σου. 448. 3. Ισραὴλ.

## In Menologio. 1. Vol.

Pag. 458. v. 17. ἀπιστούντων. 487. 21. pro παρασκευῇ lege σαββάτῳ. 496. 4. post παρασκευὴν, adde καὶ τὴν Ὕψωσιν τοῦ σταυροῦ. & 23. post καινοῦ adde τοῦ β'. ψαλμοῦ. Ἐν τῷ Δόξα δὲ, καὶ ἐν τῷ καινοῦ τοῦ α'. ψαλμοῦ μόνον λέγομεν τὸ, Ἀλληλούϊα. 502. 2. ἐφόρεσας. 505. 17. post Εὐαγγ. adde Ἐγώ εἰμι ἡ θύρα. 506. 24. adde ἤγουν εἰς ἱερομ. 512. 21. superabundat κε in Μνήσθητι. 513. 1. Μελετίου. 525. 25. adde τοῦ ἀθλοφ. μόνον τὸ τροπάρ. 526. in 1. Maji, adde τοῦ ἱερομ. μόνον τὸ τροπάριον. 529. 25. Πολυαίνου. 531. 15. Θεοδούλου. 536. 9. ἀποστόλων. Vol. 2.

## p. 664 In Triodio, & sequentibus.

Pag. 541. v. 11. pro β'. pone α'. 549. 10. pro

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

pro εἰς, pone διὰ. 551. 10. pro η'. pone ζ'. 559. 1. θεραπεύσωμεν. 561. 6. ἀργυρείοις. 565. 19. κύριε. 569. 21. αποδίδεις. 572. v. ult. lege 280. 573. 25. συνέσφιγξα. 576. 8. lege 384. p. 583. v. ult. rubr. p. 592. 21. ὁ χορὸς rub. 610. 5. ὁδηγήσας. 611. 14. Πόντῳ ἐκαλ. nig. & 24. post Εὐαγγ. adde ἑωθ. θ'. 616. 24. γινέσθω. 619. 2. ἄνευ τοῦ συναξ. rub. ibid. v. 9. dele δέξαι. 629. 3. κοινωνοὺς. 630. 26. σωτηρίαν. 649. 16. ἀκουτίσθ. 674. 16. Τῶν σαββ. nig. 681. 4. προλαμβάνει. 687. 14. τὸν λυτρωτὴν. 690. 22. διαιρεθῶν. 695. 5. θεογνωσίαν. p. α'. in tit. v. 4. pro ἦχ. α'. lege κατ' ἦχον. η'. 12. Πᾶσαν. ιζ'. pro ἐὰν lege ἐπειδὴ. λα'. 13. δεσπότην. μς'. 6. πρεσβεύουσα. & 21. πυριφλέκτους. μζ'. 15. προσεδράμουσα. οη'. 2. τραπέζῃ. πγ'. 7. τὴν. πη'. 1. φιλόνικον.

---

# BENEDICTIONUM, ET ORATIONUM

## *INDEX.*


| | | |
|---|---|---|
| A. | Benedictio Mensæ. | Pag. 76. |
| B. | Oratio ad benedicendum escas Carnium. | 78. |
| Γ. | Oratio ad benedicendum Caseum, & Ova. | 79. |
| Δ. | Oratio ad benedicendum novum ignem. | *ibid.* |
| E. | Oratio super Infirmis. | 80. |
| Z. | Oratio pro qualibet infirmitate. | *ibid.* |


H. Alia

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Η. Alia in infirmos. 81.
Θ. Oratio super Domo, a malignis spiritibus exagitata. 82.
Ι. Oratio, sive Exorcismi S. P. N. Basilii Magni in obsessos. 84.
Κ. Alii. 85.
Λ. Alii extensiores. ibid.
Μ. Oratio ad benedicendam Caulam, seu Ovile. 89.
Ν. Oratio ad benedicendam Fornacem. ibid.
Ξ. Oratio ad benedicenda Retia. 91.
Ο. Benedictio serici insecti, seu filorum sericorum. 92.
Π. Orationes circa Agrum, Vineam, ac Hortum, si ab insectis, vel aliis animantibus devastari contingat. 93.
Ρ. Oratio super Frumento, Farina, aut alia quacumque specie coinquinata. 95.
Σ. Oratio dum jaciuntur fundamenta domus. 96.
Τ. Oratio, seu benedictio novæ domus. ibid.
Υ. Ordo servandus dum Ecclesiæ fundamenta jaciuntur. 97.
Φ. Oratio in præparatione Navis. 98.

---

## MODUS

A san. mem. Benedicto XIV. adprobatus, & pro opportunitate temporis servandus, ut infra in rubricis notatur, ad impertiendam benedictionem in articulo mortis constitutis, ab iis qui facultatem habent a Sede Apostolica delegatam.

*Benedictio in Articulo Mortis cum soleat impartiri post Sacramenta Pœnitentiæ, Eucharistiæ, & extremæ Unctionis illis infirmis, qui vel illam petierint, dum sana mente, & integris sensibus erant, seu verosimiliter petiissent, vel dederint signa contritionis, impertienda iisdem est, etiamsi postea*

*lin-*

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

*linguæ, cæterorumque ſenſuum uſu ſint deſtituti, aut in delirium, vel amentiam inciderint. Excommunicatis vero, impœnitentibus, & qui in manifeſto peccato mortali moriuntur, eſt omnino deneganda.*

*Habens prædictam facultatem, ingrediendo Cubiculum ubi jacet infirmus, dicit:* Pax huic domui, & omnibus habitantibus in ea, *ac deinde ægrotum, Cubiculum, & circumſtantes aſpergat aqua benedicta, ſi commode haberi poterit, dicendo Antiphonam:* Aſperges me Domine hyſſopo, & mundabor, lavabis me, & ſuper nivem dealbabor.

*Quod ſi ægrotus voluerit confiteri, audiat illum, & abſolvat. Si confeſſionem non petat, excitet illum ad eliciendum Actum contritionis; de hujus benedictionis efficacia, & virtute, ſi tempus ferat, breviter admoneat: tum inſtruat atque hortetur, ut morbi incommoda, ac dolores in anteactæ vitæ expiationem libenter perferat, Deoque ſe paratum offerat ad ultro acceptandum quidquid ei placuerit, & mortem ipſam patienter obeundam in ſatisfactionem pœnarum, quas peccando promeruit. Tum piis ipſum verbis conſoletur in ſpem erigens fore, ut ex divinæ munificentiæ largitate, ea pœnarum remiſſionem, & vitam ſit conſecuturus æternam. Poſtea dicat*

℣. Adjutorium noſtrum in nomine Domini.

℟. Qui fecit cælum, & terram.

*Antiphona.* Ne reminiſcaris Domine delicta famuli tui, ( *vel* ancillæ tuæ), neque vindictam ſumas de peccatis ejus. Kyrie eleiſon. Chriſte eleiſon. Kyrie eleiſon. Pater noſter. ℣. Et ne nos inducas in tentationem.

℟. Sed libera nos a malo.

℣. Salvum fac ſervum tuum, ( *vel* ancillam tuam).

℟. Deus meus ſperantem in te.

℣. Domine exaudi orationem meam.

℟. Et clamor meus ad te veniat.

℣. Dominus vobiſcum. ℟. Et cum ſpiritu tuo.

Oremus.

CLementiſſime Deus, Pater miſericordiarum, & Deus totius conſolationis, qui neminem vis perire in

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

in te credentem, atque ſperantem ſecundum multitudinem miſerationum tuarum, reſpice propitius famulum tuum N. quem (*vel* famulam tuam N. quam) tibi vera fides, & ſpes Chriſtiana commendant. Viſita eum, (*vel* eam) in ſalutari tuo, & per Unigeniti tui paſſionem, & mortem, omnium ei delictorum ſuorum remiſſionem, & veniam clementer indulge, ut ejus anima in hora exitus ſui te Judicem propitiatum inveniat, & in Sanguine ejuſdem Filii tui ab omni macula abluta, tranſire ad vitam mereatur æternam. Per eundem Chriſtum Dominum noſtrum. Amen.

*Tum dicto a Clerico, ſi præſens ſit, vel ab ipſo Sacerdote* Confiteor, *idem Sacerdos proſequatur*: Miſereatur tui Omnipotens Deus, & dimiſſis peccatis tuis perducat te ad vitam æternam. ℟. Amen. Indulgentiam abſolutionem, & remiſſionem peccatorum tuorum, tribuat tibi Omnipotens, & miſericors Dominus, ℟. Amen. *Deinde*.

Dominus noſter Jeſus Chriſtus Filius Dei vivi, qui Beato Petro Apoſtolo ſuo dedit poteſtatem ligandi, atque ſolvendi, per ſuam piiſſimam miſericordiam recipiat confeſſionem tuam, & reſtituat tibi ſtolam primam, quam in baptiſmate recepiſti: Et Ego facultate mihi ab Apoſtolica Sede tributa, Indulgentiam plenariam, & remiſſionem omnium peccatorum tibi concedo. In nomine Patris, & Filii, & Spiritus Sancti. Amen.

PER ſacroſancta humanæ reparationis Myſteria, remittat tibi Omnipotens Deus omnes præſentes, & futuræ vitæ pœnas, Paradiſi portas aperiat, & ad gaudia ſempiterna perducat. Amen.

Benedicat te Omnipotens Deus, Pater, Filius, & Spiritus Sanctus. Amen.

*Si vero infirmus ſit adeo morti proximus, ut omnium præmiſſarum precum recitandarum tempus non ſuppetat, ſtatim Sacerdos benedictionem ei impertiatur.*

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου
Μουσείο Τυπάλδων Ιακωβάτων

Ordine

Delle Catisme da dirsi nelle

Ferie. A Mattutino.

α', γ', πλ.α', βαρ.||β', δ', πλ.β', πλ.δ'.

Lunedì

β': 250. γ': 263.

Martedì

δ': 275. ε': 288.

Mercoldì

ς': 300. ζ': 311.

Giovedì

η': 324. θ': 340.

Venardì

ι': 353. ια': 366.

Sabbato

ιβ': 392.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

A Terza

α', γ', πλα', βαρ: || β', δ', πλβ', πλδ'

Lunedi

α': 379. β': 382.

Martedi

γ': 386. δ': 389.

Mercoldi

ε': 406. ϛ': 409.

Giovedi

ζ': 412. η': 415.

Venardi

θ': 419. ι': 424.

Sabbato a Vesp.

α': 245. : 247.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου - Μουσείο Τυπάλδων Ιακωβάτων

Il giorno 24. G.° 97. Il Sig.r Co.
Paulucci fece doppo varj contrasti
regalò una viela alla Cameriera
di sua spontanea volontà —

Crisanto
Teamicis 1794

Dopo un momento del Regalo della
mela, per far vedere il di lui generoso
animo, ne regalò un altro.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου -
Μουσείο Τυπάλδων Ιακωβάτων

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ληξουρίου -
Μουσείο Τυπάλδων Ιακωβάτων

